quidem apparere improbabile: caeterum ab hoc quoque proferendo alternantibus metu ac pudore tardabantur, et deliberationi concludendae spatium cunctando ac tergiversando captabant. ad extremum, ne nihil dicerent, illud unum responderunt, haud negare sese patriarcham esse Gregorium: nam hoc Cyprio, ex Georgio mutatum, cum professionem in praeparatione patriarchatus assumeret monasticam, nomen insederat. tum enimvero patefactis repente iussu imperatoris valvis coram adfuit prope dispositus in latebris Cyprius; et audisse se praefatus agnosci ab Arsenianis patriarcham, iure illius potestatis uti velle addidit in hominum sibi subiectorum rebelli defectione castiganda. sic ingressus perfidiosam infractionem conventorum vehementer obiurgavit, haud hominibus ipsos sed deo mentitos increpans. intorsit sub haec excommunicationis in contumaces fulmen, eo terrore non perfrictae plane frontis nec nullius religionis homines, Hyacinthum praesertim et Lependrenum, reducendos ad frugem et in fide pactorum confirmandos opinatus. In quo eum spes fefellit sua: nam unde illos revocandos ad subiectionis officium credidit, inde sunt ad defectionem urgentius impulsi. palam ergo rebellarunt, spretis minis anathematis inflicti. perstiterunt nihilominus ab iis se abscindentes quidam, plerisque se iam statutis acquiescere professi, exigentes et hi tamen ut quae ex antea promissis nondum impleta causabantur, dura sane quaedam et ecclesiae gravia, executioni mandarentur, ut nimirum suspenderentur ab ordinum exercitio quicumque Ioanne Vecco patriarchatum gerente ordinati fuerant, sive illis ipse per sese manus imposuisset, sive alii nutu et auspiciis ipsius, dumtaxat intra urbem Constantinopolim. nam iis qui alibi sic fuissent inaugurati, correptis obiurgatisque post tempus aliquod restitutionem in usum ordinum legitimamque sacerdotii functionem annue-

καὶ τοῖς διαφόροις ἔγρυξε παραινῶν, ἢ μὴν μετιὼν προδό-
ταις καὶ συνεργοῦσι) πρόστιμον εἶναι τὴν εἰσαεὶ ἀπραξίαν, κἂν
ἐντὸς εὑρίσκοιντο κἂν ἐκτός· τοῖς δ' ἄλλοις τῶν κληρικῶν ἐπιτι- B
μηθεῖσι τὴν λύσιν δίδοσθαι, πλὴν μὴ ἐς μείζω προκόπτειν
βαθμόν, κἂν ἐς ὁπόσον προΐοιεν ἀρετῆς. ταῦτα τάξαντές τε
καὶ γράψαντες ἐπανήεσαν.

23. Οὐ μὴν δὲ κατὰ Λάμψακον πρὸ τοῦ καὶ ἡ δίκη ἐπὶ P 40
μήκιστον χρόνον ἀργὸς ἦν, ὡς εἴθιστο τὰ πολλὰ διαμέλλουσα,
ἀλλὰ τῷ ἀρχηγῷ τῶν τοιούτων, τῷ ἀπὸ Σάρδεων, κἂν οὐ πα-
ρῆν πραττομένων, παλίμπους οὖσα ἐξ ὑπερτέρας περιέστη χει-
ρός. καὶ δὴ παρὰ μαθητοῦ αὐτοῦ τοῦ μοναχοῦ προσαγγέλλεται
Γαλακτίωνος χείριστα καὶ φρονῶν καὶ λέγων κατὰ βασιλέως. ὡς
δὴ καὶ ὑποπτευθεὶς τὰ μέγιστα πρὸς πολλὰ δίκαις καθοσιώσεως
καθυπάγεται. τὸ δ' ἐντεῦθεν ἁπάσαις τε λοιδορίαις περιβλη-
θεὶς καὶ ἐλεγμοῖς τοῖς εἰκόσιν, ὅτι καὶ μοναχὸς ὢν οὐκ ἔφριξεν B
ἀθετήσας τὸ σχῆμα καὶ πρὸς τὸν τῶν ἀρχιερέων μεταπηδήσας
βαθμόν, καὶ τὰ δεινὰ παθὼν ἐκ πολλῶν, τέλος πυγμαῖς τε καὶ

bant. persecutoribus vero (persecutionem vocabaut, si quis vel monendi gratia compellasset asperius, aut proditoribus delatoribusque ipsorum cooperatus esset) poenam sanciri utique volebant suspeusionem irrevocabilem in tempus omne, sive ii intra urbem sive extra reperirentur aut degerent. caeteris e clero castigatis remissionem deiectionis e gradu post aliquam poenitentiam relaxabant, sic tamen ut provectionem in superiorem ordinem non concederent, quantumvis deinceps in virtute profecissent. his statutis et in scripta relatis ad sua se quisque receperunt.

23. Caeterum ut olim apod Lampsacum lucem fulguris detegentem insidias barbarorum statim secuta dicitur vis ultrix fulminis ac flamma, qua sunt iidem hostes absumpti, sic et nunc divina iustitia non longum, ut alias plerumque consuevit, spatium interposuit inter culpam et poenam auctoris horum malorum et artificis praecipui, quondam antistitis Sardensis, cuius ductu impulsuque hactenus narrata, licet non interesset coram ipse praesens, geri atque administrari palam erat. hunc ergo, quem impune hactenus peccantem quasi praeteriisse dissimulans coelestis censura videbatur, converso strenue vestigio rediens severo supercilio revisit, alteque sublatae manus ictu immedicabili afflixit immiserabilem. nam cum a Galactione quodam eius discipulo monacho delatus ad imperatorem esset tamquam pessima in eum machinans et loquens, is indicio tali ad suas caeteras gravissimas suspiciones adiuncto, plane persuasus pravum esse istum ac sibi capitaliter infestum hominem, poenis eum perduellium et laesae maiestatis reorum addixit. ergo in os proscissus conviciis, et per omnes contumelias, quibus incomitiare compertos scelerum ac deprehensos in flagranti vindicta insultans solet, ignominiosissime traductus a passim exprobrantibus, quod suscepta professione monastica non esset veritus dehonestare sacrum habitum ambitione insolenti, qua in gradum antistitum insilire rursus seque intrudere affectasset, tum progredientibus verbis ad verbera, pugnis plagisque multorum manus certatim inferentium contusus,

ὠθισμοῖς ἀνάρπαστος γεγονὼς ἔξω που τοῦ κοινοῦ συνεδρίου παρέρριπται, ὅτε καὶ ὁ Λαρίσσης Νίκανδρος τῆς Ἰωάννου χειροτονίας ὢν καὶ διὰ τοῦτο παρ' ἐκείνου καθαιρεθείς, ἐκεῖσε παρὼν καί γ' ἀτίμως ἐκεῖνον ἐκριφθέντα θεώμενος, λαβὼν μοναχικὸν ἐπιτύμβιον μεθ' ὅσου μυκτῆρος καὶ χλευασμοῦ ἐπιτίθησιν. ὁ δὲ πρὸς τοῦτο μόνον ἐν ἑαυτῷ γεγονὼς (τὰ γὰρ πλεῖστα ἔξω νοὸς
C ἦν) ἐρρίπτει τε παρευθὺς ἐπισχὼν τὴν καλύπτραν ἐκ σφενδονῶν, καὶ ταῖς ὀξείαις βολαῖς τοῦ ἡλίου γυμνὴν ἐδίδου καθυπακούειν τὴν κεφαλήν. ὁ δὲ καὶ αὖθις ἀναλαμβάνων ἐπετίθει, καὶ αὖθις ἐκεῖνος ἀπέρριπτεν. καὶ τοῦτο πολλάκις γεγονός, γέλως ἤρετο παρὰ τῶν παρόντων καὶ χλεύη καὶ ἐπιτίμησις οὐ μικρά. οἱ δέ γε προσεκτικώτεροι, ἀνάγοντες τὸν νοῦν πρὸς ἅπερ ἐκεῖνος ἐποίει τοὺς ἀρχιερεῖς πρότερον, ὁμοίαις δίκαις ὑποβάλλουσαν ἐκεῖνον κατενόουν τὴν πρόνοιαν.

P 41 24. Ὁ μέντοι γε Κοτανίτζης τὸ σχῆμα φέρων τῶν μοναχῶν κἀν τῇ τῆς Περιβλέπτου μονῇ ἀσκῶν, ὑποκρινόμενος δὲ καὶ πᾶσαν ἁπλότητα ὡς ἐκ ψυχῆς ἀγαπήσας τὴν πολιτείαν καὶ ταύτῃ συναποθανεῖν αἱρούμενος, καὶ τοιαύταις ἀπάταις τοὺς μοναχοὺς

10. ἀπέρριπται P.

ad extremum raptatione dira tractus extra consessum longe inde proiectus est, quando Larissensis Nicander, qui quod fuisset ordinatus a Ioanne Vecco, Chalazae opera motus loco fuerat, forte hic praesens et suae auctorem ignominiae ignominiosissime vicissim eiici haud invitus cernens, paratum ad meditatam irrisionem cucullum monachi Chalazae, dum se coram asportatur, capiti obiter iniecit. hoc punctus aculeatissimae subsannationis stimulo velut expergisci Chalaza visus est, cum ad caetera hebes obtorpuisset. sensu igitur sic demum recepto, reiecit maximo statim conatu insigne invisae professionis. sed dum superimpositum ei, quem prius gestabat, proprio antistitum pileo monachicum operculum cupide excutit, arreptis simul forte laciniis, fundae figura hinc inde pendentibus, calyptrae, hanc quoque simul abiiciens, nudum iam verticem solaribus acriter urentibus exposuit radiis. quo Nicander viso iterum caputium ingessit, iterumque illud sine mora Sardensis excussit. tertio et saepius idem ludicrum certamen inter ambos frequentatum est, magno adstantium risu, ambitionem pseudoantistitis monachi extrema in calamitate perdurantem effusa cachinnatione traducentium, interim dum prudentiores quique, reputantes acta nupera Chalazae, providi numinis aequum iudicium venerabantur, quo supplicia, quibus hic paulo ante subiecisset immeritos antistites, merito nunc retorta in eius ipsius agnoscebant caput.

24. At Cotanitza susceptum, ut in loco retulimus, habitum monachi adhuc gerens in Periblepti monasterio egregie religionem simulare instituit, prae se ferens tali vitae consentaneam simplicitatem, omnibusque contestans indiciis ex animo acquiescere se asceticae professioni, in eaque usque ad spiritum extremum perseverare plane decrevisse. sic suorum sibi

ὑπελθών, πείθει ἐφεῖναι τούτῳ καταλαβεῖν τὴν ἐν Προύσῃ μεγίστην μονήν, ᾗ δὴ ἀφιγμένος ἐκεῖθεν τεχνιτεύει τὴν ἐπὶ τὰ οἰκεῖα δραπέτευσιν. γράφει γὰρ δι᾽ ἀπορρήτων, ἐνασχολουμένου τοῦ βασιλέως τοῖς ἄλλοις καιρὸν εὑρηκὼς τὸν ἁρμόδιον, καὶ B ἁλιὰς ἐνήρης παρὰ τῶν οἰκείων εὐτρεπισθεῖσα ἵππους φέρουσα πέμπεται. καὶ δὴ προσισχούσης αἰγιαλῷ τῆς νεὼς οἱ ταύτην ἄγοντες δηλοποιοῦσι τῷ Κοτανίτζῃ τὴν ἄφιξιν, καὶ ὁρισθείσης νυκτὸς αὐτοὶ μὲν τῷ τείχει τῆς μονῆς ἅμα καὶ πόλεως ἐφιστῶσι τοὺς ἵππους, ἐκεῖνος δὲ ὑποχαλασθεὶς σχοίνῳ καὶ ἐπιβὰς ἵππου. καταλαβὼν τὸν αἰγιαλόν, αὐτονυχεὶ ἀνάγεται καὶ τὴν φυγαδείαν ὡς εἰκὸς διατίθεται.

25. Ὅπερ μαθὼν ὁ βασιλεὺς καὶ ἐν δεινῷ ποιησάμενος, A ἐπεὶ καὶ τὸν τοῦ Ἰωάννου τοῦ Δούκα καὶ δυσικοῦ σεβαστοκράτορος υἱὸν Μιχαὴλ πολλὴν δραστηριότητα ἔχειν ἐμάνθανε, τοῦ μὲν τὸ θερμουργὸν ὑπονοῶν ὅμως εἰς καιρὸν ἐτίθει τὴν περὶ αὐτοῦ σκέψιν, τοῦ δὲ τὸ αὐτίκα δραστήριον τὰ πολλὰ ὑποπτεύσας ὡς ἐσομένου πολεμίου ἀπαραιτήτου πρὸς ὃ δὴ καὶ ὁρμήσειε, λόγους τε κινεῖ περὶ τούτου καὶ τῇ ἰδίᾳ αὐτανεψίᾳ συσκέπτεται Ἄννῃ τῇ βασιλίσσῃ. ἡ δ᾽ ἐκ τῶν δυνατῶν καὶ βασιλεῖ χαριζο- P 42

parato favore sodalium, facile ab iis impetravit ut bona moderatorum gratia in maximum Prusae monasterium se transire paterentur. huc porro ille translatus agere vafer opportuno loco, quod dudum coquebat, coepit, suam nimirum in patriam ac familiarem larem fugam machinari. scripsit enim arcano per fidissimos nuntios suis domesticia quae ab ipsis fieri volebat, tuto iam administranda, quando imperator diversissimis intentus, ad sensum inopinatissimae molitionis adversurus mentem, timeri haudquaquam posset. cognatis ergo Cotanitzae tali articulo non cessantibus, comparuit brevi Prusae piscatoria remis instructa equos advehens, qua littori appulsa excendentes vectores Cotanitzae necessarii clam hominem conventum ad fugam invitant. condicta inde nocte isti muro monasterii, qui ab ea parte idem cum muro urbis erat, cum equos admovissent, descendit ipse fune demissus e pinnis moenium, equoque conscenso, abundante ad iter quod ad mare restabat noctis ad id lectae tempore, littus tempestive attigit, naveque exceptus velis de caetero remisque servientibus abiit.

25. Ea fuga nuntiata gravem incussit imperatori dolorem ex solicitudine, qua reputans Cotanitzam gnavum et exercitatum bellis hominem paratum instrumentum res novandi facile futurum Michaëli Ioannis Ducae Occiduorum tractuum sebastocratoris filio, strenuo et inquietae indolis iuveni, de Cotanitza quidem, quamvis suspectos merito habebat eos, quorum alias damnis publicis specimen dederat, ardentes ad rebellionem impetus, intentiorem in tempus aliud curam distulit: statim autem occurrendum ratus erupturis haud dubie proxime in apertum bellum Michaëlis, pro eius et aetatis et ingenii fervore, consiliis, anxie inquisivit ecquid illi posset utile praeoccupando vel arcendo comminisci. secum tandem ac cum aliis deliberato negotio, tentandum putavit animum, specie cum ea consultandi, Annae reginae consobrinae suae, quippe ex Eulogia natae pa-

μένη καὶ γειτονοῦν κακὸν ἑαυτῇ ὠθοῦσα, ὡς εἶχε καθυπισχνεῖτο
παντοίως τὸν ἀνεψιὸν μετελθεῖν, καὶ μηδὲν ἀνεῖναι δουλαγωγῆ-
σαι, καὶ ὡς δυνηθείη ἐκεῖνον περισχεῖν ἀφύκτως εἰς χεῖρας καὶ
πέμπειν τῷ βασιλεῖ. συνέταττε δὲ καὶ δυνάμεις ὁ βασιλεὺς ἀφι-
ξομένας συνάμα τῷ πρωτοβεστιαρίῳ Ταρχανειώτῃ πρὸς δύσιν
πεζῇ καὶ τῇ Δημητριάδι ἐπιμιξομένας, ὡς κατασχεῖν μὲν ὁπόσον
B καὶ τῶν ἐκεῖ δυνηθεῖεν νόμῳ πολέμου καὶ μάχης, ἕτοιμον δ'
εἶναι λαμβάνειν πεμπόμενον παρὰ τῆς Ἄννης, εἰ κατασχεῖν εὐο-
δοῖτο, τὸν Μιχαήλ. ταῦτα τάξας τε καὶ κυρώσας ὁ βασιλεὺς
τὴν Ἄνναν μετ' εἰρήνης ἀπέπεμπε καὶ τιμῆς, αὐτὸς δὲ παντοίως
ὑποποιούμενος τὸν πρωτοβεστιάριον καὶ τιμᾶν αἱρούμενος τοῖς
μεγίστοις, ὡς καὶ τῷ τοῦ Καίσαρος ἀξιώματι σεμνύειν καθυ-
πισχνεῖσθαι, πρὸς τὴν δύσιν ὥρμα. ὁ δὲ μόλις ἀξίωμα μὲν
C ἔλεγε τότε λαμβάνειν διδόντος, ὅτε καὶ αὐτὸς ἄξιόν τι Ῥωμαίοις
ἐπεξεργάσεται κατόρθωμα, ὡς μὴ δωρεὰν ἀλλ' ἆθλον λαμβά-
νειν· τότε δὲ χρείας ἐνούσης χρημάτων αὐτὸς μὲν ἐκ τοῦ κοινοῦ
ταμιείου, ὡς αὐτὸν διαβεβαιοῦσθαι πρὸς τοὺς οἰκείους ὕστερον,

tris sui sorore. nec Anna cunctata est animum et studium accommodara votis imperatoris. reputans enim securius quaestuosiusque sibi fore Augusti propinqui demereri gretiam cooperando ad depressionem ferocis adolescentis e viri sui fratre notho geniti, a cuius et ipsa praecipiti natura malum impendere sibi nec modicum nec longe differendum intelligebat, quam potuit asseverantissime ad fidem promissi faciendam Andronico confirmavit daturam sese pro viribus operam, et ad id fiducia quam necessitudo affinitatis sibi erga natum ex germano mariti sui tribueret, perite usuram, ut callide circumventum suspectum iuvenem et redactum in potestatem tuto ed imperatorem mitteret. huius incepti promovendo successui, decrevit Andronicus exercitum alio praetextu in Occiduos tractus itinere terrestri mittere, praeposito ei summo duce protovestiario Tarchaniota; quem iussit usque ad Demetriadem cum copiis progredi, bellumque illio ducere occupando quantum terrarum posset ac manus hostium obvias fundendo, interimque, quod arcanum et praecipuum destinatum erat, expectando dum captum dolo Micheëlem Anna, iuxta condicta, ipsi transmitteret. his in hunc modum clam constitutis imperator Annam primum cum pace et honore dimisit; ac quem post illam mittere protovestiarium parabat, quo penitus sibi prius devinciret atque ad fideliter strenueque rem gerendam tanto certius obstringeret, exquisitis omnis generis affecit honoribus, adeo ut ipsa quoque se illum insigniturum Caesaris dignitate polliceretur. quod is audiens modeste reposuit vix se quidem umquam tali dignum fastigio futurum: ceterum tum minus inconvenienter tanta cumulandum gloria, cum edito aliquo in magnum usum Romanae rei memorabili facinore consecutus foret, ut non gratis sed in praemium navatae operae in eum apicem videri evectus posset. quae porro erant procincto ad hanc expeditionem Tarchaniotae necessario numerandae pecuniae, eas petierat ille quidem ex publico promi aerario, quemadmodum apud suos deinde familiares affirmavit: verum iis quibus tunc imperator

ἐζήτει τὰ χρήματα, ἡ δὲ περὶ τὸν βασιλέα βουλὴ ἐκ κοινῆς συγκροτήσεως συλλέγεσθαι ἐδικαίου. ἡ δ' ἦν τὸ τῆς προνοίας τῶν ἐχόντων προνοίας δέκατον. ὃ δὴ καὶ συνήγετο μὲν ὡς δῆθεν ἐκ D *τῶν δικαίων τῶν δεσποτῶν, τὸ πᾶν δ' οἱ παροικοῦντες ἀπετίννυον δυναστευόντων ἐκείνων. συναχθέντων μὲν μεγάλων χρημάτων ἐντεῦθεν, ταῦτα λαβὼν ὁ πρωτοβεστιάριος ἅμα πλείσταις δυνάμεσιν ἐπὶ Δημητριάδος καὶ τῶν ἐκεῖ ταχέως ἐξώρμα, πεζῇ τὰς δυνάμεις ἄγων.* (26) *τὸ δὲ ναυτικὸν ὁ ἐκείνου γαμ-* P 43 *βρὸς Ῥαοὺλ Ἀλέξιος ἦγε, περί που τὰς ὀγδοήκοντα ναῦς· συνῆν δ' αὐτῷ καὶ ὁ μέγας στρατοπεδάρχης Συναδηνός. καὶ χρήσιμον ἐδόκει τὰ μέγιστα τότε ναυτικὸν τοῖς Ῥωμαίων πράγμασιν, εἰ καὶ μετὰ τὴν ὑποστροφὴν οὕτω δόξαν κατημελεῖτο ὡς ζημιοῦν πλέον ἢ συνοῖσον κατὰ καιρούς. ὑπενοεῖτο γὰρ καὶ ταῦτα, καὶ πρὸς τὸ πιστεύειν ἦσάν τινες οἷς ἤρεσκε τὸ οὕτω πεπρᾶχθαι, ὡς ἐπεί γε τὴν ἐκκλησίαν ἐν ἀταραξίᾳ καταστῆναι ξυνέβη βασιλέως σπεύσαντος, πᾶν ἐντεῦθεν πολέμιον συσταλῆναι τότε καὶ ἀπρα-* B

5. *μὲν*] *γοῦν?*

utebatur consiliariis satius visum eam summam ex nova collatione conficere. edictum ergo est ut quicumque pensiones annuas e fisco acciperent, earum pensionum decimam in huius exercitus sumptum conferrent. quod cum statim esset exactum, videbatur quidem parcitum plebi, reiecto in proceres talis vectigalis onere. caeterum contra contigit: nam summatum quisque pro potestate a sibi subditis expressit quantum in id solvendum fuit. magnum igitur inde contractum pecuniae numerum auferens protovestiarius cum numerosis copiis celeriter ad Demetriadis viciniam se contulit, terra exercitum ducens. (26) negligebatur enim classis, qua cursus in eas partes fieri commode potuerat. praeerat illi eiusdem Tarchaniotae gener Alexius Raül, octoginta circiter naves habens. cum hoc erat magnus quoque stratopedarcha Synadenus. ac quamquam satis apparebat perutilem Romanis rebus esse maritimam potentiam, tamen post conversionem rerum quae capessente imperii habenas Andronico facta est, ea curari oscitantius coeperat, praevalentibus consiliis opinantium recte lucrifieri sumptum istum posse, quod plus damni, ut aiebant, quam commodi ex instructis impensa maxima classibus reipublicae proveniret. allegabant ad hoc persuadendum non argumenta illi quidem satis valida, ac ne verisimiles quidem coniecturas, sed suspiciones fere meras. tamen haec pronis accipiebantur auribus, et quod deerat verisimilitudini rationum, studia gratiosorum apud Augustum et voluntates proprio isthuc propendentes impetu supplebant. quorum etiam audiebatur oratio, ex actis imperatoris, et contentione qua ad res ecclesiae componendas incumberet, augurantium inutilem deinceps classem fore, deo sic videlicet remuneraturo zelum sibi gratum principis, restituendae in integrum religioni tam solicite intenti, ut nutu eius disiicerentur omnes infensae molitiones oppositarum nostrae continenti gentium, et nulla de caetero vis ab iis foret inferenda, quam ad propulsandam usum habere possent aliquem copiae navales. his primo magis non reprehensis quam probatis, deinde quodam quasi successu impunitatis increbrescentibus, fiebat ut etsi nondum publico

κτήσει τοῦ θεοῦ νεύοντος. ἐκεῖθεν δὲ καί τινες τῶν βασιλικῶν
ἀρχόντων καὶ βουληφόρων βουλὰς εἰσῆγον, πολὺ μὲν τὸ ἀντερε-
τικὸν εἶναι πολὺ δὲ τὸ κατὰ τὰς ναῦς μισθοφορικόν, ὧν ἐκείνων
μὲν τὰ τέλη τῷ δημοσίῳ ταμιείῳ καταβαλλόντων, χρημάτων εὐ-
πορεῖν πολυβδάλουσαν βασιλείαν, καὶ τούτοις κατὰ σπονδάς τε
καὶ συνθεσίας ἀκονιτί τε καὶ ἀπραγμόνως διαφέρειν τὰ τῆς ἀρ-
χῆς. ταῦτ' ἐκεῖνοι πείθοντες βασιλέα, οὐκ ἐνιδόντες καὶ πρὸς
C τὸ μεγαλεῖον τῆς ἀρχῆς τῶν Ῥωμαίων, ὡς οὐχ οἵας τ' οὔσης
ἀρχῆθεν τοῖς οἰκείοις ἐμμένειν, ἀλλὰ ζημίαν ἡγουμένης εἰ μὴ
καὶ ἄλλα προσλάβοιτο, καὶ ὅτι τῆς Κωνσταντίνου κρατούσης
καὶ νήσους ἐχούσης ἀδύνατα δίχα τριήρεων ἄρχειν, καὶ ταῦτα
τοῦ Ἰταλικοῦ ἐξ ὅτι πλείστης κορύζης ἀνεγηγερμένου πρὸς ἀνά-
ληψιν ὧν χθὲς καὶ πρὸ τρίτης ἐκείνων ἦσαν καὶ τῇ ἀρχῇ τῶν
Ῥωμαίων ἐκ τῶν τριήρεων προσεκτήθησαν. ταῦτα βασιλεὺς
μὲν ὡς εἰκὸς ξυνεώρα, ἱκανῶς ἔχων καὶ πρὸ τῆς ἐς ἅπαν ἡλικίας
D τῆς ἐς μάλιστα βασιλικῆς ἐπιστήμης, καὶ τῶν νεῶν εἴχετο· ἀλλ'
ἐνίκα τὸ μόρσιμον, καὶ τοῖς λέγουσι πείθειν ἦν. καὶ τὸ εἰρηνι-
κὸν δὲ τοῦ καιροῦ, συνυποκλινομένων καὶ τῶν λοιπῶν Βενετι-

decreta consilio foret dimissio exercitus maritimi, tameu in deliberationibus de sumptu in rempublicam faciendo, si qui praecipuorum imperii ministrorum commendare se providae parsimoniae specie volebant, tum pronissime audirentur cum dicerent supervacaneum ali numerum remigum, mercede conductam in nsves militiam exterorum in nimiam excrevisse multitudinem. cuius duplicis generis hominum, si priores quidem vectigalia, ut caeteri suae sortis, aerario imperata solverent, hi vero exanctorati militia gravare rempublicam impendio stipendii desinerent, fore haud dubie ut fiscus multiplici refectus hinc inde sumptu, nec largis erogationibus exhaustus, abundaret pecunia, qua perite princeps utens facile hostes exarmaret, stabiliretque securum otium subditis citra pulverem ac pugnam, conciliandis prudenter conventionibus ac pactis, quibus certius quam victoriis strepitu ac discrimine quaesitis salus quiesque publica, quantum ad felicem imperii cursum optandum esset, firmaretur. talia cum isti disputarent, non statim quidem probabant Andronico; qui et usu iam quodam principatus, et indole pro aetate regnandi artium capaci, animo praeterea gloriae avido ac servare illibatum imperio Romano suum antiquum decus, prout posset, certo, satis utique sentiebat ad splendorem imperantis orbi civitatis, nec non ad defensionem insularum obiectarum incursibus gentis Italicae, partim avitis odiis partim ira recenti curaque recuperandi nuper amissa in nostras semper iniurias armatae, maxime opportunum esse praesidium triremium. tamen nescio quo fato sensim praevaluit utcumque non creditum nec firmis nixum rationibus consilium, seu divinae providentiae deprimere res nostras statuentis vis ineluctabilis haec fuit, seu principis et principatus ministrorum supine indormiens fiduciae praesentis tamquam duraturae in aevum omne pacis improvida quaedam et gravibus olim luenda damnis socordia. Videbant tunc nimirum obnoxie quiescere Latinum omne nomen, nec quemquam ex Italis magis quam Venetos et Ge-

κοῖς τε καὶ Γεννουΐταις, ἐκποδὼν μάλιστα καὶ τοῦ Καρούλου γενομένου, εὐδιάθετον τὴν γνώμην ἐτίθει. οἱ μὲν οὖν τὰς ναῦς παριδόντες ἐνῆκαν ἐκείναις χρόνον ἱκανὸν καὶ μόνον δίχα τοῦ συνεργοῦντος εἰς φθορὰν λογιζόμενον. τὸ δὲ ἐπὶ ταύταις ἀποτεταγμένον στρατιωτικόν τε καὶ μάχιμον παρ' οὐδὲν ἔχοντες, τοῖς μὲν βαναύσας τέχνας μεταχειρίζειν ἐφῆκαν εἰς ἀποστροφήν, ὁπόση τις ἐκεῖθεν δυνατὴ ἦν, τοῖς δὲ καὶ αὐτομολεῖν τοῖς ἐχθροῖς, P 44 ὥστε συνάμ' ἐκείνοις πειρατῶν τρόπῳ τὴν Ῥωμαίων κακοῦν.

Τότε δὲ τοῦ πρωτοβεστιαρίου ἐξορμῶντος πολύ τι πλῆθος εἵπετο ἐπὶ δύσεως. καὶ δὴ προσβαλὼν Δημητριάδι ἐκεῖ συνέταττε τὰς δυνάμεις, οὓς μὲν πέμπων εἰς σκῦλα καὶ ἁρπαγάς, οἷς δ' ἐπὶ ἀνοικοδομὴν τῶν ἐκεῖ χρώμενος πολισμάτων, ἀποκαραδοκῶν καὶ τὴν τῆς βασιλίσσης πρᾶξιν ἐπὶ τῷ ἀνεψιῷ Μιχαήλ, ὡς λέλεκται. καὶ πρῶτον αὐτῷ τῶν ἔργων πύργοις ξυλίνοις αὐ- B θημερὸν εἰς εἴκοσι καὶ τέσσαρας ποσουμένοις περιβαλέσθαι Δημητριάδα, διχῇ τε περιταφρεῦσαι, καὶ ὕδωρ ἐκ θαλάσσης ἐνεῖ-

4. δὲ deerat.

nuenses, qui tranquillissime in terris imperii degerent, adversus dominantem Constantinopoli Augustum hostilia machinari, sublato scilicet e medio Carolo, cunctos ad id incitare, dum viveret, solito. hinc subrepsit usu quod ratio non probaverat, ut compendium fieret sumptuum in classem tuendam impendi solitorum; dumque sic agitur quasi constaret lucro accrescere publico quidquid subtraheretur rationibus navalis apparatus, sensim deventum eo est ut Romana classis non flammis illa quidem uno momento absumenda traderetur, caeterum permitteretur abolenda tempori, et nulla in navium, quibus illa constabat, tuitionem aut restaurationem parte curae impensa, tantum dumtaxat relinqueretur duratura, quanto erat opus spatio ut naves omnes mero neglectu putrescerent aut soluta compage abolerentur. istud postea contigit, hoc praevorsum ac repraesentatum maturius est. classiarii milites multi ac fortes, nec parum exercitati praeliis, spreti omnes multatique stipendio, partim ad artes sese conferre mechanicas quibus victum quaererent, partim ad hostes transfugere sunt coacti, quorum inde ductu piraticis incursibus rem oramque nostram infestarunt.

Tamen hoc quo de scribimus tempore, plurimi horum in pedestres centuriati copias protovestiarium sunt secuti, expeditionem in tractus Occidenos ducentem; qua is progressus Demetriadem usque ibi constitit, copiasque in manus divisas partim excurrere ac e vicinis hostium terris praedas agere, partim restaurare oppida Romanae ditionis incursionibus deformata hostilibus iussit, ipse interim opperiens, ut dictum est, effectum promissorum reginae Annae, et simul illa in suos laqueos incautum induisset Michaëlem leviri sui filium, sibique iuxta condicta tradidisset, correpturus tutoque perducturus ad Augustum. haec quippe vera erat morae causa, cui speciose obtendebatur quam dixi labefactatorum iniuria vel temporis vel belli moenium reparatio; cuius primum specimen fuit quatuor et viginti lignearum turrium in circuitu Demetriadis uno die perfecta

ναι τοῖς τάφροις, καὶ οὕτως ἀνέδην κατ᾽ ὀλίγον κτίζοντα ἀνεγεί-
ρειν λίθοις τὸ πόλισμα. διὰ ταῦτα καὶ ἀνοχὰς ἐποιεῖτο, καὶ
P 45 ἀεργὸς πρὸς τοὺς ἀντιπάλους ἐφαίνετο. (27) τοῦ γοῦν καιροῦ
τριβομένου νόσος ἐμπίπτει τῷ στρατιωτικῷ βαρεῖα πάντῃ καὶ
αὐτουργὸς τοῖς πολλοῖς θανάτου· βαρείας γὰρ χεῖρας ὁ λοιμὸς
ἐκείνοις ἐφῆκε, καὶ ἐπασσύτεροι ἔθνησκον. τέλος δὲ καὶ αὐτὸς
ὁ στρατηγὸς πρωτοβεστιάριος νόσου γέγονε παρανάλωμα, κἀν-
τεῦθεν οἱ περιληφθέντες μηδὲν τῶν γενναίων πράξαντες ὑπανε-
ζεύγνυον. ὕστερον δὲ αὐτὴ καθ᾽ αὑτὴν ἡ βασίλισσα συνάμα τῷ
B ἀνδρὶ Νικηφόρῳ, δόλοις ὑπελθόντες καὶ ὅρκοις ἐξαπατήσαντες
τὸν Μιχαὴλ ὡς γαμβρὸν ἐπὶ τῇ θυγατρὶ δεξόμενοι, μηδ᾽ αὐτὸ
τὸ κεκωλυμένον ἐκ γένους ὑπονοήσαντα ὑπὸ χεῖρας ποιοῦνται, καὶ
τῷ βασιλεῖ, συχνὰ τῶν χρημάτων λαβόντες, πέμπουσι δέσμιον·
ὃν ὁ βασιλεὺς ὑπὸ φρουροῖς καὶ ἀνέσεσιν ἔχων ἐτίμα, καὶ τὴν
ἀνεψιὰν τὴν τοῦ Ἀσὰν θυγατέρα εἰς γάμον δὴ κατηγγύα. ἀλλ᾽
C ἐκεῖνος πολλάκις μὲν ἐπεχείρησε φεύγειν, τοσαυτάκις δέ οἱ ἐμπο-

extructio, quibus et fossa praeducta duplex est, aqua insuper e mari vicino in utramqne derivata. qnibus deproperatis ad tutelam operis, intra id vallum secura iam ast solidorum e saxo moenium per otium aedificatio curata. in his diu snum exercitum protovestiarius occupatum habuit, nihil admodum interea negotii hostibus facessens. (27) caeterum in Romanorum castrorum milites longam tali loco et opere trahentes moram gravis incubuit calamitas pestilentis morbi; quo multi sunt brevi spatio necati. ioe quippe par contagia grassante, ac corrupto magis magisqua coeli tractu saevam angenta vim, frequentatis in momenta funeribus ioexpleta Libitina feritata bacchabatur, foeda strage cadaverum lata cuncta consternens, adeo uec ipsis parcente principibus clada, ut protovestiarium quoqua ducem eins exercitus supremum pestis extinxerit; quo sublato reliquiaa copiarum, nulla re gesta tanto apparatu et expectatione digna, inglorie reverterunt. postea tamen ipsa per se regina, cooperanta pro virili coninge ipsius Nicephoro, dolis aggressa Michaëlem unam illi fallendo efficacissimam reperit machinam, speciosum ostentatae affinitatis uomen. ubi enim promitti sibi Michaël audivit nuptias regiae virginis Nicephori despotaa et Annaa reginae filiae, et tam splendidi sponsionem matrimonii utriusqna sibi puellaa parentis iuramentis sanctissimis firmari, facila se speratorum socerorum potestati permisit, imprudens qui non reputaverit quam esset incredibile velle revera despotas collocara legitimam haeredem nothi filio, uec vereri macuiare avitam nobilitatem admistiona sporii generis. verum iuvenis ambitiona praeceps ne suspiciona quidem prima tenus tam iustum admittens metum, caeca fidncia in iaqueos sa induit. dans quippe se in manos insidiantium propinquorum, vinctos ab iis at grandi est imperatori pecunia venditus, qui eum ad se adductum in tuta quidem, libera tamen custodia tenuit, variis ipsum remissionibus at significatione honoris delinira studens, adeo ut etiam sororis propriaa filiam ex Asaue natam in matrimonium ipsi promitteret. sed placando feroci animo iniuria proditionis irritato nuliae satis aut blanditiaa praesentes aut ostensae in posterum gratiaa fuerunt. involvens se irrevocabili con-

δὼν ἔστη ἡ τύχη καὶ ἠλίσκετο παραυτίκα, ὥστε καὶ φυλακαῖς
δίδοσθαι διὰ ταῦτα. οὗ δὴ καὶ μίαν φυγὴν τὴν ὑστέραν μετὰ
χρόνους συμβᾶσαν καθ' εἱρμὸν τοῦ λόγου καὶ διηγήσομαι. ἀπε-
δήμει μὲν οὖν ὁ βασιλεὺς εἰς Θεσσαλονίκην, ὡς αὐτίκα κατὰ
καιρὸν ἐροῦμεν, κατείχετο δὲ οὗτος ἐν φυλακαῖς· σὺν αὐτῷ δὲ
ἦν καὶ ἡ αὐταδέλφη τούτου, ἣν δὴ παρὰ πατρὸς τοῦ Ἰωάννου
σεβαστοκρατοῦντος δεξάμενος Τερτερῆς ὡς μνηστὴν τῷ υἱῷ D
Ὀσφεντισθλάβῳ, ἔτι ἐν ἀνηβότητι οὖσαν, ἐπειδὴ αὐτὸς τὰς
πρὸς βασιλέα σπονδὰς ἠγάπησε, συνάμα τῇ τοῦ Ἀσὰν ἀδελφῇ
καὶ αὐτὴν ἐς βασιλέα πέμπει. ἦν οὖν σφίσι μία ἡ φυλακή, οἳ
δὴ καὶ τῷ Ἐρρῇ ἐξ Ἐγκλίνων ὄντι συνάμ' ἑτέροις καὶ τρίτῳ παιδὶ
εἰς φυλακὴν ἐπιτετράφατο. ὑπέρχεται γοῦν ὁ Μιχαὴλ τὸν Ἐρ-
ρῆν ὑπισχνούμενος γαμβρὸν ἕξειν ἐπ' ἀδελφῇ ταύτῃ, ἣν δραπε-
τεύσειαν. εἰσὶ δ' οἳ λέγουσιν ὅτι καὶ πορνικῶς ἐκείνῃ ὁ ἐξ Ἐγκλί- E
νων συνήρχετο, τὰ πιστὰ τῆς ἐπιγαμβρίας ἐντεῦθεν λαμβάνων.
ἦν γοῦν ὁ Ἐρρῆς καὶ τῶν λοιπῶν φυλάκων ἐπιστάτης, καὶ πολ-

tumacia Michaël totus stabat intentus expediendae per fugam furtivam libertati. at crebri eius elabendi conatus adversa semper fortuna successu caruere, retracto ipso quoties evaserat, et vinculis reddito, quae in longa post hoc tempora semper invitissimo haeserunt. unam hic ego eius, quamquam aliquot abhinc annis, postremo tentatam fugam, argumenti cognationi seriem temporum posthabens, referam. profectus erat Thessalonicam imperator, ut mox suo tempore narrabimus, relicto Michaële sub custodia, cuius in societatem propria ipsi soror accesserat tali occasione. dissidens ab imperatore causis quas diximus Bulgariae rex Terteres Ioannis sebastocratoris patris huius Michaëlis firmare se foedere curaverat, despondenda suo filio Osphentisthlabo filia ipsius, quam et ad se transmissam adhuc impubem domi babuit. verum securius deinde rebus suis Terteres reputans pacem, uti retulimus, cum imperatore facere, sponsalibus cum filia sebastocratoris abruptis, puellam una cum sorore Asanis ad imperatorem misit, quam is eidem quo Michaël tenebatur frater virginis carceri mandavit. erat ambobus custodiendis praefectus Erres quidam, sic vocatus, oriundus ex Enclinis *). huic suberant duo milites, quibus tertius accesserat puer administer, aetatis tenerae. venit in spem Michaël eluctandi tam exigui praesidii, si attrahere in partes Erren praefectum potuisset. ergo in id incumbens multis hominem ambivit precibus, promisso etiam ipsi coniugio sororis in praemium operae quam eis in libertatem asserendis contulisset. sunt qui dicant delibatum iam tum usum istius ostentati connubii praesumpta inter destinatos sponsos stupri licentia, nec inscio nec invito Michaële, qui nihil pensi haberet vel tam turpi sibi pignore tanto certius oppignerare fidem Enclinensis in repraesentanda quamprimum promissa solutione captivitatis exosissimae. huius rei facultatem non parvam habebat Erres, quod praeterquam, ut dixi, summum

*) immo Henricus (Harry) Anglus.

λοὺς ἀνὰ χεῖρας ἔχων, πιστὸς τὰ πολλὰ δοκῶν βασιλεῖ. δελεά-
ζεται τοίνυν ὁ βάρβαρος μείζοσιν ἢ καθ' αὐτὸν ὑποσχέσεσι, καὶ
P 46 κατανεύει τὴν πρᾶξιν. καὶ δὴ εὐτρεπίζεται μὲν παρὰ τῶν οἰ-
κείων τῷ Μιχαήλ, οἳ δὴ καὶ ἐν ἐλευθερίᾳ διάγοντες ὑπούργουν
ἐκείνῳ τὰ ἀναγκαῖα, ἁλιὰς ταχυναυτοῦσα καὶ ἄνδρες ἐρέται μι-
σθοῦ τοῦ μεγάλου οἱ τέως αὐτάρκεις, καὶ ὁ καιρὸς καθ' ὃν ἐκεῖ-
νοι μὲν τῇ κατὰ δύσιν θαλάσσῃ προσχόντες σταθήσονται, αὐτοὶ
δὲ τῆς φυλακῆς ἐκβάντες ἐπιβήσονται, ἐς τὸ ἀκριβὲς τάττεται.
κἀπειδὴ δύ' ὄντας οὐκ ἦν καταγωνίσασθαι τοὺς λοιποὺς (οὐδὲ
γὰρ πᾶσιν ἔκπυστος ἦν ἡ βουλὴ) μερίζουσιν ἐκείνους ὡς ἐπὶ
B πράξει πέμποντες, καὶ καθ' ἕνα ὑποδεχόμενοι κτείνουσι, τοῦ
δευτέρου μὴ εἰδότος τὸ τῷ προτέρῳ συμβάν. οἶκτος δὲ σώζει
τὸν παῖδα καὶ μόνος, συμποδίσαντές τε καὶ ἐπαγκωνισάμενοι καί
γε δεσμὸν ἐμβαλόντες τῷ στόματι ἀφιᾶσιν. ἐκεῖνοι δ' ὡς εἶχον
ὑπὸ κλεισὶ τὴν φυλακὴν σφραγίσαντες, ὡς μὴ ἐκκυλισθὲν τὸ παι-
δίον ἐμφανὲς πρὸ καιροῦ τὸ δρᾶμα ποιήσειεν, ὑπὸ πρώτας φυ-
λακὰς τῆς νυκτὸς ἐξίασι. τῷ γὰρ Ἐρρῇ, ὥσπερ αἱ φυλακαί,
C οὕτω καὶ αἱ τῆς πύλης τῆς ἐκεῖ κλεῖδες ἐπιτετράφατο. ὡς ἂν
δὲ μὴ δόξῃ δόλος τὸ δρώμενον, ἐκεῖνος κάτωθεν τοῖς φύλαξιν
ἐκφωνεῖ, διυπνίζων δῆθεν πρὸς τὴν τῶν κατεχομένων φυλακήν,
ὡς αὐτοῦ γε τάχα ἐν ἀπορρήτοις δουλείαις σχολάζοντος· καὶ

eius custodiae arbitrium obtinebat, etiam eius fidei secure acquiescebat imperator. quare quid posset sentiens, facile ad ostentatum honorem tanto superioris sua sorte affinitatis arrexit animum, et facturum se quod rogabatur prolixe recepit. age, venitur ad apparatum negotii. conferuntur consilia cum libertate fruentibus amicis necessariisque Michaëlis. hi, quod opus erat, navem clam comparant, remigio et commeatu caetero largiter instructam, haud parvo in hoc sumptu facto. condicitur hora qua Occiduo maris littori lembus paratus admoveretur, excepturus e custodia elapsos; qui ut tuto exirent, caetera erat Erri diligentia curandum. obstabat duorum, de quibus dixi, subservientium ipsi satellitum praesentia, quorum tentare fidem communicato arcano anceps nimis periculosumque videbatur. decretum, quod longe apparebat tutius, utrumque occidere. nec difficile fuit iniunctis ministeriis disiunctos conficere singillatim infelices. puerum sola aetatis miseratio servavit. sufficere visum est pedes lacertosque adolescentuli adstringere validis vinculis. sic igitur eum, vinctis etiam, ne vociferari posset, faucibus, dimiserunt, exeuntes sub primam noctis vigiliam, et clavibus, quas habebant, diligenter occluso carcere, ne puer sese torquendo foras prorepens praemature indicium fugae faceret. sic eductis Erres captivis duobus, inclamavit voce contenta reliquis intus satellitibus, quasi excitaturus tum forte dormientes, ut vigiliam se utique absente intenderent. valiturum hoc non frustra credidit ad discutiendas suspiciones obviorum, tali hora notum imperatoris ministrum tendere ad littus cum duobus eductis custodia cernentium. itaque

γάρ τινες ἰδόντες οὐδὲν ἄλλο ὑπενόουν τότε ἢ ὅτι ὁρισθὲν πρὸς βασιλέως δι᾽ ἀπορρήτων αὐτὸς οἰκονομοίη τὰ προσταττόμενα καὶ τοὺς ὁρισθέντας ἐκφέρει νυκτὸς ὅπου ἂν καὶ προστάσσοιτο. ἐκεῖνοι δὲ τὰς φυλακὰς ὑποδραμοῦντες ἐπιβαίνουσι τῆς νηός. καὶ ἦν αὐτοῖς ὡς καὶ πᾶσι γνωσθέντος ὁ νοῦς ἐν ἐλπίσιν ἀναμφιβόλοις, D ὡς οὐδὲν ἐμποδὼν ἐσεῖται δυοῖν ἢ καὶ τριῶν ἡμερῶν τῇ Εὐρίπῳ προσσχεῖν καὶ τῶν τῆς φυγῆς ἀνεθῆναι φόβων, τῆς ἀδελφῆς κυριευούσης τῆς νήσου. ἀλλ᾽ ἡ παλίμπους περιίστατο δίκη, καὶ τὰ τῶν φονευθέντων αἵματα δεσμὸς ἦν τὴν πρόσω πορείαν κωλύων ἄρρηκτός τε καὶ ἄλυτος. ἀντιπνεῖ γὰρ ἐξαίφνης πνεῦμα βίαιον νότου, ὡς καὶ τὰς ἐλλιμενιζούσας ἐξοκέλλειν ἐκ βίας, καὶ ἄνεμος ἐμποδὼν ἔστη παρανομήσασιν. οὐ γὰρ μίαν ἢ καὶ δευ- E τέραν ἡμέραν ἠπλόει ἐκ βιαίων νότων τὸ πέλαγος, ἀλλ᾽ ἐφ᾽ ἡμέραις, μέχρις ἂν ἐκεῖνοι κατὰ τὴν Ῥαιδεστὸν ἐξοκείλαντες ὑπὸ χεῖρα γένοιντο τοῖς τυχοῦσι.

Καὶ ταῦτα μὲν μετὰ χρόνους πέπρακται, τῆς δ᾽ ἀκολουθίας διδούσης τοῦ λόγου ἐνταῦθα προανατέτακται. ἡμῖν δὲ ἰτέον πρὸς τὰ ἑξῆς. ἔμπης δὲ προσθετέον καὶ τοῦτο σφίσιν· ἐπικοινωνεῖ γὰρ τοῖς προανατεταγμένοις. ὀγδόου γὰρ ἐκ τούτου

4. ἀποδράσαντες?

non aliud in mentem venit forte occurrentibus nisi mandatum arcanum quoppiam Erren tali tempore exequi, et vinctos quo esset iussus transportare. per hanc speciem etiam, quas pertransire oportuit, nocturnorum vigilum custodiis elusis, inobservati incolumesque omnes navem expectantem conscenderunt, optima spe gestientes felicissimi successus; nec dubitabant quin, ut initia sa dabant, cunctis ad votum fluentibus, biduo triduove appellerent Euripum, atque apud isti dominantem insulae sororem ipsorum, miserarum anxiae fugae formidinum et longi carceris aerumnarum unice securi, tranquillam de caetero vitam agerent. verum intervertit successum cruenti coepti persequens homicidas coelestis ultio, sanguine scilicet miserorum quos incautos oppresserant clamante ad deum, et remoram iniiciente fugitivis ineluctabilem. vix altum tenuerant, cum eis in adversum tam vehemens auster incubuit, ut adhuc tenentes portum naves in illa ipsa tuta statione concuteret, ac quo momento aura inopinatissime reflavit, qua perseverantia duravit, tantum non clare appareret sceleribus fugientium infensum coelum receptus ipsis securi negare facultatem. non enim uno alterove die intractabile violentissimis austris mare horruit, sed pluribus continue diebus, quoad infelix navigium sustinendo impar reiectum ad Rhaedesti oram ibi forte inventis Augusti ministris, quos vehebat fugitivos, in manus tradidit.

Haec postquam, ut indicavi, posterius gesta ex occasione praeoccupavimus exponere, resumere ordinem eventuum, et ad ea quae deinceps fieri contigit eadem qua transacta sunt serie referre sermonem debueramus: piget tamen hinc discedere non imposita longo negotio clausula.

P 47 χρόνου διανυσθέντος, καὶ τῶν οἰκείων αὐτοῦ δὲ ζητούντων τῷ πρεσβεύεσθαι παρὰ βασιλέα καὶ καθυπισχνεῖσθαι τὰ μεγάλα, εἰ μόνον ἀνεῖτο τῶν φυλακῶν καὶ πρὸς αὐτοὺς γένοιτο, ὁ μὲν κρατῶν ἀνήρτα τὰ περὶ τούτου, καὶ λόγοις οἰκονομίας οὔτε πάμπαν ἀνήνατο οὔτε μὴν κατένευεν ἐς τὸ παντελές. τὰς γοῦν τοιαύτας ἀναβολὰς μανθάνων ἐκεῖνος βουλὴν βουλεύεται κακίστην μᾶλλον ἢ συνετήν. ἐγγειτονῶν γὰρ τῶν ἀνακτόρων ἐγκεκλεισμένος ὅπου B δὴ καὶ βασιλεὺς ᾤκει, ἔγνω πῦρ ἐνιέναι τοῖς οἴκοις, ὡς δή τι γενναῖον ποιούμενος τὸ εἰς τοιοῦτον ἀναρρίπτειν κίνδυνον. καὶ δὴ νυκτὸς ἀωρὶ κάγκανα ξύλα ἑτοιμασάμενος, ὡς δῆθεν θερμαίνοιτο (χειμῶνος γὰρ ἐπράττετο ταῦτα, περί που Σκιρροφοριῶνος τὰ μέσα, ὅς ἐστιν ὁ Δεκέβριος), τὰς θύρας τῆς εἱρκτῆς ἀσφαλισάμενος ἔνδοθεν πῦρ ἐνίησιν, ὃ δὴ καὶ τῆς ὥρας καταταχῆσαν ἐξῆπτε καὶ τοῖς ἐκτὸς δῆλον ἦν. φθάνει δὲ καὶ τὸν βασιλέα ἀγρυπνοῦντα ἔτι τὸ γεγονός. καὶ ὃς τοὺς ἀμυνουμένους οὐκ C ἐκεῖνον ἀλλὰ τὸ πῦρ εἰς κατάσβεσιν ἀπέπεμπε. καί τις τῶν ἄλλων ἐκτομίας Κάρβας λεγόμενος προφθάσας ταῖς θύραις προσή-

7. ἐκ γειτόνων?

addatur ergo qui lentis diu dilatus intervallis tandem supervenit, novissimus et plane tragicus fabulae actus. octavum iam in custodia infelix Michaël annum expleverat, cum necessariis ipsius crebris legationibus imperatorem urgentibus et magna pollicentibus, si miserum tantisper vinculis solutum ad suos redire permisisset, Augustus non ille quidem praefracte negavit, aut omnem supplicibus impetrandi aliquando quod peterent spem abscidit, verum tamen nec plane annuit, sed verbis placidis et exorabilis, ubi maturum foret, animi quadam humana significatione conditis anxie solicitorum vota delinivit. has Michaël Andronici tergiversationes et artificiosas, ubi cognovit, detestatus moras, consilium init et coeptu et eventu potius desperatissimum ac pessimum quam ullo astutiae ingenio commendabile. cum enim in turri servaretur Palatinis admota aedibus intra quas ipse diversabatur imperator, visus sibi est generosum aliquid facturus, si flammis suo carceri subiectis ipsius quoque invisi principis contiguum incenderet domicilium. nocte igitur intempesta, prius obseratis diligenter carceris valvis, ignem iniecit in struem lignorum aridorum, quam ante congesserat specie habendae ad manum materiae necessariae foco cubiculi longum in tempus alendo, prout rigor brumalis tempestatis requirebat: nam haec circa Decembris medium acta sunt. flamma rapto fomite celeriter pyram obviam amplexa, luculentis horae spatio inclarescens auctibus, per erumpentes e tecto intra quod coeperat fumosos immistis scintillis globos, usque ad sensum extra degentium in proximo indicia sui pertulit. rem in primis adhuc commodum vigilans Augustus animadvertit; ac raptim, pro instantia periculi, satellites quotquot ad manum fuere, iussit accurrere ad carcerem, non poenas inflicturos incendiario, quem adhuc quis esset nesciebat, sed incendium ipsum extincturos. ante omnes ad iussum evolavit eunuchus Carbas nomine, tentatisque foribus,

ραττεν ὡς ἀνοίξων· ὡς δ᾽ οὐκ ἦν ἀνοίγειν ἠσφαλισμένας, ἀξίναις τὰς θύρας αὐτοῖς μοχλοῖς καὶ βαλανάγραις ἐξετίνασσον. οὔπω δὲ καλῶς ὁ ἐκτομίας ἔφθη οὐδοῦ ἐπιβεβαώς, κἀκεῖνος ἔνδοθεν τῇ μαχαίρᾳ προσυπαντᾷ, καὶ τοῖς σπλάγχνοις ταύτην ἐμβάλλει καὶ αὖθις ἄλλην καὶ τρίτην ἐπὶ ταύταις, καὶ νεκρὸς ὁ D πληγεὶς αὐτίκα. καὶ εὐθὺς πολλοὶ μὲν ἐσερρύησαν, τὸ δὲ πελεκυφόρον τάγμα βασίλειον, ἀγαιόμενοι τῷ συμβάντι, πελέκεσιν ἐκεῖνον ἀνηλεῶς κατακτείνουσι, καὶ τὸν οὕτως ὑπὸ τρυφῇ τραφέντα ἔξω που ἐκβεβλημένον κατὰ τὴν ἀργυρᾶν λεγομένην εἰκαίως πως καὶ ὡς ἔτυχε θάπτουσιν. ἀλλὰ ταῦτα μὲν ἐς τοσοῦτον, εἰς δεῖγμα τῶν ἀνθρωπίνων πραγμάτων, καὶ ὅτι σκιαῖς μᾶλλον ἢ τούτοις πιστεύειν ἄμεινον.

28. Ἐπηλήθευσε δὲ τοῖς τότε τετελεσμένοις καί τι συμ- P 48 βὰν φοβερὸν μὲν ἰδεῖν φοβερὸν δ᾽ ἀκοῦσαι, οὗ δὴ καὶ ἄλλος ἄλλο τι ἂν αἰτιάσαιτο καὶ ἄλλο ἄλλος, οὐδεὶς δ᾽ ἂν οἶμαι εὔστοχον θείη τὴν κρίσιν, κἂν πολλὰ κάμοι προσερευνῶν· τίς γὰρ ἔγνω νοῦν κυρίου, εἰς δὲ τὰ ἔσχατα τῆς σοφίας αὐτοῦ τίς ἀφίκετο; φησὶν ὁ Ἰώβ. τὸ δ᾽ αὖ ἐκ τοῦ παρεικότος ἐπὶ τοῖς θείοις τοιαῦτα γίνεσθαι λέγειν ἢ καὶ δοξάζειν οἷα δὴ καὶ ἐροῦμεν, μα-

ubi munitas impenetrabiliter sentit, securibus effractas cum seris simul ipsis ac vectibus subruit, obstaculaque amolitus intro irrumpit. vix limini pedem iniecerat, cum adversus irruens Michaël ensem ei adigit in viscera, repetitisque his terve similibus plagis miserum sternit exanimem. ad facinoris atrocitatem subitis, ut fit, clamoribus momento divulgatis confluxere statim plurimi, et inter hos cohors securigerorum excubare ad regiam solita. hi cruento spectaculo perculsi auctorem caedis nefariae, ira omnem misericordiae sensum obruente, crudeliter securibus conciderunt. talem nactus finem est filius Ioannis sebastocratoris, quem longe dissentanea mollitiei principalis educationis sepultura sic mortuum excepit, humo temere iniecta obiter, contemptimque tumulatum loco profano extra urbem, prope paludem quae dicitur argentea. haec prolata velut in specimen sint vanitatis pomparum humanarum; quae recte quis aestimans, non plus reputet claritati natalium opumque ac titulorum illustrium splendori quam umbris prorsus inanibus fidendum.

28. Hoc porro, ut ad intermissa me referam, tempore tetro et portentoso experimento deprehensum est ex vero convenire sacris nostris vulgo eis attributam appellationem *τῶν τετελεσμένων*, sed ea rariori notione qua ista interdum vox pollutum et contaminatum designat quidpiam. contigit quippe res visu quidem horribilis, auditu quin etiam infanda; cuius aliam alii causam ubi quantavis contendendo perscrutatione quaesierint, aut vel argutissimis nixi coniecturis assignarint, haud tamen certo iudicio definiant vel quo per homines contractus casu vel quo dei consilio permissus foedus hic et infaustus eventus fuerit. quis enim cognovit sensum domini? aut quis, ut Ioh ait, usque ad ultimos eius sapientiae pervenit terminos? nam mera fortuiti temeritate occursus, citra ullam certos sequentem fines numinis cuncta re-

B νίαισιν ὑποκρέκει, φησὶ Πίνδαρος. ἐμοὶ δ' ἅπαξ ἐμαυτὸν καθεικότι εἰς ἀγγελίαν τῶν γενομένων, ἥν που καὶ παρὰ τὸ εἰκὸς γέγονεν, οὐ δικαίως ἂν καὶ παραιτητέον εἴη ὅ τι λέγοιμι. νέμει γὰρ τὸ θαρρεῖν ἡ ἀτρέκεια. καὶ οὐδὲν χεῖρον, οἶμαι, ὑπὸ τῶν ἀκουσόντων ἂν πάθοιμι λέγων ὧν ἐμαυτὸν ἴσως δράσαιμι μὴ εἰπών. ἐκεῖθεν μὲν γὰρ δόξαν ἀποίσαιτ' ἄν τις τοῦ πάντ' ἐπέχειν
C ἐκ φιλαυτίας τοῖς τότε ξυμβᾶσι, καί γ' ἀνάγειν πρὸς ἕν τι τὸ μὴ κατὰ τρόπον ἐκεῖνα καὶ τἀσφαλὲς πεπρᾶχθαι· ἐντεῦθεν δὲ ἀλλ' εἰ μή τί γε πλέον, τῷ γοῦν ἑκόντα παρατρέχειν τὸ ξυμπεσὸν ἐκ δαιμονίου οἶμαι προνοίας ῥυπαίνοιτ' ἂν ἡ καθ' ἱστορίαν ἀλήθεια. τῷ τοι καὶ τοῦτο πρὸς τοῖς ἄλλοις λεγέσθω, δεῖμα μὲν φέρον θεοῦ προνοίας, πρὸς ὅ τι δὲ φέροι ἢ παρελθὸν ἢ ἐσόμενον ὡς εἰκὸς ἀγνοούμενον.

P 49 Ἡμέρα μὲν οὖν τῆς τυρινῆς κυριώνυμος τότ' ἐφίστατο, ἐκάλει δὲ τὸν ἐπ' ἐκκλησίας ἱερουργοῦντα τὸ σύνηθες· τὸ δ' ἦν τὸ προηγιασμένως ἀναφοραῖς τὸ ἱερὸν πυξίον ἐς ὅ τι μάλιστα ἐμπιπλᾶν κατὰ χρείαν τῶν τεταγμένων λειτουργιῶν. ἐπεὶ γοῦν

9. τῷ] τὸ P.

gentis provideutiam, fieri ceruique qualia mox referam qui diceret aut existimaret, huius equidem vel affirmationem vel senteutiam ausim dicere, iuxta Pindarum, haud louge a furore discrepare. mihi utcumque insuavis accidit commemoratio istiusmodi monstrorum inauspicatae mentionis, non est tamen liberum, ex quo istam ultro necessitstem subii, suscepta professioue qualescumque res gestas expouendi, ab his scripto mandandis abstinere. in quo intrepide affirmandi facit animos evidentia testatissimae veritatis; nec deterret verisimiliter excepturus narrationem meam quidam horror auditurorum ex me casum dictu foedum; qualia delicati genii lectores haud fere citra iudicia fastidii et quasi abominabundi trausmiseriut. etenim dum reputo rem attentius, facile sentio impelli me ad idem conspirantibus in unum, hinc respectu iudiciorum alienorum, hiuc proprii officii praescripto, cum nec utiqne me fugiat culpari ab eruditis historicos, si quos deprehenderint indulgere privato gustui, damno memoriae publicae, accommodanda narratione ad certam adamatam ipsis concinnitatis fucosae speciem, quam quoad confecerint, uihil pensi habeant dissimulare ac detorquere in subiecto argumento, si quid isti formae reluctari coutumacius viderint; uec dissimulare possim couvicia conscientiae, quid meum a me munus exigat, monentis, edicentisque quadam iuexorabili severitate censurae me, si conscio silentio involverim quod nunc divino haud dubie nutu coutigit, maculam, si nihil aliud, inusturum quamdam historicae veritati. quare illud ante omnia dicatur, divinae quidem characterem providentiae praeferens; de quo tamen prudenter aestimetur iguorari quid tandem vel respiciat praeteritum vel auguretur ac portendat eventurum.

Dominica illuxerat proprio vocabulo dicta Tyrine a casei tunc adhuc usu permisso; qua ritus consuetus vocabat sacerdotem ad praeparaudas in sacra pyxide tot oblationes consecrati panis, quot ad celebrandas iuxta morem instantes liturgias ex praesanctificatis oportebat. ubi ergo est, in-

τετέλεστο μὲν ἡ τῆς ἱερᾶς θυσίας ἀναφορά, ἀνεπτύσσετο δὲ τὸ πυξίον ἐφ᾽ ᾧ τοὺς ἱεροὺς ἄρτους τεθῆναι, εὕρηταί τις εὐθὺς ἐντὸς τῶν προηγιασμένων ἀναφορά, ἣν δὴ καὶ εἴκασέ τις ὁρῶν μίαν τῶν τριῶν ἐκείνων εἶναι, ἣν καὶ τῆς ἁγίας καὶ μεγάλης τετράδος μέλλουσαν ἀναφέρεσθαι, συμβὰν τότε, καθὼς λέλεκται, B μὴ τὰ τῆς ἱερᾶς τελεσθῆναι θυσίας διὰ τὴν ἐπ᾽ ἐκκλησίας τῶν ἐκκλησιαστικῶν παρ᾽ οἱωνδηποτοῦν ὀψὲ τῆς ὥρας γεγονυῖαν συγχώρησιν, ἐκεῖσέ που ἀφεθεῖσαν τῆς πράξεως κεῖσθαι συνέβαινεν. ἡ δ᾽ ἠχρείωτο πάμπαν καὶ σέσηπτο, ὡς μηδ᾽ εἰκόνα φέρειν ἄρτου, μὴ ὅτι γ᾽ ἄρτον καὶ ἀμηγέπη φαίνεσθαι, ἀλλά τινα τύπον θρυμμάτων μελάνων θηριακῆς ἢ τινος ἄλλου τοιούτου σκευάσματος. τρόμος οὖν ἰδόντα παραυτίκα λαμβάνει τὸν ἱερέα, καὶ ὅ τι πράξοι (οὐδὲ γὰρ ἦν ἐκεῖνον ἑνοῦν εἰς κατάληψιν τοῖς προσ- C φάτοις) διενοεῖτο. καὶ τὸ πρᾶγμα φοβερὸν ἔδοξεν, οὐ πυθὸν τόσον ὅσον φανέν, ἐπείπερ τὰ τῆς εὐθετήσεως ἠμηχάνηται. τοίνυν καὶ εἰς κοινὴν θέαν προυτέθη, καὶ τὸ ποιητέον μεθ᾽ ὅτι πλείστης ἐζητεῖτο τῆς εὐλαβείας. ἀλλ᾽ ὃ ἦν καὶ ἐδόκει καὶ πρέπον ἦν, τὸ περιὸν τῆς παραλλαγῆς οὐκ ἐδίδου γίνεσθαι, καὶ δὴ πρὸς τὴν μετάληψιν ὀκνῶν ὁ ἱερεὺς οὐ προσίετο. θεῷ δ᾽ ἀναφέρειν ἄλλως οὐκ ἦν μὴ μεταλαβόντα τὰ δῶρα. καὶ ἔνθεν μὲν

cruenti sacrificii peracta functione, aperta pyxis ad collocandos intra eam consecratos panes, inventa intus quaedam apparuit ex praesanctificatis oblatio, quam quis intuens suspicaretur unam ex iis esse quae anno superiori feria quarta hebdomadae maioris cum offerri debuisset, oblata nimime fuerat, ut indicatum est superius, propter recessum ecclesiasticorum ex ecclesia, qualibuscumque de causis praeversum ceremoniae debitae tali diei, ac propterea ibi fuerat relicta neglectaque ad hoc usque tempus; quo spatio corrupta scilicet ac plane iam putris destinatis inepta usibus fuerat reddita, quippe quae ne speciem quidem retineret panis, sed formam quamdam haberet fragmentorum atrorum theriacae aut similis alterius confectionis eius generis. diriguit visu repente inopinatissimo sacerdos, et tremore totius corporis horrorem ac aestum animi declarans, incertus quid ageret, haerebat. neque enim miscere se putabat posse veterem illam particulam cum recentibus, quasi, ut hae, sic illa offerri percepturis posset et sacrificio ex praesanctificatis celebrando digna hostia censeri. cum ergo ad spectaculum tam deforme, ad tam anceps utrimque periculum, arcente hinc et inde metu, et tamen agendi necessitate cunctari prohibente, diu deliberabundus expediret nihil; denique adhibuit circumstantes ad consilium, vocatisque ostenso quod videbat, quid opus facto videretur suggerere ne gravarentur, summa contentione demississime oravit. statim occurrebat cunctis factu optimum fore, si fragmen sacri panis mucidum illud et vetustate alteratum sacerdos edendo consumeret, vacuoque iam vasi a se modo consecrata recentia inderet. sed tam tetra erat eius species, ut tantum imperare stomacho celebrans se negaret posse, ac ne summis quidem labris adeo rancidum frustum omnino sustineret attin-

D φόβος ἐκεῖθεν δ' ἀπορία τοὺς θεωμένους διεμεριζέτην, οὐκ ἔχοντας ὅ τι καὶ πράξοιεν. ὁ γοῦν φόβος τὰς σφῶν γνώμας συνέστελλε πρὸς μίαν καὶ τὴν αὐτὴν ἄγων βουλήν, τὸ τὸν ἱερέα, κἂν ὅ τι καὶ πάθοι, προσήσεσθαι τὸ φαινόμενον. τοῦ δὲ μηδ' ὅλως προσιτὸν ἐκεῖνο νομίζοντος μηδ' ἄκροις ὡς εἰπεῖν χείλεσι τὸ παράπαν, ἡ ἀπορία παρατολμήσασα ἐσχεδίαζε μηχανὴν πολὺ E μὲν τῶν ἀξίων ἀποδέουσαν, ἀναγκαίαν δ' ἄλλως ὑπὲρ πᾶν ἕτερον ὃ δὴ καὶ ἐννοήσειέ τις πώποτε. θεῷ μὲν οὖν ἄρα τῶν τιμίων καὶ ἱερῶν ἐκείνων μέλειν εἰκός, καὶ ἔμελε πάντως, ἐκεῖνον δὲ τότε ὁ τοῖς τοιούτοις ἀφιερώμενος τόπος ἐκ παλαιοῦ, ὃς δὴ καὶ ἰπνὸς ἅγιος λέγεται, ὁσίως ἐπιρριφέντα ὁσίως δέχεται. ἀλλὰ ταῦτα μὲν ἐς τοσοῦτον.

P 50 29. Τότε δὲ καὶ νέφος Σκυθῶν παριστρίων ἐπισυναχθέν, οὐκ οἶδ' ἔκποθεν καὶ ἐκ ποίας τῆς ἀφορμῆς, εἰς δέκα σχεδὸν χιλιάδας ποσούμενον, διελθὸν τὴν Βουλγάρων γῆν καὶ τῶν πέριξ πολλὰ ληϊσάμενον κατὰ τὸν ἔξω ζυγὸν γίνεται. καὶ δὴ προσδόκιμον ἦν ἐκδραμούμενον καὶ τὰ τῆς Μακεδονίας καὶ Θρᾴκης B λείαν ποιῆσον τὴν τῶν Μυσῶν ὑμνουμένην. ἔτυχε δὲ τότε τὰ ἀμφὶ τὴν Μεσέμβρειαν κατέχων ἄρχοντος τρόπον καὶ στρατηγοῦ ὁ κουροπαλάτης Οὑμπερτόπουλος, ἀνὴρ ἀγαθωσύνῃ χαίρων καὶ εὐβουλίᾳ κοσμούμενος· ὃς δὴ καὶ συμπλακεὶς ἐξαίφνης, θαρρή-

gere. absolvi tamen sacrificium non poterat, nisi statueretur circa hoc quidpiam et quomodocumque amoveretur inde nauseabilis ista eucharistiae sacrae portio. inita denique via est magis utique necessaria quam decens, ad quam sponte sacerdos multo angore cruciatum animum tandem advertit. divinae nimirum providentiae permittendam putavit consumptionem ultimam illius fragmenti sacri, seponendo illud in seductum locum, qualia in sacrariis parari antiquus ecclesiarum usus obtinet: furnum sanctum nostri vocare consueverunt, alveum cavernae forma sub sacris adytis cavatum, quo sacrarum rerum aevo aut situ marcentium inutiles reliquiae reverenter, quantum fas est, condantur. in id conceptaculum putrefacta particula caute honesteque reposita, ibi videlicet quoad aboleretur remansura, expeditus utcumque sacrificus est, perintricati perplexitate nodi qualitercumque sic defungens.

29. Illa porro tempestate nubes Scytharum e circumdanubianis collecta tractibus, quo animo quave occasione incertum, numerum fere implens capitum decies millium, transcursa Bulgaria vicinisque isti regionibus vaga direptione vastatis ad iugum exterius consedit, non ibi haud dubie quietura, sed procellam minans irruptionis barbaricae, e finitimis Macedonia vel Thracia praedas mox, quas aiunt, Mysorum abacturae. praeerat tum forte Mesembreae circumsitisque terris auctoritate ducis summi curopalates Umpertopulus, vir et probitate gaudens et prudentia ornatus. hic fretus religione Imperatoris, qua oppigneratum eius armis divinum favorem crederet, quas sub se habebat modicas copias commit-

σας τῇ τοῦ βασιλέως θεοσεβείᾳ, ὀλίγους ἐπάγων πολλοῖς τοῦ
προτερήματος ἐγεγόνει, ὡς τοὺς μὲν ἔργον μαχαίρας γεγονέναι, C
τοὺς δὲ καὶ ἀποπνιγῆναι κατὰ τὸν ἐκεῖ παραρρέοντα ποταμόν.
ὀλίγοι δ' ἐκ πολλῶν διαδράντες, μηδ' ὅπῃ γῆς χωροῖεν εἰδότες,
τὰς δυσχωρίας διεκπαίοντες, ᾗ ποδῶν εἶχον ἔφευγον, ἄρτι πρῶ-
τον μαθόντες ὡς ἄβουλον πλῆθος εὐβουλίᾳ μᾶλλον ἢ ἀνδρείᾳ
καταγωνίζεται. ταῦτα μαθὼν ὁ βασιλεὺς καὶ πρῶτον μὲν δο-
ξάσας τὴν θείαν ἀντίληψιν, εἶτα δὲ καὶ ὑπερθαυμάσας τὸν ἄν- D
νους ἐλελήθει πάντως τοιαῦτα γράφων ἐκεῖνος, ὀργὴν δὲ ταῦτα καὶ μόνην τέως καὶ τοῦ ἀντιλυπεῖν ὄρεξιν ᾤοντο εἶναι καὶ ἠφροντίστουν καὶ κατημέλουν γράφοντος. πολὺ δ' ὑφεῖρπε τοῦτο ἀνὰ τὴν Κωνσταντίνου, περὶ μὲν τοῦ καθ' αὑτὸν ὑποστελλομένου τῶν ἀκουόντων ἑκάστου, ὡς μὴ δοκοῖεν ἀφ' ἑαυτῶν μέμφεσθαι, δεῖν δὲ καὶ ὡς ἐνῆν προσέχειν λεγόντων, μή πως ὁ λόγος ἔχοι τὸ B πιθανὸν καὶ μέσον δυοῖν ἐριζόντοιν αὐτοὶ κινδυνεύοιεν. ἔφερε δὲ πολλοῖς νοῦν ἡ τοῦ Βέκκου ἀντίρρησις, καὶ ἐφυλοκρίνουν ἀκριβῶς τὴν ἐξήγησιν, καὶ μᾶλλον ὅτι οὐδ' αὐτοί γε οἱ ὑπογράψαντες ἐπ' ἀσφάλειαν ὑπέγραφον, ἀλλὰ τῷ παρ' ἐκείνων ἐπερειδόμενοι γράμματι. (3) συμβὰν δέ τι καὶ περὶ τὸν ἐσκαμματισμένον χαρτοφύλακα C (ὁ γὰρ Μοσχάμπαρ καὶ προαπέστη ἅμα μὲν ὀφφικίου ἅμα δὲ καὶ πατριάρχου, μικροψυχήσας ἐπί τισι, καὶ διὰ ταῦθ' ἑπόμενον ἑαυτῷ καὶ τὸν πεντεκκλησιώτην εἶχεν) ἐπέρρωσε κἀκείνου τὴν περὶ τὸν πατριάρχην δυσμένειαν, καί γ' οὐχ οἷοί τ' ὄντες αὐτῷ διαμάχεσθαι πρὸς τὸν τόμον ἀπεῖδον,

subiicere auctor profitebatur. caeterum iam tum, cum haec Veccus inchoavit, non latuit adversarios super hoc ilium argumento commentari quidpiam. sed cum opinarentur irae dumtaxat in eo ipsum obsequi, nec aliud ostensurum id agendo nisi rabiosam pruriginem vicissim pungendi eos a quibus se confossum doleret, cariturum auctoritate rebantur istam eius scriptionem, ideoque negligendam rem totam putaruut, securo inanis strepitus indormiscere contemptui statuentes sibi porro unice licere. haec patriarcham cum suis, ne interpellare aut impedire a scribendo Veccum curarent, tenuit fiducia, qua se falsos postea senserunt. nam Vecci commentarius per urbem Constantinopolim clam serpens cupide lectus a plurimis est, et plerisque aculeum infixit, contrahentibus animum pro se quoque, qui legebant aut legentibus aures dabant, dum arcana soiicitantur cura, ne perfunctorie transmittentes rem accurata consideratione dignam temere praeiudiciis acquiescerent in iis quae per se ipsos expendisse diligenter par fuerat, committerentque ut se lpsos sero postea culpare cogerentur negligentiae supinae, oportere siquidem aequum arbitrum otiose cognoscere quae dicuntur ab utrovis disceptantium, explorareque ecquam verisimilitudinem forte maiorem eius oratio cui minus favetur prae se ferat. alioqui passuros quod deprehensis in medio duorum certantium contingit, ut ipsi ex alieno iurgio proprium in sese periculum attrahant. hac ergo religione instincti lectores dissertationis contra tomum patriarchae a Vecco editae singula folia expendebant indiciis acribus, maxime cum plerique reputarent haud se proprio sensu re clare perspecta ipsa et eius evidentia securitatem dante subscripsisse, sed fretos auctoritate scribentis scripto acquievisse. (3) quiddam porro quod contigit circa exchartophylacem (nam Moschampar paulo ante et cesserat officio et a patriarcha se removerat, quibusdam offensiuncuiis aversus, consortem quoque simultatis secum habens quinquecclesiensem) auxit utriusque in patriarcham odium. hi cum se haud pares cernerent ipsi palam oppugnando patriarchae, ad tomi accusationem animum appulere,

D δόξαν ἀσφαλείας δογμάτων, μὴ κενὴν διαφορὰν παρὰ πολλῶν
ἀποίσεσθαι προνοούμενοι. καὶ δὴ παρασπαίρουσαν ἔτι ὁρῶντες
τὴν παρὰ τοῦ Βέκκου τῷ τόμῳ μέμψιν, τοῖς γεγραμμένοις ἐπι-
φυέντες καὶ οὗτοι τὴν μάχαιραν ὤξυναν. ὁρμαῖς γοῦν παρακρο-
τηθέντες μείζοσι καὶ τοὺς δοκοῦντας προκαταλαμβάνουσι τῶν
P 78 ἀρχιερέων, ὧν καὶ μείζους καὶ πρῶτοι ὁ Ἐφέσου τ' ἦσαν Ἰωάν-
νης ἔτι ἀπών, ὁ Κυζίκου Δανιὴλ καὶ ὁ Φιλαδελφείας Θεόληπτος,
ὃς δὴ καὶ παρὰ τῷ μεγάλῳ λογοθέτῃ πολλὴν καὶ μεγάλην εἶχε
κατὰ πληροφορίαν τὴν οἰκειότητα. οἳ δὴ καὶ μέχρι μέν τινος
καὶ αὐτοὶ διερχόμενοι τὰ τοῦ τόμου οὐ προσαπεδέχοντο τὴν ἐξή-
γησιν. τὸ γοῦν ταυτίζειν τήν τε πρόοδον τήν τ' ἔκφανσιν, καὶ
B ἐπὶ τούτοις τὸν γράψαντα καταμέμφεσθαι ὡς ταὐτὰ τῷ Βέκκῳ
δοξάζοντα, οὐκ ἔκρινον ξυνετὸν οὐδ' ἄλλως εὔσχημον καὶ εἰς
ἀπολογίαν εὐπρόσωπον· δοκεῖν γὰρ τοῖς πολλοῖς ἐντεῦθεν ἐπὶ
κακίαις εὐθύνειν τὸν Βέκκον καὶ οὐ διὰ δογμάτων παραβασίαν,
οἷς ὅτι καὶ αὐτοὶ ἀληθείας ἀνάγκῃ συνελαυνόμενοι τὰ αὐτὰ ἐκείνῳ
θεολογοῦσι, καὶ ὃ φεύγειν ἔδοξαν βασκανίας χάριν, τοῦθ' ὁμο-

uti ad rem eo faciliorem et successus pronioris, quod plausibili praetextu obtendebatur officii, quo quivis Christianus, praesertim ecclesiasticus, tenetur summo, quaerendae omni ratione securitatis in dogmate, excutiendique et explorandi in eo genere accuratissime quidquid quovis nomine ambiguum vel minimam dubitationem movet, hoc praeiudicio vulgo receptae opinionis haud immerito sperantes lucrifacturos se suspicionem iracunde ruentium in ultionem exosi capitis, et persuasuros studio se potius religioso orthodoxae doctrinae declarandae ad discussionem commentarii suspecti accedere. flagrante igitur adhuc invidia quam recens editio passim lectae confutationis Vecci tomo patriarchae conflaverat, et trepidantibus cum maxime Cyprii sequacibus in fama eius titubante sustinenda, insurgentes et isti gladium acuerunt, vehementique ingruentes impetu praeoccuparunt traxeruntque in partes praecipuos quosque antistitum. quos inter eminebant Ephesinus Ioannes, adhuc absens, sed expectatus Constantinopoli, Cyzicenus Daniel et Philadelphiensis Theoleptus, qui et apud magnum logothetam summa et gratia et auctoritate pollebat. his cunctis sat multa tomi lectione introspectam Cyprii sententiam expendere aggressis ea minime placebat, nec admittendam Damasceni expositionem iudicabant. haud tamen alioqui consentaneum ac plausibile putarunt criminari eo nomine auctorem tomi, quod male negaret idem plane valere processionem et exsplendescentiam, cum ex ipsa eius doctrina satis clare sequeretur synonyma prorsus esse ambo ista vocabula; unde posset efficaciter involvi patriarcha in damnationem Vecci idem ipsum asserentis, nec fugere posset quin si aberraret in hoc Veccus a recto dogmate, paris et ipse compertus erroris teneretur. verum ne hac illum parte urgerent ea ratione avertebantur, quod multi sentiebant Veccum culparum contra disciplinam, non autem erroris adversus fidem rectam reum esse, quippe qui quod affirmaret, idem necessario dicendum esset cuivis theologo, trinitatis mysterium, sicut oportet, explicanti, prout manifeste apparuisset ex eo quod quicumque illum pervicacia potius quam zelo veri-

λογοῦσιν ἀληθείας ἕνεκα. τὸ γοῦν οὕτω τὸν τόμον καταιτιᾶσθαι οὐκ ἔγνωσαν δεῖν· τὸ δ' ὅτι τὸ προβολεὺς ὄνομα, ὃ ἰδιοτρόπως C παρὰ τῶν πατέρων ἐπὶ τοῦ αἰτίου τοῦ πνεύματος παραλαμβάνεται ὥσπερ καὶ τὸ γεννήτωρ ἐπὶ τοῦ αἰτίου τοῦ μονογενοῦς λόγου, αὐτὸς ὁμωνυμίσας ἐπὶ τῆς ἁπλῶς ἐκφάνσεως ἐξελάβετο καὶ οὐκ ἐπὶ τῆς αἰτίας τοῦ πνεύματος καθαρῶς, ἣν καὶ πρόοδον λέγων τὴν λέξιν ἀπέφασκε, τοῦτ' οὐκ ἠφίουν ἀκαταιτίατον, καὶ παραβασίας ἐκεῖνον ἐντεῦθεν δογμάτων ἐγράφοντο. τὸ μὲν οὖν ὑπ' ὀδόντα D παρὰ τούτων καὶ ἔτι ἐφεῖρπε, τὸ δὲ καὶ ἀναφανδὸν λέγειν πρὸς πάντας αἱ ἐπὶ τῷ τόμῳ ὑπογραφαὶ σφῶν οὐκ ἐπέτρεπον. ἐζήτουν οὖν εὐπρεπῆ καταστῆσαι τὴν κατηγορίαν, καὶ δεῖξαι τὸν Βέκκον Νέσσον ἄλλον ἄντικρυς, ὃς δὴ καὶ μετὰ θάνατον τὸν μέγιστον Ἡρακλέα κατηγωνίσατο. καὶ ταχὺ παρέσχεν αἰτίαν οὐκ οἶδα εἴτε γ' ἡ τύχη εἴτε μὴν τὸ δαιμόνιον μήνιμα. (4) μοναχὸς P 79 γάρ τις Μάρκος τοὔνομα, ἐκ γένους ἐξωτέρου Ῥωμαίων ὢν καὶ πρὸς λόγον φιλοτιμούμενος, συνήθειαν ἔχων ἐκ τοῦ πάλαι πρὸς πατριάρχην φοιτᾶν αὐτῷ καὶ διδάσκεσθαι, τότε δόξαν ἐκεί-

2. ὃ deerat.

tatis oppugnassent, ubi vicissim redigebantur ad necessitatem explicandi quid de mysterio eodem ipsi sentirent, declinare non poterant quin verbis similibus et eandem sententiam exprimentibus uterentur, ita ut unde ipsos arguendi prurigo retraxisset, eodem veritas compingeret. aliam igitur inire viam decreverunt impugnandi tomi, culpantes videlicet quod cum vox προβολεύς productor proprie usurparetur a patribus ad significandum principium activum Sancti Spiritus, sicut vox genitor ab iisdem adhibetur ad designandum principium activum unigeniti verbi, tamen scriptor tomi vocis προβολεύς significatum retulisset ad simplicem exsplendescentiam, non autem ad emanationem Spiritus Sancti e vero principio activo. quam emanationem vocabulo processionis exprimens, et processionem ab exsplendescentia distinguens, haud dubie adimeret voci προβολεύς productor notionem ipsi tributam a patribus, emanationis ut e principio activo. quod nihil minus esse contendebant quam defectionem a fide catholicae doctrinae; et ob hoc dicam apostasiae tomi auctori iure impingi censebant. haec eorum sub dente tunc mussitantium arcana murmuratio aliquandiu clam serpens timidis dumtaxat grassata susurris est: nam accusationem mendosi scripti suscipere publicam prohibebat verecundia magnorum nominum tomo in testimonium approbationis subscriptorum. exquirebant ergo secum modum et opportunitatem indagatum ibant tuto plausibiliterque defungendi delatione tot muniti auctoritatibus tomi, demonstrandique Veccum, similem illius e fabulis Nessi, quem ferunt a morte sua magnum Herculem vicisse, ipsa sui damnatione causam exitii suo iudici ac censori attulisse. nec diu abfuit quin occasionem ipsis id agendi commodissimam seu casus seu divina suggereret ultio. (4) monachus enim quidam, Marcus nomine, haud genere Romanus, homo doctrinarum studiis deditus, consuetudinem ex longo habens ad patriarcham ventitandi danda ipsi docenti opera, circa hoc tempus, nescio quo aut

νῳ, οὐκ οἶδα πόθεν, συνιστᾶν αὐτὸν ἐκ λογογραφίας τὰ δόγματα,
γράψας ὡς δῆθεν τὰ εἰς ἀντίρρησιν ἐμφανίζει τῷ πατριάρχῃ. ὁ
δ᾽ ἀνὰ χεῖρας λαβών τε καὶ διελθὼν καί τισιν ἐπιστήσας, καὶ ὡς
B εἴωθε πάλαι ποιεῖν, διδασκάλου τρόπον χερσὶν οἰκείαις τιν᾽ ἄττα
διορθωσάμενος ἀποδίδωσιν. ἐντεῦθεν ὁ Μάρκος λαβὼν τὰ πι-
στὰ ὥς τις εἶναι δόξας καὶ ὑπὲρ δογμάτων γράψας, τὸ γραφὲν
ἐνεφάνιζε τοῖς πολλοῖς θαρρούντως, προστιθεὶς ὡς καὶ πατριάρχῃ
ἐμφανίσειε τοῦτο καὶ ἐκεῖνός τινα διορθώσειεν, ἐγκαθιστῶν ἐν-
τεῦθεν τὰ τῆς ἐκδόσεως. ταῦτα λαβοῦσί τισι, καὶ μαθοῦσιν
C ἐκεῖθεν ὡς καὶ αὐτὸς ὁμωνυμίζει τὴν λέξιν τὴν προβολεύς, ἄφυ-
κτον ἔχειν τὸν πατριάρχην ἐπὶ τῇ κατηγορίᾳ ἐδόκει· εἶναι γὰρ
κἀκεῖνον ταῦτα φρονοῦντα, οἷς ὅτι λαβὼν εἰς χεῖρας τὰ γράμ-
ματα καὶ διεξελθὼν ἄλλα μὲν διωρθώκει καὶ οἰκείοις γράμμασι
διεσήμηνε τὴν διόρθωσιν, αὐτὴν δὲ τὴν λέξιν ἀκαταιτίατον εἴα-
σεν, ὥστε τὸν ἐν τῷ τόμῳ γρῖφον, ὡς ἄν τις εἴπῃ, καὶ τὸ τῆς
γνώμης γλαφυρόν τε καὶ ὕπουλον ἐν τῷ τοῦ Μάρκου παραγυμνῶ-
D σαι καὶ δεῖξαι γράμματι. ταχὺ γοῦν τὸ τοῦ Μάρκου γράμμα
λαβὼν ὁ Θεόληπτος, ἐπιστὰς τῷ μεγάλῳ λογοθέτῃ, ἀνδρὶ λογίῳ
καὶ περὶ τὴν τῶν δογμάτων ἐκκαιομένῳ, ὥστε πολλοὺς πιστεύειν,

cuius instinctu, applicuit animum ad commentarium de theologicis tunc agitatis controversiis scribendum, confutandorum scilicet eorum gratia quae a sui magistri adversariis iactabantur. id opus ubi elucubravit, patriarchae obtulit, qui percurrens, ut caeteras solebat discipuli scriptiunculas, quaedam in hac quoque minus sibi probata manu propria correxit, et sic emendatam reddidit. Marcus quidquid intactum in sic recensito suo commentario reperit, pro usquequaque probato habens, et sibi non parum gratulans quod tam multa inoffense commentari potuisset, opus anum ad certam gloriae spem festinata editione vulgavit; eique commendandae praefatiunculam addidit docentem visum a patriarcha et ubi opus fuit emendatum id scriptum fuisse priusquam ederetur. eunte per manus novo libro, movit quosdam quod in eo annotarunt tradi etiam clarius quam in tomo patriarchae damnabilem illam restrictionem notionis in voce προβολεύς, qua principii activi significatus contra manifestam patrum auctoritatem ab ea excluditur; quo animadverso praeclaram se nactos sunt gavisi opportunitatem oppugnandi minore invidia in discipulo magistri, cui negare iam integrum non esset se plane ita sentire, utique cum alia quaedam corrigens in scripto discipuli illud, ut suae congruens sententiae, ulla configere animadversionis nota omisisset. quare quod perplexum et subterfugiis astute paratis ambiguum, griphi, ut quis dixerit, ritu patriarcha aenigmatice in tomo occultasset, profecto iam teneri deprehensum palam, simpliciter illud diserteque declarante fusa liberaque nec ullis allegabilium excusationum offuciis insidiose munita scriptione auditoris eius Marci, quam approbans patriarcha paucis immutatis, quid de notione verbi προβολεύς vere sentiat clare monstraverit. cupide igitur arrepto Theoleptus Marci monachi commentario magnum adit logothetam, virum et caetera eruditum, et in disquisitionibus theologicorum dogmatum

ἀσφάλειαν, ἐκφανίζει, καὶ μεθ᾽ ὅσης εἴπῃς τῆς ἐπιστάσεως διεξήρχετο, καί γε προοικονομησάμενος τὸ κακόδοξον ἐκ πολλῶν, εἰ οὕτως ἔχοι καὶ αὐτῷ ξυνδοκοίη, διεπυνθάνετο. καὶ τὸν ὁμολογεῖν παραυτίκα, καὶ καταρριπτεῖν τε καὶ ἀποβάλλεσθαι ὡς κα- E κῶς ἔχον καὶ τολμηρῶς τὸ σύμπαν. ταῦτ᾽ ἐκείνου διευλαβουμένου περὶ τὰ γράμματα ὡς τὸ μέγιστον ἔχοντα σφάλμα περὶ τὰ δόγματα, τὸν Φιλαδελφείας αὐτίκα τὸν τόμον ἐξενεγκεῖν, καὶ "τί γε ἄλλο" φάναι "δοκεῖ σοι πρὸς ταῦτα τὸ παρὰ τοῦ πατριάρχου λεγόμενον;" ἐπέστησε κἀκεῖνος εὐθὺς τῇ λέξει, καὶ τὰ P 80 αὐτὰ ὡμολόγει, καὶ ἀγνοίας τὸν πατριάρχην μεγίστης ἐγράφετο. καὶ τὸ πρᾶγμα δῆλον τοῖς πολλοῖς γεγονὸς μέχρι καὶ αὐτῶν τῶν βασιλικῶν ἀκοῶν ἄνεισιν. ὁ δὲ καὶ αὐτὸς ἐπιστήσας τοῖς λεγομένοις, καὶ πολλοὺς καὶ μεγάλους βλέπων τοὺς καταιτιωμένους, δεῖν ἔγνω διορθοῦν τὸν λόγον πρὸς ὅ τι καὶ δόξοι τὸ εὐσεβέστατον· μηδὲ γὰρ εἶναι καλὸν αὐτοὺς ἄλλοις ἐγκαλοῦντας παραβασίας περὶ τὰ δόγματα ἐνέχεσθαί γε καὶ τούτους καὶ κακῷ τὸ B κακὸν ἰᾶσθαι δοκεῖν. ταῦτα τοῖς περὶ τὸν πατριάρχην οὐκ ἦν ἀγνοεῖν, ἀλλὰ κἀκεῖνος ἀκούει τὸ δρᾶμα, καὶ οὐκ ἀνεκτῶς ὑβριο-

ingenti securaa veritatis indagandae zelo cum versari solitum, tum hoc ipsum ostentare multitudini gaudentem. huic ostendens commentarium Marci mendosum locum indigitat, accuratoque sermone vitium eies ac perniciem orthodoxae veritati nefarie oppositam demonstrat. tum e logotheta percontatur ecquid ipse cum Marco sentiat, doctrinaeque tam corruptae acqulescat. negavit enimvero illa statim, volumenque abiicians clare professus est se id totum reprobare ut malum et temerarium. qua in expressiona indignationis suae adversus audacem novitatem, exardescenti suo mora ferventius logothetae, opportune arrepto Philadelphiensis tempore, tomum a patriarcha editum obtulit, ex eoque illa verba legit quae similem damnatae iam in Marci libro pravitati sententiam, si recte intelligerentur, continebant; quod sic re ipsa se habere efficaci oratione decloravit. hic logothata, velnt apertis sibi oculis prius non animadversam intuens labem, aspectu resiliit, verbique insidiis opertum malum cum primum agnosceret detestari se professus, maximaa patriarcham inscitiae damnavit. nec abfuit quin propagata ea res in notitiam multorum brevi ad aures imperatoris perveniret, qui et ipse in sensum arcane pravum verborum tomi ambiguorum facile tot iam agnoscentium admonitu penetrans, multosque ac magnos viros cernens in culpando tomi loco, clarius a Marco expressam obscurius adstruente sententiam, unanimi assensu conveuire, decrevit eum oportere congrua emendatione in sensum arthodoxae doctrinae quam accommodatissimum reformari: non enim esse consentaneum, qui alios defectionis a vera fide accusarent, eius ipsius tenari convictos criminis; atque adeo isti malo curando id adhibere pro remedio, quod ipsum esse malum deprehenderetur. talia dum primo mussitarentur, deinde sensim increbescerent, haud diu potuere occultari patriarchae. audiit cito rem totam, et quid pararetur intelligens, in contumeliae non tolerabilis parte numeravit sa tanta ex tam multo theologicaa

παθῶν εἶχεν, εἰ τοιοῦτος ὢν ἐν λογίοις καὶ τοιοῦτος δοκῶν ἐν
δογμάτων ἐπιστήμῃ παραβασίας καὶ αὐτὸς ἐγκαλοῖτο, καὶ τῆς
μεγίστης, ὡς ἔπειθον. ὅθεν καὶ ἀξιούμενος διορθοῦν τὸ σφαλὲν
αὐτός, ἐν δεινῷ ποιούμενος τὸ σφάλμα ὁμολογεῖν ἐν τοῖς αὐτοῦ
C γράμμασιν, οὐκ ἐπείθετο, ἀλλὰ καὶ προσωργίζετο ὑπερηφανῶν.
τὸ δ' ἐντεῦθεν προσιόντες βασιλεῖ πεισμονῆς ἐνεκάλουν καί γ' αἱ-
ρέσεως, καὶ ἀπεσχίζοντο κατ' ὀλίγον ἐκείνου ὡς μὴ ἀγνοίᾳ δῆθεν
D καὶ ξυναρπαγῇ περιπεσόντος, ἀλλὰ καὶ γνώμῃ. (5) τὰ γὰρ
πρὸ τοῦ ἤπειγον τούτους τοιούτους εἶναί τε καὶ φαίνεσθαι. τὰ
δ' ἦσαν πρῶτον μὲν τὸ τοῦ Ἀλεξανδρείας Ἀθανασίου, ὃν πολ-
P 81 λοῖς ὑπῆγον τοῖς χαλεποῖς πρότερον, μέχρι καὶ αὐτῆς ἐξορίας
περιστάντες τὴν δριμύτητα τῶν κακῶν, ἐφ' ᾧ τὸν τόμον καθυ-
πογράψειε, κἂν ἐκεῖνος μετὰ πολλὰς ἐπηρείας τὸν μὲν τόμον, ὡς
μὴ δοκιμάζειν ἔχων ὡς ἀλλοεθνὴς καὶ τῶν ἡμετέρων δοκῶν ἀξύ-
νετος ὁ τοσοῦτος τὴν γνῶσιν, παρεθεώρει, ἄλλην δέ τινα ὁμο-

8. τὰ] τὸ P. 12. περιστάντες?

doctrinae existimatione subnixum accusari aberrationis a dogmate orthodoxo, eiuaque, ut sui quidem adversarii persuadere conarentur, longe gravissimae ac turpissimae. quare ad hunc tali indignatione praeoccupatum cum venissent qui rogarent ut ipse corrigeret quod in tomo eius vitiose scriptum erat, praefracte negavit agnoscere se quidquam in suo tomo quod emendari opus esset, de petitione insuper illa ipsa, uti de irrogata sibi contumelia, conquerens, iraque ex fastu non modica saeviens. sic repulsi qui patriarcham adieraut, imperatori renuutiarunt nou modo pravae coutra fidei dogma persuasionis, sed addita buic pervicacia etiam haereseos compertum eum teneri. deincepsque sensim plurimi ab eius communione se abscindebant, ut hominis uon ignorautia scilicet lapsi, aut in raptu mentis alio attentae caeco per lubricum impulsu in ruinam praecipitati, sed certa scientia fixaque animi pertinacia errorem amplexantis suum. (5) haec patriarcbae coutumacia ut cunctis videretur intolerabilior, faciebant quae paulo prius in summae diguitatis auctoritatisque personas severissime iu hoc genere agi omnes viderant. iu recenti quippe memoria versabatur quam nulla fuisset babita ratio virtutis doctrinae gradusque conspicui, quibus Constantinopoli peregrinans eminebat Athanasius Alexandrinus patriarcha, cum illum ecclesiastici voleute imperatore vebementissime urseruut ad subscriptionem tomi, gravissimis inflictis recusauti poenis, usque ad ipsam eiectionem iu exilium. quibus ille minis maliaque non pertractus quidem prorsus est eo quo impellebatur: tamen acerba plurima perpessus, taudem aliquo modo satisfacere curavit, allegata excusatione plausibili, baud suum esse, hominis longe a sua ecclesia vitam peregre privatam actitantia, scriptum praesidis eius urbis in qua ipse hospes degeret, iudicio suo subiicere, quod facturus videretur, si suum illi a se lecto subscribere nomen attentaret in signum sententiae de ipso suae, praesertim cum probare librum inexploratum ucmo sanus deberet, explorare autem aut quantum par erat expendere tam multa in tomo scripta otii ac facultatis uon esset suae, quoniam alibi educatus usus ac sensus proprios Constantinopolitanae ecclesiae minus perspectos habe-

λογίαν ἐξ ἑαυτοῦ ἔγραφε καὶ ὑπέγραφεν, αὐτὴν δὴ τὴν τῶν ἁγίων
καὶ κατημαξευμένην, μηδὲν τὸ ἀσαφὲς καὶ ὑπονοούμενον ἔχου- B
σαν. δεύτερον τὸ κατὰ τὸν Ἀντιοχείας Ἀρσένιον, πῶς μόνον
ἀκουσθὲν συσταθεὶς ἐπ' ἐκκλησίας τῷ ῥηγὶ Ἀρμενίας τὰ ἔσχατα
κατεγνώσθη καὶ τῶν διπτύχων ἐξεβάλλετο. καὶ βασιλέως ὅτι τε
τὸν πατέρα δόξαντα περὶ τὴν ἐκκλησίαν ἁμαρτεῖν ἄταφον ἀφῆκε
καὶ ἀμνημόνευτον, καὶ ὅτι τὴν προτέραν σύζυγον τὰ ὅμοια περὶ
τὴν εὔφημον μνείαν ἔδρα, καὶ τρίτον τὴν μητέρα, ὅτι εἰ μὴ καὶ
αὐτὴ τὸν τῆς πίστεως δέδωκε λίβελλον, οὐκ ἂν εἰς κοινωνίαν ἐδέ- C
ξατο. πολλή τις ἦν ἡ κατὰ τοῦ πατριάρχου μέμψις, ὅτι δόξας
σφαλῆναι μὴ διορθῷτο ἀλλ' ἰσχυρογνωμονοίη καὶ μῶμον προσ-
τρίβεσθαι θέλοι τῇ ἐκκλησίᾳ, ἁπάντων μῶμον τὸν χείριστον.
ὑπέρρει γοῦν διὰ ταῦτα ἡ πρὸς ἐκεῖνον τοῦ βασιλέως διάθεσις,
καὶ οἱ κατ' ἐκείνου ἴσχυον πλέον καὶ πλέον ἔτι, μέχρις ἂν καὶ τοῦ D
δηλωθέντος Ἀθανασίου παραγγείλαντος καὶ συμβουλεύοντος δῆ-
θεν τὴν ὑποχώρησιν (ἐκοινοῦτο γὰρ καὶ τούτῳ τὴν γνώμην ὁ βα-
σιλεύς, καὶ αὐτὸς ἐπευδόκει πρὸς ταῦτα, ὡς καὶ ὑποστῆναι τὴν
πρὸς ἐκεῖνον ἄφιξιν ἐφ' ᾧ ξυμβουλεύοι) (6) ἀπειπὼν ἐκεῖνος P 82
καὶ ἀποναρκήσας τοῖς ὅλοις, ἐν μιᾷ τῶν κυριωνύμων ἡμερῶν,

ret quam ad istod examen foret necesse. quod unom recte posset, daturum se scriptam professionem suae fidei, quam et exhibuit, ediditque subscriptam a se, sanctorum dictis congruentem ac trita gradlentem via nihilque obscorum aut suspicioni obnoxium habentem. adiungebatur eo, quod pari acerbitate consultum adversus Arsenium Antiochiae patriarcham nuper fuerat. qui auditus solum consensisse in negotio ecclesiae cum rege Armeniae, ultimae statim damnationi subiectus et erasus e diptychis fuisset. tertium denique celebrabatur ecclesiasticae constantiae in tali causa domesticae pietatis victricis luculentum exemplom, siqoidem Andronicus ipse Augustus parentem proprium errasse in ecclesiae causa iudicatum insepoltum et officio memoriae mortuis reddi solitae multatum dimiserat. quin et priorem suam coniogem pari fooeris et mentionis in sacris, simili ex causa, honore privaverat; denique matrem ipsam soam nonnisi dato ab ipsa libello fidei in communionem admiserat. talia reputantibus et passim iactantibos molta cunctis oboriebatur contra patriarcham indignatio, in acres ipsius reprehensiones erumpens, quod is palam errasse deprehensus emendari recusaret, ac sua pertinacia labem inureret ecclesiae, labemque omnium pessimam. refrigescebat bis de causis ardens prios imperatoris in eum affectus, et adversariorum eios magis quotidie magisque potentia crescebat. eo qoidem usqoe ut modo memoratus Athanasius ipsum adiens auctor ipsi fieret patriarchalis dignitatis ultro abdicandae. id porro Alexandrinos non per se ausus imperatoris suasu suscepit: nam Andronicus soum illi eius rei desiderium communicaverat. cui ille in re tali obseqoendum ratus, sustinuerat convenire patriarcham, et quod haud gratum sciret fore, sponte consilium obtrudere. (6) aversatus ille quidem est invisam propositionem, nec se obsecuturum recepit.

ὁμιλίαν λαλήσας πρὸς τὸν λαὸν ὡς πολλοὶ ἐπισυνέστησαν κατ' αὐτοῦ καὶ ὡς μὴ οἷός τ' εἴη ἀντέχειν εἷς πρὸς πολλούς, καὶ ταῦτα καὶ τῶν Ἀρσενιατῶν εἰρηνεύειν ὑπισχνουμένων εἰ καὶ αὐτὸς ἐξέλθοι, καὶ τέλος ὡς κατὰ δοκιμασίαν ἐξέρχεται, ἐπειπὼν ὡς εἰ μή B γ' εἰρηνεύσοιεν τῇ αὐτοῦ ἀποστασίᾳ ἐπιστησόμενος αὖθις καὶ ὡς θὴρ ἐκείνους καταδραμούμενος, ἔξεισι καὶ τῇ τῶν Ὁδηγῶν μονῇ φέρων ἑαυτὸν δίδωσιν, οὐ μὴν δὲ ὥστε καὶ ἀπρακτεῖν τελέως, ἀλλὰ καὶ συνεισβαλλόντων τῶν περὶ ἐκεῖνον ἀρχιερέων καὶ κληρικῶν συνόδους τε γίνεσθαι καὶ κρίσεις ἀποκαθίστασθαι καὶ τὰ κατὰ τὴν ἐκκλησίαν καὶ αὖθις οἰκονομεῖσθαι, μνημονευομένου καὶ ἔτι.

Ἀλλ' οὐδὲ καὶ τὸ ἐπ' ἐκείνῳ σκάνδαλον κατεστέλλετο, ἀλλὰ C καὶ μᾶλλον ἐλθόντος καὶ τοῦ Ἐφέσου Ἰωάννου, ὃν καὶ μακρόθεν οἱ κατ' ἐκείνου προκατελάμβανον, μεῖζον ἤρετο, καὶ ὁ κρατῶν ἐν διχονοίαις ἦν εἰ μνημονευομένου ἐκείνου αὐτὸς ἁγιάζοιτο ταῖς θυσίαις. διὰ τοῦτο καὶ πολλῶν μεταξὺ συμβάντων χώραν σχόντες οἱ κατ' ἐκείνου τὸ τούτου ὄνομα ἐν ταῖς συνάξεσι κατεσίγαζον, καὶ παραίτησιν ἐζητοῦντο ἐφ' ᾧπερ καὶ τὸν ἄξιον προχειρίσαιντο. ἀλλ' ἐν τοσούτῳ καὶ ὁ εἰς πατριάρχην Ἀντιοχείας

caeterum fractus animo et diffidens rebus suis, quadam die dominica, homilia ad populum perorata, qua questus est multos insurrexisse adversum se, nec resistendo parem esse, utique unum comparatum plurimis; velle igitur cedere, ac cum Arsenianos iactare audiret pacem ipsos amplexuros si amoveretur e medio Gregorius, cupere probare an vera dicerent, ideoque secedere tantisper, animo dumtaxat explorandi quid aiunt acturi, iam nunc plane denuntians, nisi illi promissis steterint et ecclesiam turbare desierint, rediturum sese, et quidem iratum et ultorem, ferae instar ad eos incursandos erumpentis. tantum effatus exiit, et se Hodegorum monasterio abiens condidit, non tamen ut functionibus prorsus inde cunctis abstineret patriarchalis potestatis: quin et convenientibus ad eum partis eius antistitibus ac clericis synodi ab iis celebrabantur et iudicia exercebantur, adeo ut paulatim totam Cyprius ecclesiae administrationem, ut ante, resumeret, quippe qui nec possessionem amisisse videretur, memorari adhuc inter sacra solitus.

Caeterum offensio erga illum publica per hanc secessionem nulla ex parte minuebatur: quin auctae potius brevi turbae sunt, adventu in urbem Ioannis Ephesini, quem absentem iam fuisse praeoccupatum tractumque in partes adversantium Gregorio diximus. inter haec scrupulus quidam angebat imperatorem, dubitantem an sacra quae adiuncta Gregorii patriarchae publica commemoratione celebrarentur, sibi ad sanctificationem prodessent. propter hoc, et alia insuper multa sub id tempus occurrentia invidiae in Gregorium inflammandae apta, captato eius inimici tempore nomen eius in synaxibus silentio presserunt, et ab ipso abdicationem petierunt, ut ad digni electionem in eius locum rite inde procederent. hoc rerum articulo Cyrillus ex Tyri episcopatu in patriarchatum

ἐπ' ἀνατολῆς ταχθεὶς ἀπὸ Τύρου Κύριλλος μετ' Ἀρσένιον, ἀνὴρ D εὐλαβὴς καὶ ἡσυχίας φίλος καὶ πλήρης ἐκκλησιαστικῆς καταστάσεως, τῇ Κωνσταντίνου ἐπιφοιτᾷ, ὃν ἔδει πάντως ἐλθόντα τὸ κῦρος ἐντεῦθεν λαβεῖν ἐκ μεταθέσεως ἀναβιβαζόμενον, κἂν τότε μὴ δεχθεὶς ὕστερον μετὰ χρόνους ὀκτὼ μόλις, καὶ ὑποσχέσεις δοὺς ἦ μὴν μὴ κατά τι Ἀρμενίοις συνέρχεσθαι ἐν τῇ ἐκείνων διά- E γοντα, ἐπεὶ τὰ κατὰ Συρίαν ἠφάνιστο, προσεδέχθη, κἀνταῦθα τὸ βιοῦν ἀπήντλησεν. ὡς γοῦν ἐπιδημήσας οὗτος τῇ Κωνσταντίνου τῷ τότε ὑπὲρ ἄλλους ἐν τοῖς τῶν Ὁδηγῶν κατοικεῖν προυτιμᾶτο, ἀπάρας ἐκεῖθεν ὁ πατριάρχης Γρηγόριος τῷ τοῦ ἁγίου Παύλου τοῦ ἐν τῷ Λάτρῳ μετοχίῳ μετοικισθεὶς δίδοται. (7) καὶ ἦν ἐκεῖ διαφιλονεικῶν πρὸς ἀρχιερεῖς καὶ βασιλέα ἐπι- P 83 καλούμενος, εἰ λαβόντες αὐτὸν σοφόν τε καὶ ἔντιμον νομιζόμενον, προσέτι δὲ καὶ ὀρθοδοξοῦντα, οὐχ ὅπως ἀτιμοῖεν ἐκεῖνον, ἀλλὰ καὶ προσαφαιροῖντο τὸ ἐπὶ τῇ ὀρθοδοξίᾳ σέμνωμα. καὶ δὴ καὶ ὡς εἶχε γράφων τὴν ἐπὶ τῷ τόμῳ τῶν κατηγορουμένων ἐπίλυσιν, ὅπως γράψοι τὴν ἀρχὴν καὶ ὅπως φρονοίη, καὶ ὡς εἰ μὴ οὕτως ἐξηγοῖντο, ἀνάγκη πᾶσα εἰς τὴν τοῦ Βέκκου γνώμην B ἐμπίπτειν, ταῦτα λέγων ἠξίου διδόντας αὐτοὺς τὸ ἐπὶ τῷ ὀρθο-

17. εἰ deerat.

Orientalem Antiochiae post Arsenium, translatus, vir religiosus, quietis amicus, plenus ecclesiastica gravitate, Constantinopolim advenit, quod illum ut faceret cogebat necessitas ratae reddendae promotionis suae, haud aliter firmam auctoritatem habiturae propter transitum ex uno throno in alium, cuius inde gratiam impetrari oporteret. quamquam tunc non impetravit ille quidem. verum post annos octo rediens, vix, promissionibus datis se neutiquam in ulla re cum Armenis conventurum, quando in eorum ditione degeret rebus Syriae iam perditis, denique admissus est, et hic vitam exhausit. is igitur circa tempus cuius modo acta referebamus, Constantinopolim appulsus, cum propter eminentem super alios dignitatem eximie honorandus visus fuisset assignando ei apud Hodegos diversorio, recedens inde patriarcha Gregorius in hospitium Sancti Pauli in Latro transmigravit, illucque se abdidit. (7) ibi erat altercans cum episcopis et imperatorem accusans, quod se, quem assumpsissent sapientem et honorabilem ereditum ac praeterea orthodoxe sentientem, nunc non modo ignominia afficerent, sed et ipsi pretiosum decus orthodoxe sentientis auferrent. inter haec quiritanda totus incumbebat in scriptitandas confutationes accusationum quae tomo a se edito intentabantur. istarum omnium apologiarum unus erat scopus demonstrare quam iusta occasione, quam recto animo ipse a principio scribere aggressus esset, tum docere quam innocens et ab omni macula immunis sententia latuerit sub quibusdam in suo tomo obscure positis verbis ambigueque perplexis; quae quidem ultro fatebatur, nisi eo modo quo nunc exponebat declararentur, necessario in Vecci sententiam incidere. haec ita disputans, petebat dari sibi ab iis quos compellabat, antistitibus

δόξῳ οἱ βέβαιον καὶ ὁμολογοῦντας ἀντιλαμβάνειν παρ᾽ ἐκείνου τὴν τοῦ θρόνου παραίτησιν. τοῦτο οὖν ἐκείνοις λαβύρινθος ἄντικρυς δυσδιέξιτος· εἰ γὰρ ὁμολογοῖεν ὀρθόδοξον, ἡ ἐπὶ τῇ παραιτήσει ἀξίωσις οὐχ ὅπως ἄδοξος ἀλλὰ καὶ τυραννικὴ κατεφαίνετο. ἀντηξίουν γοῦν διὰ ταῦτα κἀκεῖνοι τὸν βασιλέα κρίσει C *ἐπιτραπῆναι τὰ κατ᾽ ἐκεῖνον, καὶ εἰ μὲν εὑρεθείη ἀπὸ κοινῆς σκέψεως τὸ ἀσφαλὲς ἐφ᾽ οἷς ἔγραψεν ἔχων, τελεῖν καὶ αὖθις εἰς πατριάρχην ἐκεῖνον, εἰ δέ γ᾽ ἐξελεγχθείη ἐμπεσὼν εἰς σφάλμα δογμάτων, αὐτὸν μὲν ζητεῖν ἐν μετανοίᾳ συγγνώμην καί γε λαμβάνειν, αὐτοὺς δ᾽ ἀφέντας ἐκεῖνον δικαίως (καὶ τίς γὰρ ἐντεῦθεν παραιτήσεως χρεία;) ζητεῖν τὸν ἄξιον. ἐδέξατο τὸν λόγον ὁ βασιλεύς, καί γε πέμψας παρεδήλου τῷ Γρηγορίῳ τὰ παρὰ τῶν ἀντιδικούντων λεγόμενα. ὁ δὲ καθάπαξ δεινὸν ἡγούμενος εἰ καὶ* D *αὐτὸς ὁ δοκῶν ὑπὲρ ἄλλους ἐπὶ τῇ παραβασίᾳ ἁλίσκοιτο δόγματος, ἐδέχετο τὴν ἀξίωσιν καὶ ἕτοιμος ἦν ἀπαντᾶν εἰς κρίσιν. ὅθεν καὶ ὥριστο μὲν ἡ ἡμέρα, ὥριστο δ᾽ ὁ τόπος· ὁ δ᾽ ἦν τὸ μέγα τοῦ βασιλέως παλάτιον. ἐτάττοντο οἱ κριταί, οἱ κατηγορήσοντες ἡτοιμάζοντο· οἱ δ᾽ ἦσαν οἱ σχισθέντες ἐκείνου, ὅσοι τε τῶν ἀρχιερέων καὶ ὅσοι τῶν κληρικῶν. τὰ πάντ᾽ εὐτρεπῆ,*

videlicet et Augusto, testimonium omni auctoritatis firmitate ad fidem plenam munitum, quo illi profiterentur plane se comperisse Gregorium patriarcham haud umquam in dogmate orthodoxo titubasse, huius testimonii diplomate accepto se vicissim daturum pollicens rite conscriptam throni cessionem. id istos labyrintho inclusit inextricabilis perplexitatis, secum utique reputantes, postquam eum sine dubitatione orthodoxum declarassent, flagitationem abdicationis throni pudendam ipsis et tyrannicam apparituram. quare aliam expeditiorem viam rati sequendam antistites imperatorem orabant ut iudicium rite instituí de causa fideque Gregorii sineret, permittendo eum liberis synodi suffragiis; quibus si absolveretur et post accuratam explorationem scripta eius ab omni pravae doctrinae suspicione aliena reperirentur, confirmaretur sane in antiqua possessione patriarchalis dignitatis, et throno insidere, ut prius, pergeret: sin clare convinceretur incidisse in errorem circa dogmata, tum ipse in poenitentium ordinem redactus veniam posceret et impetratam acciperet, ipsi autem iam tum eius obedientia rite soluti (nam quae tandem in eo casu necessitas abdicationis foret?) quaererent alibi dignum qui throno subrogaretor. admisit propositionem imperator, et missis ad Gregorium certis hominibus ei significavit quid eius adversarii poscerent. hoc ille cognito, qualemcunque arripiendam occasionem putans turpissimae iniustae soo prius late inclyto nomini labis semel eluendae, prompte admisit quod offerebatur, paratissimumque se exhibuit vadimonio sistendo. dies inde dicta iudicio est, designatusque locus magnum palatium imperatoris. nominantur iudices, accusatores comparantur. erant hi quotquot ex episcopis et clericis se palam a Gregorio absciderant. parata cuncta erant, in procinctu proximo conventus. adest statuta dies, qua congregandi omnes in loco expectabantur. universos praevertit patriarcha cum suis, mane

ἔδει δὲ συνελθεῖν καὶ μόνον. ὡς δ' ἡ κυρία παρέστη καὶ ἀπαν-
τᾶν ἔδει εἰς ταὐτὸν πάντας, αὐτὸς συνάμα τοῖς ἀμφ' αὐτὸν P 84
πρωϊαίτερον ἑτοιμασθεὶς ἔφιππος σὺν ἐφίπποις πρὸς τὸ παλάτιον
ἀπαντᾷ, καί που ἱστάμενος ἔξω ὡς ἔτυχεν ἔχων, δήλην τῷ βα-
σιλεῖ τὴν σφετέραν ποιούμενος ἄφιξιν ἀπαντᾶν τὴν ταχίστην καὶ
κριτὰς καὶ κατηγόρους ἠξίου. ὁ μέντοι γε βασιλεὺς σοφώτερόν
τι καὶ βαθύτερον ἐννοῶν, ὡς γεγονυίας τῆς διαλέξεως οὐδὲν ὅλως
χωρήσει κατ' ὀρθὸν τὸ πρᾶγμα, ὡς θάτερον ἀμφοῖν γενέσθαι,
ἢ ἐκεῖνον φανέντα κακὸν ἡσυχάζειν ἢ ἐκείνους διαβολεῖς ὁμολογεῖν,
ἀλλὰ παραμένειν καὶ αὖθις τὸ σκάνδαλον, φύσεως ἐχόντων τῶν B
λόγων λόγοις μάχεσθαι, ὡς πραγμάτων καὶ μόνων εἶναι τὴν ὁμο-
λογίαν τῆς φύσεως, ὡς ἔχουσι φαινομένων καὶ μὴ ὡς λέγονται,
ταῦτα σκοπήσας, καὶ μᾶλλον ὅτι τοῖς καταβαλοῦσιν οὐκ εἰς
ἀσφαλὲς πάντῃ περισταίη ἂν τὸ πραχθὲν ὡς εἰς ὀβελισμὸν ἀγο-
μένοις διὰ τὴν τοῦ χειροτονητοῦ παραβασίαν, καὶ μᾶλλον ὅτι
καὶ τὸ ἐπισφαλὲς ὁμολογοῦντες ὑπέγραψαν, οὐκ ἔκρινεν εἰς συμ-
φέρον γενέσθαι τὴν κρίσιν. ὅθεν καὶ πέμψας ἀπήρτα τὴν διαδι- C

iam tum primo eques ipse cum sociis item equitibus ad magnum palatium expeditus occurrens. ac ubi primum palatinos ministros reperit, consistens, nuntiare iussit imperatori suum adventum, rogareque a se ut iudices quamprimum et accusatores coire suos vellet. verum imperator re attentius considerata mutaverat sententiam. repetens enim memoria successum similis colloquii cum Vecco habiti, ex quo nihil utile ad pacem ecclesiae provenisset, facile intelligebat haud maiorem expectari debere conventus huius fructum. alterum enim necessario secuturum, ut aut Gregorius peccasse iudicatus indeque redactus in ordinem privatus viveret, aut ipsius palam innocentia perspecta eius adversarii infamiae ac poenis calumniatorum subiacerent. utrumvis autem contingeret, mansurum nihilominus ecclesiae scandalum, nec remissius saevitura rixantium iurgia, cum sermones opponere sermonibus, et natura promptum et usu ac licentia infinitum sit, siquidem ubi res ipsae, quae controversias palam exhibitae finirent, non proferuntur nisi larvatae formis, quibus eas disserentium oratio fucavit, nulla spes restat litium finiendarum, quibus inexhausta humanae linguae loquacitas scaturiginem semper suggeret aeterno profluvio suffecturam, una sola, sed dudum ubique desperata conditione certae pacis inter homines proposita, si posset effici ut de rebus prout re vera sunt, non prout pinguntur dicendo, iudicaretur. denique adversariorum Gregorii, hominum sibi carorum, causa et periculo maxime imperator movebatur ad vitandam aleam iudicii de homine quem ipsi patriarcham fecissent, cuius tomo subscripsissent, instituendi. nam hoc secundum accusantium spes ac vota damnato, statim apparebat errasse illos et pessime ecclesiae consuluisse, qui suis temere suffragiis suspectae doctrinae virum in thronum evexissent, unde postea deprehensa eius a fide recta defectione deiiciendus necessario fuisset. apparebat et erroris ob quem is damnatus esset haud fuisse immunes eosdem, utpote qui verba illa suspecta, sub quibus latuisse haeresim postmodum ipsi agnovissent,

*κασίαν. καὶ γὰρ καὶ οἱ ἀντίθετοι τούτῳ εὐφυῶς ἀπεκρούοντο
τὰ τῆς κρίσεως, οὐκ εἰς συμφέρον ἔσεσθαι τοὺς λόγους πολλῶν
κινηθέντων διαβεβαιούμενοι, ἔπειθον δὲ βασιλέα πέμπειν καὶ
ἀξιοῦν παρέχειν λίβελλον παραιτήσεως. μηδὲ γὰρ εἰς συμφέρον
ἔσεσθαι τὴν ἐξέτασιν, αὐτοὺς δ' ἐντεῦθεν ὁμολογεῖν εὐσεβῆ, καὶ
μηδένα τὸν δισταγμὸν ἐπὶ ταῖς σαῖς, φησί, φέρειν δόξαις, μό-
νον δὲ σκανδαλισθῆναι διὰ τὸ τοῦ Μάρκου γράμμα, ὃ καὶ αὐτὸς*
D *σὺ φθάσας πολλάκις ταῖς ἀποβολαῖς δέδωκας ὡς παρὰ τὸ ὀρθὸν
συντεθὲν τῆς κοινῆς δόξης τῆς ἐκκλησίας, καὶ διὰ ταῦτα δίκαιον
εἶναι βασιλεῖ τε πείθεσθαι τὰ χρηστὰ συμβουλεύοντι καὶ εἰρηνι-
κῶς ἀπαλλάττειν. ταῦτα πολλάκις διεμηνύετο, ἀλλ' οὐκ ἔπειθε.
καί γ' ἐπὶ πολλοῖς καὶ τὸν τότε κοιαίστορα Χοῦμνον καὶ τὸν συγ-
γράφοντα συνάμα πέμπων ὁ βασιλεὺς προσέταττε λέγειν καὶ
ἀξιοῦν τὰ αὐτὰ παρ' αὐτοῦ. τυραννεῖσθαι γὰρ τῇ εἰς ἐκεῖνον*
E *ἀγάπῃ ἐπὶ τῷ μέχρι τόσου τὴν ἐκκλησίαν κυμαινομένην περιορᾶν,
καὶ μηδὲν ἐφεῖναι τοῖς κατ' ἐκείνου ὥστε καὶ πλέον τι παρὰ τὸ εἰ-*

sua festinassent subscriptione inconsultissime firmare. quo utroque nomiue quin poenas ecclesiae deberent, non videretur posse dubitari. his secundis cogitationibus de priori tunc consilio detractus Andronicus, cum misisset qui iudicii apparatum disiicerent, haud multum ii repugnantes invenerunt accusatores patriarchae. hi enim suum quoque ipsorum in tali causa verti periculum intellexerant, veriti ne motis, ut fit, ea occasione multis aliquid detegeretur, quod grave ipsis damnum accerseret. confirmarunt ergo cupide imperatorem in nova sententia iudicii omittendi, auctoresque illi fuere mittendi ad Gregorium qui libellum abdicationis sedis ab eo poscerent, praetextu ipsius famae consulendi. cum enim sint ancipites iudiciorum exitus, videre profecto ipsum quam foret sibi turpe damnari. victoriae autem incertae fructum certum iam nunc citra certamen offerri: promittebant quippe, simul ab eo accepissent cessionis syngrapham, se vicissim illi testimonium authenticum daturos, quo is plane orthodoxus et ab omni pravae doctrinae suspicione alienus declararetur, culpa eius demum omni redacta in non valde pudendam negligentiam permittendae editionis commentarii Marci monachi, in quo sero tandem, quod et ipsum aliquoties constabat fassum, deprehendisset quaedam non usquequaque ad ecclesiasticae rectitudinis normam exacta. delegati ab Augusto qui haec cum Gregorio agerent, saepe illum in istam sententiam sunt allocuti, saepe adhortati ad obsequendum imperatori salutaria ipsi suadenti, pacateque ac secure defungendum invidioso et praecipiti negotio. sed surdo semper cecinerunt, quoad conficere quomodocumque rem Augustus volens, post multos alios id frustra conatos, duos ad extremum misit, Chumnum quaestoris tunc officio fungentem, et cum eo huius historiae scriptorem. hos iussit et disserere denuo et orare a se instantius eadem illa superius memorata, praetereaque de novo addere, hactenus se tyrannica quadam vi amoris in Gregorium sui prohibitum a necessario rei publicae pacandae, sed illi parum decoro, remedio adhibendo, et potius passum esse iactari ecclesiam factionum fluctibus quam inducere potuerit animum ad permittendam adversariis Gregorii traductionem ipsius nimis igno-

κὸς ἐκκηρύττειν, ἀλλ᾽ ὀρθόδοξον ἡγεῖσθαι πείθειν καὶ ἑτοίμως
σπένδεσθαι τοῦ σκανδάλου παραιρεθέντος· τὸ δ᾽ ἔσται πάντως,
εἰ μετ᾽ εἰρήνης παραιτοῖτο. ταῦτ᾽ ἔλεγε βασιλεύς, ἀπειρηκὼς
ἤδη πρὸς τὸ τῶν πολλῶν σκάνδαλον. ἀλλ᾽ ἀκούων ἐκεῖνος τότε
πολὺς ἦν ἀλύων, εἴπερ ἀναφανδὰ μὲν ἐφ᾽ αἱρέσει τοῦτον διεκω-
μῴδησαν, κρυφᾷ δὲ ὡς ὀρθοδοξοῦντα δέχονται. διὰ τοῦτο καὶ P 85
τὴν ὁμολογίαν ἐζήτει ταύτην κοινῇ παρ᾽ αὐτῶν γενέσθαι, συν-
αχθείσης τῆς πολιτείας ἅμα συγκλήτῳ καὶ βασιλεῖ, μηδὲ τῶν
ἐκκρίτων μοναχῶν ἀπόντων.

8. *Ταῦτα ζητοῦντος ἐκείνου ὡς αὐτίκα καὶ τὴν παραίτη-* B
σιν δώσοντος, σκέψις ἦν μεγίστη, καὶ σχίσμα μέγα μεταξὺ τῶν
ἀπ᾽ ἐκείνου σχιζομένων ἐγένετο, τῶν μὲν μηδ᾽ ἀνεχομένων ὁμο-
λογεῖν ἐκεῖνον ὀρθοσεβῆ, ὡς εἰ ὁμολογοῖεν, παρευθὺς ἐγκαθι-
στᾶν τῷ θρόνῳ καὶ ἄκοντας, καὶ τοῦ αἰτίου λυθέντος αὐτὸν

11. *δώσοντα* P.

miniosam; et fixum semper lu eo perstitisse ut salvo patriarchae honore publicae offensioni satisfieret, ac non aliter quam illo vere orthodoxo declarato scandalnm tolleretur rixarum nnnc flagrantium causa. qnocirca enixe uunc ultimum rogare ut foedus inire in eam conditionem velit. id omniuo futurum, si ultro ac voluntarie patriarchatu cedat. huiusmodi fuit postrema Gregorio periata denuntiatio imperatoris, iam pertaesi tam gravem tamque diuturnam perturbationem multorum. verum haec ille tunc andiens multus fuit in deploranda sua sorte, perinique secum agi conquerens, quem sui adversarii publice quidem infamarent ut manifeste compertum haereseos, clam autem ut orthodoxum agnoscere se dicerent et communione amplecti. tum sic orationem conclusit, nt omnino se velle, eaque tantum iege conventurum bona fide in concordiam danda sedi abdicatioue affirmaret; si prius congregata civitate universa, senatu cum imperatore praesentibus, nec inde absentibus delectis ex universo monachorum ordine, testimonium conscriberetur, quo universi unanimi consensu declararent esse Gregorium plaue immunem a labe omni ac suspicione pravae doctriuae.

8. Id cum ille ita quaereret ut ab hoc dato statim se abdicationem rite conscriptam vicissim daturnm polliceretnr, magna est et perplexa instituta deliberatio disquirentinm ecquid expediret morem illi gerere. ea occasioue qni semel a Gregorio se absciderant, rursus ab invicem scissi sunt, divortiis abrepti factionum, quibusdam non sustinentibus declarari eum orthodoxum, quod id nihii minus esse dicerent qnam confirmare in patriarcbali throno quem deiectum inde omues vellent. quis enim non videret, simul purgata esset pravae doctrinae labes, quae sola allegaretur ratio depositionis eius, perstiturum illnm qnam optimo iure in dudum acceptа potestate, suffragantibns vel invitis eins adversariis, et poenas sic luituris imprudentiae qna eins exanctorandi vlam illam inivissent, qnae ad ipsum in sedis possessione ineluctabiliter corroborandum una esset omninm aptissima? itaque illnm haud dubie deinceps patriarcham tanta illa usurum potestate ad eos ulciscendos qni se accusassent; quos miseros e loco snperiori pro libitu incursaret, irae obsequens et iis ipsos subiiciens snp-

P 86 ἔχειν τὸ ἀπὸ τοῦδε καὶ ἐπιτιμᾶν ἀδικοῦσι καὶ τῆς ἀξίας ἐπιλαμ-
βάνεσθαι. ἦσαν δ' οὗτοι οἱ περί τε τὸν Ἐφέσου καὶ τὸν Κυζί-
κου, οἳ δὴ καὶ μᾶλλον δεῖν ἔλεγον κρίνεσθαι τὸν Γρηγόριον, καὶ
σφᾶς τὸ ἀποβησόμενον δέχεσθαι, μηδ' ἐπειλύειν τὴν κάκην,
μηδ' ἄλλα κεύθοντας ἄλλα βάζειν, οἰκονομοῦντας. τῶν δὲ
τρόποις οἰκονομίας νευόντων ὁμολογεῖν εὐσεβῆ τὸν Γρηγόριον, ὡς
μηδ' ἐκ τοῦ τόμου τόσον σκανδαλισθέντας ὅσον ἐκ τοῦ τοῦ μο-
ναχοῦ Μάρκου γράμματος, μόνον ἐκεῖνον ἕτοιμον εἶναι ἠξίουν
B παρέχειν τὸν τῆς παραιτήσεως λίβελλον. καὶ ἤθελον τοῦτο, εἰ
οἷόν τ' ἦν, πληροφορεῖν καὶ γράμμασι τὸν Γρηγόριον. ὁ δὲ
πέμψαντος τοῦ βασιλέως λόγοις ἐπληροφόρει θεοῦ ἐναντίον, ὡς
ἔλεγε, μὴ φθάσαι τούτους ὁμολογεῖν ἐκείνῳ τὸ σέβας, κἀκεῖνον
διδόναι τὸ τῆς παραιτήσεως ἔγγραφον. οἱ μὲν οὖν περὶ τὸν Ἐφέ-
σου οὐδ' ὅλως οὔτε τὸν λόγον ἐδέχοντο οὐδὲ τὸ πρᾶγμα εὔσχημον
ἔκρινον· οἱ δὲ περὶ τὸν Φιλαδελφείας καὶ μάλα τὸν λόγον ἔνορ-
κον εἶχον ὡς ἐναντίον γίνεσθαι λεγόμενον τοῦ θεοῦ, κἂν μετα-

1. τὸ] τοῦ P. 4. ἐπιλύειν P. 7. τόσους P.

pliciis, quae proprius illi dolor, in memoria recenti traductionis suae, iuste iniustis delatoribus posse imponi suaderet. auctores huius sententiae Ephesinus et Cyzicenus antistites, multos quisque sibi adhaerentes trahens. quorum audiebatur omnium unanimis oratio, ventilari omnino ecclesiastico debere iudicio causam Gregorii, permittique suffragiis peritorum recte illo necne circa dogma sentiret, nec reformidandum litis exitum. sese enim eventus qualiscumque iam nunc sibi periculum deposcere. praestare quippe illud longe quam dissolutissima ratione plagam incuratam fasciis solvere, alia conscio celantes alia effutire; denique fucum vanarum excusationum inexcusabilibus actis et scriptis appingere. huic opposita ex adverso invalescebat opinio multorum, compositionis viam quaeri oportere contendentium, nec aspernandam videri conditionem oblatam. caveri enim satis posse certitudini promissae cessionis: qua satis constituta, quid tandem mali esset consolari Gregorium dando illi quod petebat testimonio, cum satis constaret non tam ex eius tomo scandalum multorum ortum quam ex scripto Marci monachi? exhiberet se modo Gregorius paratum dando abdicationis libello ubi testimonium acceperit; et si queat ab ipso impetrari, fidem in id suam scripto rite consignato iam nunc obliget. tum sane consulatur eius famae, conscribendo quale postulat sanae suae doctrinae testimonio. compellatus igitur a missis ab imperatore ad hoc ipsum Gregorius de promisso abdicationis dando, ille ad id scripto concipiendum haud promptus omni verborum asseveratione coram deo, sic enim est locutus, confirmavit non prius ipsos edituros scriptum quo sibi decus incorruptae in dogmate fidei assererent, quam ipse vicissim rite conscriptum abdicationis patriarchatus libellum daret. hoc relato responso Ephesinus, et qui ei adhaerebant, haud acquiescendum arbitrabantur, multaque allegabant ob quae nec tutum nec honestum id esse contenderent. Philadelphiensis contra cum suis, illam interpositam a Gregorio dei mentionem in pollicendo pro vero iuramento interpretantes, satis eam promissionem videri debere affirma-

βάλοι τὴν γνώμην ἐκεῖνος, αὐτοὺς ἔχειν τοὐντεῦθεν δύναμιν κα- C
θαιρεῖν ὡς ἐπιορκίας ἁλόντα διεβεβαίουν. τῶν γοῦν περὶ τὸν
Ἐφέσου τε καὶ Κυζίκου μηδ' ὅλως καταδεχομένων τὴν κοινωνίαν
ἐκείνην, ἀλλὰ κρίνειν θελόντων ὃν εἰδέναι ἔλεγον ἁλισκόμενον,
ὁ βασιλεὺς πρὸς ἐκείνους λέγων καὶ μὴ πείθων, ἐπεὶ ἑώρα ἀνα-
σοβουμένην τὴν θήραν ἐπὶ τῷ μηδὲν τὰς προφορὰς παύεσθαι,
μιᾷ νυκτῶν συγκαλέσας καὶ περὶ τῶν προκειμένων οὐκ ὀλίγα
διεξελθών, τέλος μὴ πειθομένοις ὀργίζεται, σκληρότητα σφίσιν D
ὀνειδίζων καὶ ἀνοικονομησίαν ὡς ἀναταράσσειν ἀεὶ τὴν ἐκκλησίαν
ὀρεγομένοις καὶ ἀνεγείρειν κλύδωνας μήπω κατευνασθέντας τέλεον.
κἀκείνους μὲν καὶ ἄμφω ἀπὸ προσώπου ποιεῖται, ἐπισκήψας
σφίσι μετ' ἐμβριθείας ἐγκλεισθῆναί τε ταῖς καταμοναῖς καὶ ἀπροΐ-
τους μένειν, ἕως οὗ ἀποκαταστάντος πατριάρχου τῇ ἐκκλησίᾳ
τὰ κατ' αὐτοὺς ἐξετασθήσονται, καὶ μᾶλλον τὰ κατὰ τὸν Ἐφέ-
σου, ἐπεί γε καὶ ἔφθασε γράψας Ἀσιανοῖς κατὰ Γρηγορίου τὰ E
χείριστα. καὶ τοὺς μὲν οὕτως ἀποπεμψάμενος ὁ κρατῶν, τοῖς
σὺν ἐκείνοις μονωθεῖσιν ἐμβριθέστερον προσφερόμενος πειθηνίους
τε παραυτίκα δείκνυσι καὶ συνενοῖ τοῖς λοιποῖς. οἳ δὴ καὶ κατὰ

bant, quippe a qua si resilire postea Gregorius tentaret, statim, uti periurii compertus, legitime deiici patriarchatu et canonice deponi posset. perstabant nihilominus Ephesinus et Cyzicenus in contraria sententia, contendentes nulla ratione tam merito haereseos suspectum hominem crimine nondum purgato in qualemcumque communionem debere admitti, necessariumque omnino pertendentes causam eius cognosci, ac nihil se praeverti passuros iudicio, quo certum iam haberent eum pravae doctrinae manifeste convincendum. egit cum his imperator, et sermone accurato est conatus illos ab hac pertinacia deducere: sed profecit nihil. unde angebatur animo, feram in casses mox induendam intempestivis male cautorum venatorum abigi clamoribus dolens, infinitumque duci tumultuosissimarum rixarum funem ferens aegerrime. hac instinctus solicitudine ad ambos hos praesules nocte quadam vocatos copiosissime instantissimeque de toto negotio disseruit, ostendens quam conveniret unicam istam oblatam arripere conventionis ansam. ac cum nihil ab illis impetraret, excandescens exprobravit durissimam utrique pervicaciam, increpans esse illos compositionis inimicos, pacis hostes, cupere iactari aeternis contentionibus ecclesiam, novasque ciere tempestates veteribus nondum plane compositis. sic iracunde obiurgatos facessere a conspectu suo iussit, minacissime suis imperans, irent, abducerent contumaces, abderentque disiunctos invicem in separatas custodias, prohibito quorumvis ad eos accessu. ita utrumque servarent quoad praeposito ecclesiae patriarcha novo causae ipsorum legitimo iudicio subiicerentur, maxime autem Ephesini, qui iam literas foedissimae obtrectationis in Gregorium plenas Asianis inscriptas edidisset. his in hunc modum a se dimissis imperator, sequaces ipsorum vehementi adortus impetu, absentia iam ducum infirmiores facile deterruit, pertractosque in sententiam caeteris adiunxit; quibus apud magnum coactis pa-

τὸ μέγα παλάτιον συναχθέντες, παρόντος μὲν βασιλέως παρού-
σης δ' ἁπάσης συγκλήτου καὶ κλήρου καὶ μοναχῶν σχεδὸν ἁπάν-
των καὶ λαώδους οὐκ ὀλίγης μοίρας, συνόντων καὶ αὐτῶν δὴ τῶν
P 87 κατὰ Γρηγορίου τὴν ἀρχὴν ὁρμησάντων, σταθεὶς ὁ Φιλαδελ-
φείας Θεόληπτος πολλῶν τῶν κατὰ Γρηγορίου στομάτων μία
γλῶσσα γίνεται, καὶ ἀνακηρύττει παρόντα τὸν πατριάρχην ὀρ-
θόδοξον, ἅπαν δ' ἐκεῖνο σκάνδαλον καὶ πᾶσαν τὴν ἀπ' ἐκείνου
ἀποστασίαν τῷ τοῦ Μάρκου γράμματι ἀνετίθει ὡς ἐκεῖθεν ἀνε-
B γηγερμένων τῶν ταραχῶν, οὗ δὴ καὶ παρ' αὐτοῦ τοῦ πατριάρ-
χου ἀποβληθέντος ἐκείνους μηδένα ἔχειν τὸν δισταγμὸν ἐπ' αὐτῷ
τοῦ μὴ ὀρθόδοξον ἔχειν διωμολόγει. ταῦτα λέξας τε καὶ πλα-
τύνας ἐπίτηδες τῶν ἄλλων ἑστώτων ἐν σιωπῇ καταπαύει τὸν λό-
C γον. (9) ὁ δέ γε Γρηγόριος βασιλεῖ συνταξάμενος καὶ τοῖς συν-
ειλεγμένοις, καὶ τὰ εἰκότα δεξιωσάμενος, ἐκεῖθεν ἀπαίρει, καὶ
ἐπὶ σχολῆς τῇ ὑστεραίᾳ συντάττει τὸν τῆς αὐτοῦ παραιτήσεως
λίβελλον, ἔχοντα ἐπὶ λέξεως οὕτως. "ἐμὲ προυβίβασαν εἰς τὸν
θρόνον τὸν πατριαρχικὸν καὶ εἰς τὸ τῆς ὑψηλῆς ταύτης ἀρχιερω-
σύνης ἀξίωμα οὔτε αἱ ἐμαυτοῦ σπουδαὶ οὔτε τῶν ἐμῶν φίλων
P 88 συνάρσεις, ἀλλ' ἀνῆγεν ὡς οἶδε μόνος θεός. ἐπεὶ δὲ τοῦτο γέ-
γονε καὶ διετέλεσα ἔτος ἕκτον ἤδη καὶ πρὸς εἰς τόδε τὸ λειτούρ-
γημα, πάντα ἐποίουν καὶ ἔλεγον ὥστε καὶ τοὺς σκανδαλιζομένους
καὶ τῆς ἐκκλησίας ἀποδιισταμένους εἰς εἰρήνην ἀγαγεῖν καὶ ἑνῶσαι

latium, praesente imperatore, praesente universo senatu, clero insuper et monachis fere omnibus laicaeque multitudinis non exigua parte, nec non iis ipsis qui primi contra Gregorium saeve coorti fuerant, una considentibus, tot prius apertarum in Gregorium buccarum unam se ferens linguam Theoleptus nomine omnium declaravit, quem viderent coram adesse patriarcham, eum plane inculpatum circa fidem et orthodoxum esse, quidquid autem circa eum offensionis extitisset publicae secutaeque ex hac ab illo secessionis, totum esse imputandum commentario Marci, quod procellarum ea occasione concitatarum unica origo, causa primaria fuisset. quem commentarium cum iam palam ipse patriarcha reiecisset, nullam restare de recta eius fide inoffensaque doctrina dubitandi rationem. quare illum omnes pro recte sentiente pleneque orthodoxo se habere profiteri. ea cum dixisset et de industria fusius explicasset, cunctis in silentio perstantibus, finem loquendi fecit. (9) at Gregorius gratiis imperatori et universis qui convenerant prolixe actis, cunctis perofficiose vale dicto, inde abiens diem posteram formando per otium promissae cessionis libello impendit, sic ad verbum se habenti. "me in thronum patriarchalem et in hanc excelsam principalis sacerdotii dignitatem non mea ipsius promoverunt studia, nec meorum suffragationes amicorum, sed conscendi ut deus solus novit. postquam autem est hoc factum, atque annum iam sextum et quod excurrit in hoc sum sacro ministerio versatus, omnia eo mea facta dictaque retuli ut scandalum passos et ab ecclesia divulsos ad pa-

αὐτῇ. ἀλλὰ τὸ σπούδασμα τοῦτο εἰς τοὐναντίον ἢ ἐγὼ ἐβουλόμην προέβαινεν, ὥστε καὶ ἐβόων τινὲς ὡς οὐκ ἂν ἡ εὐκταία αὕτη εἰρήνη γένοιτο, εἰ μὴ ἐγὼ τὸ πατριαρχεῖον καταλιπὼν ἐκ τοῦ μέσου γενοίμην. οὐκ ἠνεσχόμην ἐπὶ χώρας μένειν, οὕτως ἐναν- B τίως ὁρῶν τὰ τῆς ἐκκλησίας ἔχοντα, ἀλλ' ἠγάπησα μᾶλλον σπενδομένους τῇ ἐκκλησίᾳ καὶ ἀλλήλοις τοὺς σκανδαλιζομένους ὁρᾶν ἢ ἐμαυτῷ τὴν τοιαύτην κατέχειν ἀρχήν. ἔνθεν τοι καὶ διὰ τὴν αὐτῶν τούτων ἐν θεῷ εἰρήνην καὶ τὴν τῶν ψυχοβλαβῶν σκανδάλων ἀργίαν παραίτησιν ποιοῦμαι τοῦ θρόνου τοῦ πατριαρχικοῦ καὶ τῆς ἀρχῆς τῆς πατριαρχικῆς καὶ τοῦ ἀξιώματος, οὐ μέντοι γε καὶ τῆς ἱερωσύνης, ἐπεὶ ταύτην ἐλεοῦντός με τοῦ θεοῦ φυλάξω ἐμαυτοῦ διὰ βίου παντός, ὅτι καὶ διὰ μόνην τῶν πολλῶν εἰ- C ρήνην καὶ πρὸς τὴν ἐκκλησίαν αὐτῶν ἕνωσιν ποιοῦμαι τὴν τοιαύτην παραίτησιν, οὐ μὴν ὅτι ἐμαυτῷ σύνοιδά τι πράξαντι ἀπεῖργον τῆς ἱερωσύνης ἐμέ. ἔνθεν τοι καὶ ἔξεστι τοῦ λοιποῦ σὺν εὐδοκίᾳ θεοῦ ἄλλον ἐκλέξασθαι πατριάρχην καὶ εἰς τὸν θρόνον τὸν πατριαρχικὸν καὶ τὴν ἀρχιερωσύνην ταύτην ἀναβιβάσαι, ὃς ἂν καὶ ὑπὸ θεῷ συμμάχῳ καὶ βοηθῷ, ὅσα καὶ κανονικὸς πατριάρχης καὶ γνήσιος ἀρχιερεύς, εἰς ἓν τὰ διεστῶτα τῆς ἐκκλησίας μέρη D συνάγειν καὶ ἐπισυνάπτειν δυνήσεται. καὶ γένοιτο τοῦτο οἰκτιρμοῖς τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, δυσωπουμένου ταῖς τῆς πανάγνου δεσποίνης ἡμῶν παρθένου καὶ θεομήτορος καὶ πάντων τῶν ἁγίων πρεσβείαις." ταῦτα γρά-

6. καὶ deerat.

cem reducerem ipsique unirem. sed studium hoc meum in contrarium ac ego volueram partem acceptum est, ita ut aliqui clamarent numquam successuram istam optatam pacem, nisi ego patriarchatu relicto e medio abirem. non sustinui haerere in loco, sic commissam infestis factionibus cernens ecclesiam, sed optabilius id duceus, malui foederatos ecclesiae et invicem videre illos qui prius offensi dissidebant, quam perstare in possessione gaudereque honore tam illustris principatus. itaque ad assequendam horum ipsorum in deo pacem et animabus nocentium cessationem scandalorum, cessionem facio throni et principatus patriarchalis dignitatisque, non tamen sacerdotii. nam hoc, miserante me deo, servabo mihi per quantum superest vitae spatium, quoniam propter solam multorum pacem et horum reconciliationem cum ecclesia facio talem cessionem, nec mihi sum conscius fecisse quidquam quod me arceat sacerdotio. quocirca de reliquo licet, cum dei beneplacito, alium eligi patriarcham, qui thronum in hunc patriarchicum et principatum sacerdotii evehatur; qui deo adiuvante, ut rite iuxta canones ordinatus patriarcha et legitimus sacerdotum princeps, disiunctas ecclesiae partes redigere in unum ac coagmentare poterit. eveniat id utinam miserationibus magni dei et salvatoris nostri Iesu Christi, exorati purissimae dominae nostrae virginis et dei

ψας, οὐ μὴν δὲ καὶ ὑπογράψας οὐδ' ὁτιοῦν, δῆλος ἦν συνεστὰς ἑαυτῷ τὸν θρόνον καὶ εἰς καιρὸν τῆς τιμῆς ἑαυτῷ προμηθούμε- E νος τῷ μήθ' ὑπογράψαι (ἔδει γὰρ τὸ "ὁ χρηματίσας" γράψαι) μήτε μὴν αἰτίαν θεῖναι τῆς παραιτήσεως ἄλλην ἢ τῶν σχιζομένων εἰρήνην, ἧς μὴ προβάσης ἄντικρυς, ὡς ἐπίστευεν, αὐτὸν τὴν ἀρχιερωσύνην ἔχοντα αὐτὸν εἶναι καὶ αὖθις τὸν πατριάρχην ἐκ τοῦ ἀκολούθου ξυνέβαινεν· ὁ γὰρ ἐπὶ τῇ ἱερωσύνῃ ἀκαταιτίατος, ἐπὶ δὲ μόνῃ προφανεῖ αἰτίᾳ τὴν τιμὴν παραιτούμενος, δῆλον ὡς τῆς αἰτίας μὴ προβάσης αὐτὸς ἂν εἴη καὶ πάλιν, θέλων μόνον, ὁ τὴν τιμὴν ἀναλαμβάνειν ἄξιος. οἱ μέντοι γε περὶ τὸν P 89 βασιλέα, καὶ μᾶλλον ὁ τὰ πάντα κυκῶν Θεόληπτος, μόνον ὅτι γράμμα παραιτήσεως παρὰ τοῦ Γρηγορίου ἐδέχοντο, χάριν εἶχον ἐκείνῳ ὡς ἤδη τὸ πᾶν λαβόντες, καὶ τοὺς ἄλλους ἔπειθον μὴ πολυπραγμονεῖν, μὴ ζητεῖν πλέον, μὴ τὴν ὑπογραφὴν ἀπαιτεῖν, ἀρκεῖσθαι δὲ καὶ μόνῳ τῷ γράμματι οἰκειοχείρῳ γε ὄντι, καί γ' B ἀπαλλαχθέντας οὕτως ἐκέλευον ἀγαπᾶν. Γρηγόριος δὲ καὶ τοῖς ἐκ μακροῦ δυσμεναίνουσιν ἑαυτῷ πέμπων συγχώρησιν διηλλάττε-

matris ac omnium sanctorum precibus." his plane verbis conceptum hoc scriptum, idque nulle prorsus subscriptione firmatum, Gregorius ad suam fidem liberandam offerens, manifeste visus est non tam voluisse bona fide abdicare quem esserere sibi thronum et astu quodam praeparare facultatem resumendi postmodum honoris, quando scilicet, mitigatis hominum odiis, et quae tunc flegrabat invidia paululum remissa, opportunam occasionem esset nactus iterum exercendae, numquam vere, ut putabat, amissae potestatis. nisi enim hoc callide ageret, utique illum oportueret consuetam illam ad scripti calcem opponere formulam "ego, quo de agitur in libello, subscripsi;" praetereaque certam et non ex incerti eventus conditione suspensam commemorare abdicationis causam. nunc non aliud aliegans cur cedendum loco putaret, nisi spem conciliandae isto modo dissidentium pacis, relinquebat sibi astute ius ad sedem integrum, si, quod omnino futurum opinabatur, ne post suum quidem discessum certamina factionum quievissent. quidni enim tunc, qui diserte alioqui professus esset haud se renuntiare sacerdotio quo nulla meruisset culpa privari, legitimum sibi patere ad sedem reditum contenderet, eamque pro libito, nemine iure obstante, resumeret, hypothetica cessione, cuius patrata conditio non sit, possessionem non abdicatae absolute dignitatis prorsus abrumpere non valente, quam ad tempus duntaxat successus expectati suspenderit? verum imperator, et maxime cuncta tunc miscens Theoleptus, quomodocumque edepti quam tam enxie cupiverant abdicationem patriarchae, captiosane illa esset an vera parum pensi habentes, qualis erat cumque pro sufficientissima satis accepere, gratias etiam ei qui dederat agentes. quin et iis quibus freus suboluerat persuaserunt ne suspicionibus curiose indulgerent, ne plus quaererent, ne subscriptionem postularent, sed satis esse ducerent simplex scriptum, cum id propria patriarchae manu fuisse constaret exaratum. sic omnes qui ad ipsos expostulatum eo nomine venerunt imperator et Philadelphiensis acquiescere iussos dimiserunt. Gregorius autem iis qui secum ex longo tempore simultates exercuerant, missa

το· καὶ τοῖς μὲν ἄλλοις καὶ δῶρα προσαπέστελλεν, ὅσους ἄρα
τῶν κληρικῶν ἐκ σκανδάλου τοῦ τότε διισταμένους ἀφῃρεῖτο τὰ
σιτηρέσια, (10) τῷ δέ γε Ἡρακλείας Γερμανῷ καὶ τῷ Πρού- C
σης Νεοφύτῳ, οὓς δὴ καὶ καθεῖλεν ἐπ' αἰτίαις, τὸν μὲν Γερμα-
νόν, ὅτι σκανδαλισθεὶς ἐπ' ἐκείνῳ, τοὺς λογισμοὺς τὴν ἀρχὴν
ἐκείνου δεξάμενος καὶ τελέσας εἰς μοναχοὺς καὶ πατρὸς ἐπ' ἐκείνῳ
τάξιν ἐπέχων, τὰς ἐξαγορείας παρελογίζετο, τοῦ ἐξομολογουμέ-
νου μὴ ὁμολογήσαντος ὡς ἐκοινώνει τοῖς προτέροις οὐχ ὅπως εὐ- D
χῶν καὶ ψαλμῳδιῶν, ὡς ἔλεγεν, ἀλλὰ καὶ ἁγίου κλάσματος ἄρ-
του, μαθὼν παρ' ἄλλων ἐσύστερον, ἀρχιερεὺς πατριάρχην ἐγ-
γράφως ἀφώριζε, Νεόφυτον δὲ ὡς συνυπογράψαντα καὶ ὁμογνω-
μονήσαντά οἱ, — ἐκείνοις τότε ὑπερηφανῶν ὡς ἀμαθέσιν, ἐνευ-
μενιζόμενος ὕστερον, πέμπων ἐλάμβανε τὴν συγχώρησιν καὶ ἀν-
τισυνεχώρει. καί γε τῷ τοῖς Ἀριστινῆς μονυδρίῳ, ἐχόμενά που E
κειμένῳ τῆς τοῦ ἁγίου Ἀνδρέου τοῦ ἐν τῇ κρίσει μονῆς (ἐκεῖ γὰρ
πρωτοβεστιάρισσα Ῥαούλαινα συνῆγεν, ἐξ ἑαυτῆς περιθάλπουσα
τὰ μεγάλα) φέρων ἑαυτὸν δίδωσι.

11. *Βασιλεὺς δὲ τῶν τοιούτων ἀπαλλαγείς*, πολλοῦ τοῦ P 90

iniuriae condonatione reconciliatus est. aliis etiam dona adiecit, iis nempe clericis qui, quod offensi nuper exorto scandalo secessissent, male multati fuerant, ablatis quae prius praeberi consueverant alimentis. (10) Heracleotae vero Germano et Prusaeo Neophyto, quod exauctoraverat, Germanum quidem, quod cum initio sensus suos ac partes fuisset amplexus, etiam evectioni cooperans admittendo ipsum ad praeviam patriarchali ordinationi monasticam professionem, qua functione obeunda patris erga se necessitudinem induerat, idem tamen postmodum a priori iudicio susceptoque patris officio ingenti offensione resiliens, cavillatus confessionem a Gregorio monachi habitum accipiente de more factam non fuisse integram, quoniam is, prout postea certis auctoribus comperisse se aiebat, inter caetera peccata confessus haud fuisset se iis qui polluti habebantur piaculis palam antea contractis communicasse, non solum precibus et psalmodiis cum iis communiter celebrandis sed et sacri panis fragmenti participatione ab iis admissa, eum iam patriarcham ipse episcopus scripto edito excommunicaverat. Neophytum autem, quoniam in his Germano consenserat et libello excommunicationis ab eo in patriarcham intortae subscripserat. his, inquam, episcopis duobus, quos quando ista primum contra se attentarant, superbe ut imperitos traduxerat, nunc ultro placatus, allegatis ad eos conciliatoribus pacis veniam a se in illos actorum petens impetravit, vicissimque ipsis libenter accipientibus obtulit remissionem iniuriarum quibus ipsum laesissent. his peractis se abdidit in monasteriolum Aristinae dictum, contiguum monasterio Sanctae Andreae in Crisi, viciniam in talis delectu loci sequens protovestiariae Raülaenae in eo S. Andreae monasterio degentis, a qua Gregorius benigne fovebatur, large de suo subministrante quae illi opus erant.

11. Imperator his defunctus curis cum animadverteret gliscere in-

κατὰ τὸν τόμον ὑφέρποντος πλημμελήματος, οὐχ οὕτως ἠξίου ἐᾶν ἀδιόρθωτον, καὶ συνόδους συνεκρότει, καὶ πνεύματι ζῶντας σοφοὺς συνέλεγε, καὶ κοινῇ σκέψει μονωθέντα τὸν τόμον τοῦ βοηθοῦ (ὃ δ' ἦν Γρηγόριος) προσέταττεν ἐξετάζειν. καὶ πρῶτα μὲν κατὰ τὸ μέγα παλάτιον συνάμα βασιλεῖ συναχθέντων σεισμὸς
B *ἐνσκήψας ἐξαίφνης τὸν σύλλογον ἐκεῖνον καὶ τὴν σκέψιν διέλυεν· εἶτα κατὰ τὰ τῶν Βλαχερνῶν ἀνάκτορα καὶ αὖθις συνήγοντο καὶ ἐπιμελέστερον διεσκέπτοντο. καὶ οἱ μὲν τὰ οἱ δὲ τὰ ἐπὶ πολλαῖς ταῖς ἡμέραις διαφιλονεικοῦντες καὶ λέγοντες, τέλος, ἐπεὶ οὐκ ἦν συμφωνεῖν ἐπὶ τῇ τοῦ γράμματος διορθώσει, ὑπεξεῖλον τέλεον τὴν ἐξήγησιν, κρεῖττον ἡγησάμενοι μὴ ὅλως τὸ ῥητὸν ἐξηγεῖσθαι ἢ ἐξηγουμένους ἀναρρίπτειν κίνδυνον.*

A 12. *Τούτων δὴ γεγονότων οὕτως, βασιλεὺς καὶ αὖθις πολὺς ἦν ἀλγῶν ἐπὶ τῇ διαστάσει τῶν Ἀρσενιατῶν, καὶ ὅπως ἐγίγνετο εἰ οἷόν τε συμβιβάζειν αὐτοὺς καὶ τῇ ἐκκλησίᾳ ἑνοῦν. ἔτυχον γὰρ καὶ αὐτοὶ καθ' ἑαυτοὺς στασιάσαντες, ὡς δύο μοίρας γενέσθαι, τοὺς μὲν πλείους ἀμφὶ τὸν Ὑάκινθον, ἐνίους δὲ ἐν τῷ Ταρχανειώτῃ Ἰωάννῃ σαλεύειν, ἀκριβολογουμένους ὑπὲρ*
B *ἐκείνους τὰ πλεῖστα, καὶ ὅτι χθὲς καὶ πρὸ τρίτης ἐν πυρὶ ἐκάλουν θεὸν οἱ ἀμφὶ τὸν Ὑάκινθον, πυρσολάτρας ἐκείνους ἀποκα-*

terim ac late serpere arcanum murmur de flagitio, quod tomi mendose scripti temere probanda editione vulgo conscitum putaretur, haud quaquam tolerandum diutius statuit teri manibus inemendatum, ut erat adhuc, volumen istud et impune pro inoffenso securoque circumferri. ergo conventus indicit delectis in eos viris spiritu viventibus et sapientibus. hos iussit simul omnes explorare acri examine tomum per se solum, hoc est destitutum praesenti patrocinio auctoris et defensoris sui Gregorii. horum coetuum primus haberi coeperat apud magnum palatium: verum imperstore iam illic cum universis qui vocati fuerant sedente, terrae motus ingruens concilium trepide dissolvit, negotio abrupto. post haec in regia Blachernarum iterum congregati accuratius de re tota consulturunt, aliis hoc, aliis illud censentibus, quoad continuis dierum multarum altercationibus in nullum concordis de istius scripti correctione sententiae desinentibus finem, tandem convenerunt in plane tollenda enarratione loci Damasceni, praestabilius ducentes inexpositum relinqui testimonium illud quam eo exponendo veritatem dogmatis et publicam quietem adducere in periculum.

12. His porro sic transactis imperator rursus multus erat in deploranda ferendaque impatientissime secessione Arseniatarum, et totum se addebat in conatum procurandae, si fieri posset, conciliationis ipsorum et reiunctionis cum ecclesia. fovebat eius in eo geuere spem, quod tunc commodum dissidere illos inter sese ferebatur, in factiones discissos duas, quarum numerosior ducem sequebatur Hyacinthum, pauci alii auctore Ioanne Tarchaniota fluctuantes conflictabantur scrupulis subtilium cavillatiunculsrum; unde in morosas allorum sugillationes erumpebant, culpantes eos in plurimis, ac quod Hyacinthiani haud ita pridem deum in igne in-

λοῦντας κἀκείνων σχίζεσθαι μέχρι καὶ αὐτῆς προσλαλιᾶς ἐγνωκότας. καὶ γὰρ ἐν πυρὶ δοκιμάζειν τὰ παρὰ τῶν γραφῶν διωρισμένα οὐχ ὅπως ἀμαθὲς ἀλλὰ καὶ ἀσεβὲς ὁ Ἰωάννης οἰόμενος ἀπεσχίζετο μὲν καὶ τῆς ἐκκλησίας ὡς πρότερον, ἀπεσχίζετο δὲ καὶ P 91 *αὐτῶν δὴ τῶν περὶ τὸν Ὑάκινθον, ὡς μὴ συναινέσων κἂν ὅ τι ποιοῖεν. διὸ δὴ καὶ παρὰ βασιλέως, ὡς τὸ εἰκός, παρορώμενος τῷ τῆς Χηλῆς φρουρίῳ ἐξορισθεὶς ἐγκαθείργνυτο. τότε τοίνυν τῆς ἐκκλησίας κεχηρωμένης, πειρᾶν ἐθέλων τῶν σχιζομένων ὁ βασιλεὺς εἴ που σφᾶς καὶ δυνηθεὶς εἰρηνεύσειε, πέμψας κατάγει τὸν Ἰωάννην, καί που πλησίον τῶν κατὰ Βλαχέρνας παλατίων ἐν τῷ πάλαι ἁρματοφυλακίῳ ἐν ἐλευθερίᾳ κατέχει, ἐνδοὺς ἐκείνῳ καὶ οἷς ἰδίοις εἶχε συνοῦσι συνεῖναί τε καὶ συνομιλεῖν. καὶ* B *δὴ γνοὺς συνάγειν ἀμφοτέρους καὶ ἐρωτᾶν τὰ πρὸς εἰρήνην, πρότερον ἀκροβολισμοῖς τισὶν ἐπειρᾶτο τοῦ Ἰωάννου. ἐν μιᾷ δὲ καὶ τὸν Ἀλεξανδρείας Ἀθανάσιον πέμψας, μέγαν παρ' ἐκείνῳ δὴ τῷ Ἰωάννῃ δοκοῦντα, ὡς αὐτοῦ πρὸς βασιλέα λέγοντος μανθάνειν τὸν βασιλέα καὶ τῷ πατριάρχῃ τοὺς λόγους πληροφορεῖν, πέμψας οὖν διὰ ταῦτ' ἐκεῖνον διεμηνύετο τὰ δοκοῦντα, ἅμα τε προστάσ-*

10. *κατὰ*] *τῆς* P.

vocassent, pyrsolatrarum illos probroso traducentes scommate, ipsorumque commercium tam superstitiose declinantes, ut communiter irrevocabili decreto statuissent illos ne brevi quidem alloquio dignari. quoniam enim novae per ignem explorationi subiicere (quod isti fecerant) ea quae semel constituta scriptis essent maturo consilio commissa, non imprudens solum sed etiam impium Ioannes putabat esse, non minus aequa sibi causa videbatur ab Hyacinthi nunc parte se abiungere quam qua prius Arseniani pariter omnes ab ecclesia secessissent: pariter quippe nunc quoque sibi cavendum ne perseverando in communione cum illis comprobaret quod agebant, et ita eius culpam in se susciperet. succensuit Ioanni hoc nomine imperator, eumque despiciens deportari iussum in insulam castello Celes inclusit. nunc autem viduatam abdicatione Gregorii cernens ecclesiam, tempus aptum novo reconciliationis dudum abscissorum Arseniatarum tentamento ratus, abduci ad se mandat e carcere Ioannem, et prope palatium Blachernarum in veteri armamentario collocat in libera custodia, permittens illi cum suis amicis et familiaribus congressum colloquiumque quam crebrum et prolixum vellet. habens autem Augustus in animo reducere in consensum ambas prius factiones Arsenianae sectae, ac tum ab iis sua opera conciliatis impetrare ut bona fide inire rationem pacis cum ecclesia firmandae vellent, ante omnia velitationibus quasi quibusdam explorare Ioannis animum tentavit, allegato etiam ad ipsum quadam die Alexandrino Athanasio, quod ex quodam Ioannis ad se dicto imperator intellexisset magnae hunc ab ipso haberi auctoritatis virum, et a quo facilius quam alio quovis persuaderi sibi rem prius non creditam sineret. Athanasius ergo missu Augusti profectus ad Ioannem omnia commemoravit quae apta putavit ei adducendo ad redintegrandam cum Hyacinthi

σων καὶ ἀξιῶν ὁμονοεῖν σφᾶς ἀμφοτέρους, καὶ οὕτως εἰς ἓν κατὰ
C γνώμην συναχθέντας τοὺς σχιζομένους συναχθῆναι καὶ κατὰ τό-
πον, συνόδου κοινῆς ὑπὸ βασιλεῖ γινομένης, ὀρέγοντι καὶ αὐτῷ
δεξιάν, εἰ τὰ δυνατὰ καὶ ἄλλως ξυμφέροντα λέγοιεν, βραβευθῆ-
ναί τε τὴν εἰρήνην ἐντεῦθεν εὐδοκίᾳ θεοῦ, εἰ καὶ αὐτοὶ θέλοιεν.
εἶναι γὰρ ἐν μέσῳ καὶ θεὸν τῶν ὁμονοούντων, καὶ ζητοῦσιν εἰ-
ρήνην ὄντα τῶν μακράν τε καὶ τῶν ἐγγὺς καὶ σφίσι ταύτην διδό-
ναι, καὶ μᾶλλον ὁπότε τις μὴ τὴν ἰδίαν ἀλλὰ τὴν ἐκείνου δόξαν
D ζητοίη. ταῦτα καὶ πλείω λέγουσι τοῖς ἀμφὶ τὸν Ἀλεξανδρείας
οὐδὲν ἦν ἀκούειν εἰ μὴ στροφὰς αἰνιγμάτων καὶ διωρίας πραγμά-
των καὶ ἄλλ᾽ ἄττα, οἷς ἄρα οἱ τὸ παρὸν ἀποκρουόμενοι καὶ
πρὸς τὸ μέλλον τὰς ἐλπίδας ἀναρτῶντες χρῆσθαι εἰώθασι. τέως
δὲ καὶ συνόδους ὁ βασιλεὺς συγκροτῶν, τὸ ἐκείνους, μὴ ἔχοντας
εἰρηνεύειν πρὸς ἀλλήλους, ἑαυτῷ εἰρηνεύειν πειρᾶσθαι καὶ ἀμ-
φοτέρους ἀδίνατον ἔκρινεν. ἀλλὰ καὶ ἀδυνάτοις, τὸ δὴ λεγόμε-
νον, ἐπεχείρει διὰ τὴν πρὸς τὴν ὁμόνοιαν ζέσιν, καὶ πολλοὺς καθ᾽
E ἑκάστην συνέλευσιν ἐξελίττων λόγους οὐδὲν ἤνυτε τὸ παράπαν.
τοῦ μὲν Ἰωάννου καὶ λίαν ἀπεγίνωσκε τότε, καὶ μᾶλλον βασιλειᾶν

parte gratiam, quo postea concors iam unanimiter secta universa coram plena synodo certum in locum congreganda, depositis adversus ecclesism simultatibus, dextras adfuturo illic imperatori in pacem longe ipsi desideratissimam darent, spe certa ingentis ineundae ab illo grstiae, si votis sensibusque ad communem utilitatem accommodatis pacem denique universalem, deo volente, Augusto auctore conficerent. esse quippe in medio duorum consentientium invicem et petentium deum; qui se idem dicat esse (prout et vere sit) pacem eorum qui longe et eorum qui prope sint, paratum hsnc illis dare, maxime qusndo quis non proprism sed illius gloriam quaesierit. hsec et his similia plura ubi disseruisset Alexandrinus, nihil pro responso aliud audivit qusm contortas obliquitates ancipitium dictorum, dilationes petitae rei, quas obtendi negationi praecisse astute dissimulatae satis appareret, effugia denique istiusmodi, quibus vitata in praesens exosa necessitate concludendi salutare quidpiam spes in incertum infinite inanes extenderentur; quo genere ludificandi, quando urgentur a potentihus, pertinaces infirmi solent uti. Imperator etsi, cum excidisse se vidisset primo conatu procurandae pacificationis privatae Arseniatarum, quam sibi gradum futuram ad universalem cum ecclesia speraverat, satis videbat quam desperandum esset adduci eos posse ad consentiendum secum, quibus persuadere nequivisset ut inter sese convenirent, tamen prae flagranti quo aestuabat desiderio pacis, ne ab impossibilibus quidem, quod dici solet, aggrediendis temperandum existimans, synodis frequentibus collectis, coram accitos Arsenianos efficacissimis alloquiis, et nullum non ad id utile varie argumentum versantibus, invitare ad concordiam diu quotidie non destitit. sed cum nihil omnino proficeret, pertaesus denique irae in nodum negotii Ioannem habenas laxavit, maxime postquam ad pervicaciam adiunxisse imperii affectationem deprehensus et convictus idem est, productis in medium, quodam ex solitis conventu,

κατακριθέντος, ὥστε κἂν μιᾷ τῶν συνελεύσεων ἐς μέσον ἐμφανισθῆναι χειρίδας ἐμμαργάρους κοκκίνας καὶ ἄλλ' ἄττα ὡς δῆθεν σημεῖα βασιλικά, ἃ δὴ παρά τινι τῶν αὐτοῦ εὑρεθέντα τὴν ἀναφορὰν τῆς κατηγορίας πιστὴν ἐπ' ἐκείνῳ παρεῖχε, καὶ διὰ ταῦτα φυλακῇ καὶ πάλιν δοθέντος κατά τινα χειρίστην ὑποψίαν μηδὲν ἐκείνῳ προσήκουσαν. τοῖς δὲ περὶ τὸν Ὑάκινθον κηδεμο- P 92 νικῶς ὡς δῆθεν προσήγετο, ὥστε καὶ ἐφεῖναί οἱ, ἵππον παρασχὼν τῶν καλλίστων, συχνὰς προσόδους πρὸς βασιλέα ποιεῖσθαι καὶ ὑπὲρ τῶν δεομένων ἀναφέρειν τε τὰ εἰκότα καὶ λύσεις πολλῶν ἐργάζεσθαι, ἐπείτοι γε καὶ αὐτὸς βασιλέα ὑπέσαινεν, ἑαυτὸν μὲν λέγων εἰρήνης φίλον εἶναι καὶ ἕτοιμον εἰρηνεύειν, χρῆναι δὲ καὶ τοὺς ἄλλους ὑπέρχεσθαι, ἐφ' ᾧπερ καὶ ἐντελέστερον εἰρηνεύοιεν. Ἰωάννην δὲ καὶ δυσθανατᾶν, καί γ' ὑποκεῖσθαι B καὶ πάρα τῶν ἰδίων καταγνώσει, οὓς καὶ αὐτοὺς θεραπεύειν δεῖν, καὶ οὕτω τὸ τοῦ κολοιοῦ παθεῖν ἐκεῖνον, τῶν ἀλλοτρίων ἐψιλωμένον πτερῶν. εἶναι δὲ καιροῦ ταῦτα καὶ ἐπιστήμης ἀπαιτούσης μακροθυμίαν, τὰς ἐκείνων ἀτασθαλίας καλύψουσαν ὡς

manicis coccineis margaritarum iutaxtu ornatis et quibusdam id geuus insignibus characterem fastigii principalis habentibus, quaa penes quendam ex eius domesticis reperta fundamentum suspicionis in eum pessimaa eo iustius dederunt, quo caetera eius contumacia prouiorem da illo faciebat pravaa in omni genere voluntatis fidem. hoc igitur e medio amoto, et ob causam iam invidiosissimam, quamquam si per se sola spectaretur, nec verisimilem nec quidqusm ad illum partinentem, iterum in carcerem coniecto, delinire, si posset, Hyacintbum imperator instituit, admissione ipsum crebra et perbenevola honorans, attributo ipsi etiam, quo ad se ventitare facilius posset, equo ex pulcherrimis; libenter quoqua audiens quae proponeret aut poscaret, multorumqua pro quibus rogaret caussa ad eius votum expedieus et solvens vincula. nec suas in hac scena desiderari patiebatur Hyacinthus portes. respoudebat enim gratiae Augusti, prout oportebat eius alendae augendaeque cupidum, venerabundo semper vultu, verbis obsequiosis, arta assentatiouis vafra fucum obducens facile credenti quod valde optaret priucipi. memorabat videlicet sa quidem amicum pacis esse et paratum ad reconciliationem statim amplectendam, moram autem unam sibi esse necessariam declarandi sui in concordiam assensus curam adducendi eodem caeteros, quorum multi arte ac patientia sensim pellicieudi erant, ut abhorrentem a foedere ac consensiona genium vincerent. his; quo certius deiuda constantiusque pactis conventis starent, indulgendum esse spatium, celando interim quod iam nunc fixum in animo baberet. de Ioanna aiebat mala illum mori cupera, hominem irrevocabilis in rueudo caecitatis, na suis quidem probatum, quos pertacsos morum eius et ferendo defessos operae pretium foret ab eo abducere, brevi sic passuro ignominiam graculi, plumis, quas commodato acceperat, ereptis in foeda deprehensi et irrisi nuditate. mora industriaque ad id opus esse, sed longanimitate inprimis et invicto robore patientiae, quae multas interim eorum ineptias devoret, flagitia etiam occultet dissimulando praeteriaus, non parvo longaa tolerantiaa pretio, si tandem eo perducan-

κατὰ καιρὸν ἐνδωσόντων. ταῦθ' Ὑάκινθος λέγων περιεβουκό-
λει τὰς ἐλπίδας τῷ βασιλεῖ, ὥστε καὶ τὴν τοῦ Μωσελὲ μονὴν
C ἐκείνοις ἀνεῖναι, καὶ θαρρεῖν τὴν ἐκείνων ὁμόνοιαν οὐκ εἰς μα-
κρὰν γενήσεσθαι. ἀλλ' ἦν ταῦτα πάντ' ὄνειρος ἐντυπούμενος
τὰ ἀνύπαρκτα. ἀμέλει τοι κἀκείνους μὲν, ἐπεὶ πολλάκις προσμί-
ξας καὶ τιμαῖς μεγίσταις δεξιωσάμενος, ὥστε καὶ τοῖς τυφλοῖς
ὑπεξανίστασθαι προσιοῦσι καὶ μακαρίζειν τὰ πάθη καὶ παρακα-
λεῖν μὴ καλὰ καλύπτειν κακοῖς, τὸν ὑπὲρ θεοῦ καὶ τῶν θείων
D ζῆλον ταῖς τῆς αὐτοῦ ἐκκλησίας ἀποστασίαις, τέλος ἀφίησι,
σκέπτεται δὲ μετὰ κοινοῦ συνεδρίου καὶ ἱεροῦ ὁποῖος ἂν καὶ κλη-
θείη εἰς προστασίαν τῆς ἐκκλησίας μετὰ Γρηγόριον. ἐκεῖνοι μὲν
γὰρ καὶ ἀκίχητα διώκουσιν ἐῴκεσαν ἄντικρυς, ἀθετεῖν μὲν
ἀξιοῦντες τὸν Ἰωσήφ, ἀθετεῖν δὲ καὶ δόγμα τῆς ἐκκλησίας τὸ
διὰ τοῦ υἱοῦ ἐκ πατρὸς ἐκπορεύεσθαι, ἀρχιερεῖς δὲ φιλοκρινεῖν,
καὶ ἱερωσύνην τὴν μὲν προσίεσθαι τὴν δ' ἀποπέμπειν, καί τινα
τοιαῦτα πολὺ τὸ δυσχερὲς καὶ εἰς ἀκοὴν ἔχοντα μόνην μιᾷ τινὶ

tur, ut inflecti se sinant ad schismaticam pertinaciam iu tempore remittendam. talia disserebat Hyacinthus, spe sic inani lactans credulam Augusti mentem, favoremque ipsius magis sibi magisque ac suis asserens. pignus eius haud contemnendum fuit quod monasterium a Mosele nomen habens eis indulsit; praeque se iam tum tulit certo confidere universae Arsenianae sectae plenam cum ecclesia concordiam post non multum exituram. sed haec nihil demum aliud erant quam merum somnium, formas temere nectens insociabiles in unum, nonnisi fabulose conflabile coitione naturarum sese invicem excludentium spectrum. et sensit tandem Augustus se operam perdere. itaque post saepius admissos auditosque et bonoria favorisque indiciis exquisitissimis frustra cultos primores Arsenianorum, adeo quidem ut iis inter ipsos qui excaecatione puniti olim fuerant, venientibus ad se assurgeret, et beatos illos cicatricibus istis virtutis ac constantiae ipsorum indicibus praedicaret, adhortans subinde ipsos ne vetera decora recentibus maculis obtegerent, hoc est ne quem ingentem at valde laudabilem tunc monstrassent, cum illa sunt passi, pro deo et rebus divinis zelum, ad extremum corrumperent defectionibus ab ecclesia ipsius, hoc est quam ipse iu integrum restituisset, denique nihil se proficere videns omnes dimisit, de caetero consultans, cum in concilio procerum ac senatorum tum etiam in antistitum et ecclesiasticorum coetu, quisnam vocandus videretur ad regimen ecclesiae post Gregorium. at interim Arseniani necquidquam se vexabant, instar prosequentium ardenter quorum assequendorum nec spes nec facultas ulla sit. instabant videlicet apud synodum ut declararetur Iosephum nec verum nec legitimum fuisse patriarcham. postulabant praeterea damnari dogma ecclesiae quo S. Spiritus ex patre per filium procedere affirmatur: deinde contendebant crebra et severa instituenda de sacerdotum ordinationibus iudicia, quibus haec quidem admitteretur, illa reiiceretur, difficili et perodioso discrimine. denique alia quaedam flagitabant perplexitatem inextricabilem summamque difficultatem primo ipso auditu praeferentia. sed omnes omnium istarum petitionum absurditates iu unum quasi fascem congessisse visi sunt, cum

συμφοροῦντες ἀξιώσει καὶ λέγοντες ὡς εὐαγγελικῶς τε καὶ κανονι- E
κῶς τὰ κατὰ τὴν ἐκκλησίαν διάθωνται, εἴγ' ἐπ' ἐκείνοις τὰ
πράγματα γένοιντο βασιλέως νεύσαντος. οὗτοι δὲ μεγάλ' ἄττα
τῶν κακῶν ὑπειδόμενοι πρὸς τῷ ἀτόπῳ τῶν ὑπονοουμένων κα-
τωρρώδουν μή πως ἐπὶ νεαρᾷ καταστάσει τῆς ἐκκλησίας κωφὸν
κῦμα πραγμάτων ἀναταράξειαν. ἔνθεν τοι κἀκείνων ἀφειμένοι
κοινῇ περὶ τοῦ πατριάρχου κατεσκέπτοντο. (13) καὶ δὴ ψη- P 93
φίζονται τρεῖς γε κατὰ τὸ σύνηθες, πρῶτον μὲν τὸν Γεννάδιον,
ὃς δὴ καὶ ἐπὶ τῇ πρώτῃ Ἰουστινιανοῦ ψηφισθεὶς καὶ τὴν ψῆφον
δεξάμενος, ἐπιδημήσας καὶ ἐγχρονίσας ἔπειτα παρῃτεῖτο, δεύτε-
ρον τὸν Ἰάκωβον, ἄνδρα τοὺς τρόπους ἁπλοϊκὸν καὶ εὐλαβείας
πλήρη, τὴν τῶν κατὰ τὸν Ἄθω προστασίαν πεπιστευμένον, καὶ B
τρίτον τὸν Ἀθανάσιον, ὃν δὴ καὶ κατὰ τὰ ὄρη τοῦ Γάνου ἐν-
διατρίβοντα, ἐκ τῶν χωρῶν τῶν κατὰ τὴν Ἀδριανούπολιν τὴν
γένεσιν ἔχοντα, τοῦ Ἠνοπολίτου βασιλεῖ συστήσαντος ἀνὰ τὴν
Κωνσταντίνου τότε διάγοντα βασιλεὺς ἐν τοῖς πρώτοις τῶν γνω-
ρίμων ἔταττε. διαμηνυθέντος δὲ τοῦ πρώτου καὶ τὰ πολλὰ κατα- P 94
ναγκασθέντος, ἐπεὶ οὐκ ἐπείθετο, περὶ ἀμφοῖν τῶν λοιπῶν
προσώπων ἡ κρίσις τῷ βασιλεῖ ἐνεδοίαζε, καὶ τὰ ζυγὰ τῆς ἀρε-
σκείας ὑπὲρ τὸν δεύτερον πρὸς τὸν τρίτον ἔκλιναν. κἀντεῦθεν
προσκληθεὶς Ἀθανάσιος οὐκ εὐθὺς καὶ αὐτὸς ἐνεδίδου, ἀλλὰ τὰ

quadam die in concilio dixerunt se evangelice ac canonice res ecclesiae compositaros, si tota earum administratio, annuente imperatore, ipsis permitteretur, cohorrescentibus ad sonum ipsum huiusmodi verborum cunctis, dum horum admonitu subiiciunt animis tetram speciem malorum quibus religio exponeretur talibus moderatoribus commissa, a quorum imprudentium aeque ac vehementium inconsultis ausibus iure metueretur ne super recentem ecclesiae statum procellam immitterent eo periculosiorem, quo sine praevio ingruens fremitu exitium minis praeverteret, nave surdis undis obruenda prius quam sonitu intumescentis maris excitati nautae artem expedire ac conatum possent ad vim fragendam fluctus infesti. igitur his, ut dictum est, synodus dimissis communiter de patriarchae electione consultabat. (13) ante omnia, ut mos est, tres suffragiis communibus elegerunt, quorum unus praelatus caeteris patriarcha fieret. primus trium fuit Gennadius, qui olim electus in episcopum primae Iustinianeae, et electione admissa, deinde longo tempore peregrinatus, denique recusaverat aut abdicaverat. alter Iacobus, vir simplicium morum et plenus religionis, cui monachorum montis Atho praefectura credita fuerat. tertius Athanasius, quem in monte Gano commorantem, oriundum e regionibus Adrianopoli circumsitis, ab Enopolita imperatori Constantinopoli tunc degenti commendatum hic in primis atque intimis familiarium habuit. primus autem admonitus de sui electione, et multum ut promoveri se pateretur oratus, cum persuaderi non potuisset, reliquum inter duos alios iudicium in arbitrio imperatoris versabatur, cuius voluntas secundo praeterito magis in tertium inclinavit. vocatus igitur Athanasius neque ipse

καθ' αὑτὸν πρὸς τοιοῦτον ὕψος ὑπεκορίζετο. τέως δὲ βίᾳ τῷ δοκεῖν βασιλέως καὶ τῆς συνόδου κατανεύει καὶ τὴν πρόσκλησιν δέχεται. ἦσαν δ' εὐθὺς τὰ προοίμια ἄλλ' ἄττα παρὰ τὰ φθά-
B *σαντα· πεζῇ γὰρ ἠβούλετο διέρχεσθαι τὰς ὁδοὺς ἔνδυμά τε τραχὺ φέρειν καὶ βλαύτας εἰκαίως ηὐτουργημένας ὑποδεδέσθαι καὶ ἐν παντοίᾳ λιτότητι διαζῆν. πλὴν οὐ διὰ ταῦτ' ἐζητεῖτο. οὐ γὰρ ἐνδυμάτων καὶ βλαυτῶν ἦν καὶ αὐτουργίας τὸ ὡς δεῖ ποιμαίνειν, ἀλλὰ ψυχῆς εὖ ἐχούσης πρὸς τοῦτο, ἀγάπην χωρούσης Χριστοῦ, δι' ἧς τὸ κατὰ Χριστὸν ποιμαίνειν ἐγγίνεται. εἰ φιλεῖς με γάρ, Πέτρε, φησί, ποίμαινε τὰ πρόβατά μου. οὐκ ἄλλο δὴ πάντως ἡ εἰς Χριστὸν ἀγάπη ἢ τὸ αὐτὴν δὴ τὴν Χριστοῦ ἀγάπην ἔχειν*
C *ἐν τῇ ψυχῇ. ἀγάπη δὲ Χριστοῦ τὸ δοῦναι τὴν ψυχὴν καὶ ἀποθανεῖν ὑπὲρ ἡμῶν καὶ ἔτι μενόντων ἁμαρτωλῶν. τοῦτο δ' αὖθις τὴν πρὸς τοὺς ἁμαρτάνοντας συμπάθειαν παριστᾷ. τίς γάρ ποτε τὸ οἰκεῖον μέλος νοσοῦν θεραπεύων οὐκ ἠπίως ἀφεῖται καὶ ἱλαρῶς ἐκείνῳ προσφέρεται, κἂν ζέῃ σκώληκας; τίς δὲ καὶ θριαμβεύσειε τὸ ἐλάττωμα ἑαυτοῦ, εἰ μὴ καὶ μᾶλλον κατανοουμένου ὑπεραπολογοῖτο; τὸ γὰρ οἰκεῖον πιέζει πᾶν, κατὰ Πίνδαρον. καὶ*
D *Χριστὸς μέν, ὅτι καὶ μόνον ἐσμὲν Χριστοῦ καὶ τὸ αὐτὸ φέρομεν*

12. τὸ] τοῦ P.

confestim acquievit, aliquandiu persistens in detrectando tanti fastigii ascensu. tamen ad extremum vim, ut videri voluit, quasi quandam sibi ab imperatore ac synodo illatam non sustinens, auctoritate tanta pertractus ad assensum annuit vocationemque admisit. mox prooemia coepere cerni speciei ac cultus patriarchae designati, satis a praecedentium consuetudine diversa. pedes enim iter facere instituit, vestemque ferre asperam, et calceari crepidis rudi ac subitaria ipsius opera consutis, denique in omni vitae parte infimam tenuitatem et vilitatem affectare. caeterum non ob haec quaesitus fuerat. non enim in vestitu ac crepidis manu propria deproperandis sacri pastoris recte fungi officio situm est, sed ad hoc animus requiritur idoneis et curationi sensibus et affectibus instructus, Christi praesertim instinctus caritate, quae praecipue modum ac vim inspirat gregis ecclesiae iuxta Christi spiritum pascendi. nam si amas me, Petre, inquit, pasce oves meas. non aliud nimirum eiusmodi officium plene absolvit quam amor Christi, aut ipsam Christi caritatem in anima habere. Christi autem caritas ea est qua ille dedit propriam animam et mortem subiit pro nobis, cum peccatores adhuc essemus. quod rursus compassionem in peccantes insinuat. quis enim proprium membrum curans non id placide contrectat, non blande ac benevole illud fovet, etsi vermibus scateat? quis maligne traducat et publico insultans ludibrio propinaverit sui membri, hoc est suum ipsius vitium, quod potius, si quo forte casu in alienam notitiam emanaverit, excusare solicite debeat? nam propriae quemque rei cura et sensus angit, iuxta dictum Pindari. ac Christus quidem, eo solum quod Christiani sumus et ferimus sanctum ipsius nomen, membra nos et partem sui

ἅγιον ὄνομα, μέλη ἐκ μέρους λογίζεται σαπροὺς τοῖς πλημμελήμασιν ὄντας· ἡμεῖς δὲ ὑπερηφανήσομεν καὶ καταγνωσόμεθα τῶν ἀνθρώπων, δίκαιοι ὄντες ἁμαρτωλῶν καὶ ἀνέγκλητοι ἐχόντων ἐγκλήματα, καὶ τὸν μὲν κολάσωμεν, τῷ δ᾽ ἐπιπλήξωμεν, τὸν δ᾽ ὑποπτεύσωμεν, καὶ μὴ ὄντα τῶν κακῶν πολλάκις ὡς ὄντα καταχρινοῦμεν; καὶ κατορθοῦντας μὲν οὐκ ἀξίως ἐπαινεσώμεθα, ἀποβλέποντες πρὸς τὸ ἡμέτερον ὑψηλόν, σφαλέντας δὲ ὡς μικροῦ μετέλθωμεν ἀναμάρτητοι; Χριστὸς δὲ παραχωρεῖ, καὶ ὁ τῶν E μαθητῶν πρῶτος πίπτει, καὶ ὁ μετὰ ταῦτα τῆς οἰκουμένης φωστὴρ διώκτης πρότερον γίνεται καὶ κολαστὴς εὐσεβῶν, καὶ ἁλιεῖς μὲν καὶ τελῶναι εἰς μαθητείαν παραλαμβάνονται πρὸ τοῦ φανῆναι πάμπαν κακοί, ἐπὶ Παύλῳ δὲ χάρις παραχωρεῖ καὶ ὑποστέλλεται, ὡς ἂν μετὰ τὸ φανῆναι κακὸς καὶ διώκτης καὶ τιμωρὸς τῶν Χριστοῦ μαθητῶν ἀπαραίτητος τότ᾽ ἐκείνῳ λάμψῃ τὸ φῶς, P 95 καὶ γνῷ ματαίως διώκων ὃν ὡς θεὸν ὕστερον προσκυνεῖ. τί δαί; ἀλλὰ τοῖς μαθηταῖς ἐκεῖνος ἀποσεμνύεται καὶ τὴν εὐεργεσίαν κρύπτει τῆς χάριτος; οὐδαμῶς, ἀλλὰ κηρύττει καὶ μεγαλύνει τὸν ἔλεον. ταῦτα Χριστός, ταῦθ᾽ οἱ Χριστοῦ, ἐκεῖνος μὲν ἵνα νομοθετήσῃ τὸ συμπαθές, οὗτοι δὲ ἵνα τὴν εὐεργεσίαν ἐφ᾽ ἑαυ-

reputat, putridos licet sceleribus: nos autem superbia turgebimus, et arrogantis supercilii saeva censura immisericorditer damnabimus homines, iusti, ut nobis videmur, peccatores, non accusati accusatos? et alium quidem poenis subiiciemus acribus, alium probris proscindemus, alium temere suspectabimus, et cum re ipsa minime sit malus, tamquam malum praecipiti iudicio infamabimus? et eos quidem qui recte fecerint, non prout digni fuerint laudabimus, velut indignum nostrae fastigio celsitudinis ducentes ad cognoscenda aestimandaque aliena merita descendere: si quid autem illi offenderint, sic rigide acerbeque puniemus, plane tamquam labis nos expertes omnis ac ne capaces quidem peccati essemus? atqui Christo permittente primus eius discipulorum cadit. et qui postea fuit illuminator orbis universi, persecutor prius et vexator piorum extitit. cumque alii apostoli partim ex humili piscatoriae artis exercitatione, partim e sordida professione quaestuosae publicanorum functionis in discipulos assumpti fuerint, priusquam omnino mali apparerent, uno in Paulo quasi se initio contrahens locumque concedens malitiae gratia, non prius illum ea luce circumdedit quae mundum late totum illustraret, quam idem fuisset deprehensus homo plane malus, persecutor et ultor inexorabilis discipulorum Christi. tunc inquam illum circumfulsit illa de coelo lux, cuius ad radios agnovit frustra se oppugnare quem mox adoraturus ut deum esset. quid autem postea? num Paulus ita conversus primi sui erroris indicia obruens et conscientiam dissimulans suis se discipulis quasi semper innoxium venditabat, ingrate celans beneficium curatricis sui gratiae? minime, sed praedicat potius et magnificat misericordiam. haec Christus, haec a Christo electi, Christus, ut legem sanciret misericordis caritatis, apostoli, ut divinae beneficentiae indulgenda primis ipsis scele-

τοῖς πρώτοις δείξωσιν. ἀλλ' οὔ φασιν οἱ περὶ ἐκεῖνον, ἀλλὰ
κολαστέοι οἱ ἁμαρτάνοντες, ἀλλὰ καταγνωστέοι οἱ σφίσι συμπα-
B θοῦντες. τότε δέ γε καὶ προσδεχέσθωσαν, ὅτε καὶ τοῖς ἀξίοις
προστιμοῖντο, καὶ ὡς ἐκείνοις δοκοίη, πικρῶς καὶ ἀναλγήτως τι-
μωρουμένοις. τὸ δ' ἐμὸν εἴπω πάθος, καὶ εἰ μὲν ἐπαινετόν, εἰ
δ' οὖν, ἔχον φερέτω τὴν μέμψιν. πᾶσι μὲν πιστοῖς τὴν θείαν
φιλανθρωπίαν ἐξαπλουμένην κατανοῶ, καὶ οὐδενὶ τῆς σωτηρίας
ἀπογιγνώσκω γνησίως μετανοήσαντι, μόνῳ δ' ἐμαυτῷ τὴν τοῦ
C ἐλέους χάριν συστέλλω καὶ τρέμω τὴν θείαν κρίσιν ὡς ἐπενεχθη-
σομένην δικαίως, κἂν ὅ τι ποιοίην. πλὴν ἐξ ἐλέους καὶ πάλιν
θαρρῶ, καὶ τὸ Χριστοῦ ὄντα παρ' αὐτοῦ καὶ κολάζεσθαι φιλαν-
θρωπίας ἥγημαι πέλαγος. τοῦτο πολλάκις κατ' ἐμαυτὸν ηὐξά-
μην, οὐδενὶ τῆς σωτηρίας ἀπογινώσκων, κἂν τὰ φαυλότατα δια-
D πράξηται· μόνον ἡ πρὸς τὸ καλὸν ὁδηγία ἔστω καὶ ἡ ἐπὶ τοῖς
αἰσχροῖς μετάνοια. ἀλλὰ ταῦτα μὲν εἶπον, ὅτι τὸ σκληρὸν τῶν
περὶ ἐκεῖνον ἦθος καὶ ἀτενὲς πολλαῖς τὴν τοῦ θεοῦ ἐκκλησίαν
ταραχαῖς περιέβαλλεν ὕστερον. ἀλλ' οὔπω ταῦτα.

6. ἔχων P.

rum venia specimen ostentarent, quo spes excitaretur criminosis remissionis assequendae. longe aliter Athanasius hic, et quos sibi secum similes habuit, sapiebant. quorum haec erat horribilis oratio "districte plectuntor quicumque peccant. his indulgere quidpiam si qui forte miserantes voluerint, statim immisericorditer damnantor. utrique tunc tantum ad pacem admittuntor, quando explevisse piaculorum praescriptorum numerum et exhausisse usque ad faeces amarum calicem istis ipsis iam plene satiatis videbuntur immanibus arbitris, qui eos poenis subiecerint acerbissimis." his ego ut plane contrarie sim affectus, profitebor hic equidem (laudabiliter an secus, cuiusvis esto iudicium), eiusmodi vitii, si vitium est, qualemcumque invidiam, eadem qua fateri non dubitavi, subire audacia paratus. cunctis in Christum credentibus divinam patere benignitatem confido. nullius, quem vere scelerum poenitest, salutem despero. mihi metuo uni ne misericordiae gratia excludar. ne omnibus apertus mihi soli coartetur pacis aditus, horreo, contrahens animum ad divini iudicii terribilem aleam, ne in irrevocabilem mei damnationem iuste, quidquid egero, inferendam funeste desinat. huic tamen aestui consternatae metu mentis aliquam a spe divinae misericordiae consolatiunculam instillo. nam quod esse rem Christi me scio, ab eodem ipso puniri me ad veniae pertinere viciniam autumo; et omen indidem traho appropinquantis gratiae, unde poenae praesens acerbitas ingruit. talia mihi ego ipsi, cui minus favere iudicando quam aliis soleo, cum tamen votis in spem audacibus augurer, multo scilicet magis bene opinabor de statu ac conditione caeterorum; nec putabo de quoquam desperandum quantorumlibet atrocissimorum comperto facinorum, quin ei ad salutem pateat reditus, modo ei nec ducis ad rectum iter fidelis pia desit opera, nec intimus flagitiose perpetratorum ab eiusdem serio poenitentis animo dolor absit. tantum esto hactenus dissertum a praelibante iam hinc memoriam secutarum postea ex fero acerboque Athanasii rigore turbationum, quae dei ecclesiam concusserunt. sed nondum ista.

14. Ἀλλὰ πρῶτον μὲν ἀκουσθὲν ὡς ἐς πατριάρχην ἐκεῖ- P 96 νος ἐψήφιστο, πολλοί τινες ἐξαναδύντες τῶν καθ᾽ αὐτοὺς φωλεῶν οἱ μὲν πόλλ᾽ ἄττα τῶν ἀχαρίτων ἐκείνῳ προσεμαρτύρουν, καὶ τὸ πλέον εἰς αὐτονομίαν καὶ ἀσπλαγχνίαν, ὅτι καὶ ἐξ ἐπιταγῆς ὄνῳ ποινὴν ἐπιθείη τῶν ὀμμάτων τὴν στέρησιν δόξαντι ἀδίκῳ περὶ τὸν τῶν λαχάνων κῆπον τοῖς μοναχοῖς, οἱ δὲ καὶ ὡς θαυματουργὸν ὡμολόγουν, ὅτι τε ἐν μιᾷ λάχανα συνάξας, λύκον εὑ- B ρὼν ἐπιτίθησι ταῦτα, ἐφ᾽ ᾧ οἱ τοῦ κήπου συναίροιτο, ἐπιτάξας ἀπάγειν εἰς τὴν μονὴν (ἦν δὲ ὁ λύκος ἄνθρωπος, εἰ καὶ παρελογίζοντο λέγοντες, ὡς ὕστερον ἔγνωστο), καὶ ὡς πεμφθέντος ἐκείνῳ παρά τινος ἀπὸ μελισσείου κηρίου αὐτός τε φάγοι καὶ γλυκανθείη τὸν φάρυγγα, εὔξαιτο δὲ τὸν γλυκασμὸν καὶ τῷ πέμψαντι, καὶ ὡς αὐτὸς ἐντεῦθεν ὁ πέμψας ἐξ ἐκείνου καὶ ἐς ἡμέρας C ἀνὰ στόμα τὴν γλυκύτητα περιφέροιτο, τῆς εὐχῆς ἐκείνῳ τόπον ἀποπληρωσάσης κατὰ στόμα τοῦ μέλιτος. ταῦτ᾽ ἐκεῖνοι μὲν ἔλεγον, τὸ δέ γε τοῦ ἀνδρὸς ξένον καὶ ἄηθες καὶ ἀμφοτέροις ἀνὰ μέρος πολλοῖς πιστεύειν ἐδίδου. ὅτι δὲ καὶ ἀσκητὴς ἐκ τῶν εἰκότων ὑποτοπάζοιτο καὶ ἀκριβὴς περὶ τὰς ἐντολὰς νομίζοιτο, μάρτυρες ἦσαν οἱ ἐκείνῳ φοιτῶντες, νήλιποί τινες καὶ ὠχρίαι

16. ἀμφοτέρως?

14. Quod huic convenit tempori, illud est. ut primum audita Athanasii designatio in patriarchatum est, multi prodeuntes e suis veluti quisque cavis ac latebris, varia de illo proferre in vulgus et sibi, ut aiebant, comperta dicere pro testimonio coepere, multa illi parum faventia, quae ad duo ferme capita referebantur, nimirum pertinaciam propriorum sensuum legibus parum exemplisve deferentem, et immisericordem feritatem. huius in specimen memorabant iussum ab eo excaecari asinum, quod nescio quid damni monachorum horto comedendis oleribus intulisset. plura contra per eius studiosos ambitiose iactabantur de virtute ipsius et apud deum gratia, miraculorum etiam testimonio probata. quo in genere narrabant quadam ipsum die fasce olerum ex horto lectorum facto, eum in monasterium ferendum lupo imposuisse, qui obedienter sancti videlicet hominis imperata fecerit. sed fucus haec erant et lusus in nomine, prout est postea compertum: ministro enim exportandis domum oleribus usus erat homine, cui nec primo nec soli Lycus sive lupus nomen obtigerat. addebant, cum ei quidam e propriis alvearils favos dono recentes transmisisset, Athanasium melle degustato imprecatum beneficii auctori ut ista ipsi suavitate fauces imbuerentur; cuius voti vim statim et diu inde ille senserit, mellei saporis continuam in ore per dies aliquot dulcedinem scilicet expertus. haec illi quidem ferebant. caeterum inusitatum et novum in hoc viro vitae ac cultus genus varie reputantes trahebat multos in diversam credulitatem contrarie assertarum de illo rerum, prout quosque favor aut odium moverat, utrisque tamen fere consentientibus in sibi persuadendo esse illum ascetam disciplinae austerae ac rigidum observatorem mandatorum. quod quidem etiam adstruebat squallor et durities as-

D καὶ κατεσκληκότες καὶ γυμνοὶ καὶ ἀπέριττοι, μὴ πολλὰ λαλοῦντες, μὴ περιττὰ ὁμιλοῦντες, κατηφίαι τε καὶ τὰς γνώμας ἀπαραίτητοι καὶ ἀμείλικτοι τοῖς πᾶσι φαινόμενοι, ἃ καὶ δείγματ' ἦσαν σαφῆ τῆς τοῦ διδάσκοντος ἀκριβείας καὶ τοῦ περὶ τὰς ἐντολὰς δεισιδαιμονήματος. ταῦτα λεγόμενά τε καὶ φημιζόμενα φθάνουσι καὶ ἐς βασιλικὰς ἀκοάς. ὁ δὲ πολλὰ μὲν εἰδὼς καὶ ἐφ' ἑαυτῶν ψευδῆ λαλοῦντας ἀνθρώπους, ἐκ βασκανίας κινουμένους
E δῆθεν καὶ παθῶν ἄλλων ὧν ὁ βίος ἐμπέπλησται (μαρτύριον δὲ τὸ μηδένα λέγειν ἐκείνου ἰδιωτεύοντος), τέως δὲ καὶ τὰ περὶ ἐκείνου σκοπῶν λεγόμενα, καὶ ἀντιβάλλων τοῖς ἀγαθοῖς τὰ κακά, καὶ συνετῶς κρίνων ὡς εἴπερ εὑρεθεῖεν ἀληθῆ τἀγαθά, ἀνάγκη πᾶσα συναφανίζεσθαι τὰ κακά, παρυποστάσεις ὄντα ἐκ τῆς τῶν
P 97 ἀγαθῶν ἀπουσίας, ὡς μὴ ἅμα τοῦ αὐτοῦ οἴκου καὶ φῶς καὶ σκότος χωροῦντος, συνάξεις ἐπιτελέσας κοινάς, εὑρὼν τοὺς τἀγαθὰ λέγοντας καὶ τὰ πιστὰ λαβὼν παρ' ἐκείνων ὡς μαρτυρησόντων ἐνόρκως, αὐτίκα διαλαλεῖ τῷ λαῷ κοινῶς περὶ τούτων, καὶ πρῶτον μὲν τὴν κακίαν ὡς ἐκ τοῦ πονηροῦ δείκνυσι, καὶ τὸν κακὸν θησαυρὸν ὅθεν αἱ κατὰ ἀνθρώπων διαβολαὶ θριαμβεύει· ἔπειτα

siduorum apud illum macrorum quorumdam, pallidorum, attritorum laboribus et nudos artus frigori exponentium hominum, quorum passim percellebat oculos horrida species admiratione severae in omni cultu paupertatis, cogitabundi silentii, parsimoniae verborum in defungendo quam brevissime necessario sermone, tristis aspectus, irrevocabilis quamvis in partem inclinaverat sententiae, implacidaeque ac spirantis acerbitatem per omnia conversationis. haec fama didita per ora omnium ad aures quoque imperatoris pervenere. is pro sua multarum iam rerum longo usu visarum experientia facile suspicabatur multa ex iis quae pro suo quisque affectu adversus Athanasium dicebat, livoris odii similiumve perturbationum, qualibus vita hominum plena est, instinctu fingi vulgarique, vel inde argumentum ducens, quod cuncta haec nunc demum vocato ad patriarchatum obiicerentur, nemine quoad in privata vita perstitit, ulla tali de re culpare Athanasium audito. ingressus tamen considerationem hinc inde allegatorum, et comparans bonis mala, denique prudenter indicavit, si quae ferebantur de illo bona vera reperirentur, necessario prorsus ab eo abesse deprehendenda quae imputarentur illi mala, quippe cum haec veram subsistentiam non habeant, sed bonorum quibus opponuntur absentiam exprimant, forma loquendi negationes instar subsistentiarum proponente, uti nec domus eadem lucem ac tenebras simul teneat. ergo cum ex iis convocatis qui Athanasium laudabant bona reperiret ei ab ipsis tribui, etiam affirmando cum iuramento se vere et ex certa scientia loqui, persuasus quod volebat, ad populum de hoc argumento disseruit, primum ostendens malitiam affingi exosis ex malo obtrectantium animo; lateque in hoc campo eius oratio exultavit, magnifica declamatione traducens memoratum evangelio thesaurum malum humani cordis, unde falsae ac calumniosae in homines criminationes proferantur. deinde productis et ex adverso con-

δὲ καὶ παρ' ἑκάτερα στήσας τὰ ἀγαθὰ μαρτυρήσοντας, προσέ-
ταττε λέγειν ἐκείνους ἃ δὴ καὶ συνοίδασι περὶ τἀνδρὸς ἑαυτοῖς. B
οἱ δὲ τοσοῦτον πιθανῶς ἔλεγον, προστιθέντες καὶ ὅρκους τοὺς
ἐπὶ πίστει τοῦ βασιλέως καὶ δὴ καὶ τοὺς συνήθεις ἄλλους, ὥστε
θαυμάσαι μὲν πάντας, τὸν δέ γε μέγαν λογοθέτην καὶ γραφῇ
δοῦναι ταῦτα πεισθῆναι.

15. *Οὕτω δὴ καὶ ἅπαξ καὶ δὶς ἐπὶ κοινῶν συνάξεων λα-* A
ληθέντων τῶν κατ' ἐκεῖνον, ἐπειδὴ ἔδει καὶ παρὰ βασιλέως προ-
βάλλεσθαι, ὑποτεμνόμενος ὁ κρατῶν ἐκείνῳ τὸν κόπον, ἐν τῷ
μεγίστῳ παλατίῳ κατὰ τὸν Ἰουστινιάνειον τρίκλινον, ὃν ὁ νέος
Ἰουστινιανὸς ἐδομήσατο ἔξαιτον ὄντα καὶ μέγαν καὶ θαυμαστόν,
λέχριον ὄντα τοῖς κατὰ πύλας εἰσιοῦσι πρώτως καὶ ἄνωθεν ἕως
κάτω διήκοντα, λαμπρὸν μὲν τοίχοις λαμπρὸν δ' ἐδάφει, καὶ
περιττὸν τὸ κάλλος, ὃς τῷ χρόνῳ παρεγκλιθεὶς ἐπὶ θάτερα νό- B
του βιαίου πνεύσαντος ὕστερον καταπίπτει, ὡς μηδὲ εἰ ἦν οἶκος
ἐκεῖσε πάλαι καὶ τοῖς ἰδοῦσι γνωρίζεσθαι, — κατὰ τοῦτον τοί-
νυν τὸν τρίκλινον, ἱστάμενον τότε, τῆς τάξεως γεγονυίας μεγα-
λοπρεπῶς καὶ ὡς ἔδει πατριάρχην προβάλλεται. εὐθύς τε κλό-
νος οἷον ἐπισημαίνει τῇ γῇ, καὶ παῖς τις κατὰ τὴν Νέαν πεσὼν P 98

stitutis iis qui bona de Athanasio testabantur, iussit illos quae comperta de illo haberent dicere. hi tam copiose ac verisimiliter illum praedicarunt, repetitis etiam, quibus iam fidem talium Augusto fecerant, iuramentis, et adhibitis aliis eodem, quibus vulgo uti consuevere qui studiose dicunt ad persuasionem, efficacibus formulis, ita cunctos in sententiam traxerunt, ut Athanasium qui aderant pro viro plane mirifico suspicerent, et magnus logotheta induci se sineret ad ea quae de illo splendide ferebantur scripto complectenda.

15. In hunc modum cum semel et iterum in conventibus locuti de Athanasio fuissent qui ei favebant, nec quidquam iam desiderari videretur nisi ut tam dignus omni honore vir in destinatum ei thronum ab imperatore promoveretur, compendifacere illi Augustus idem studens moram et molestiam in locum ei functioni solitum eundi, ceremoniam istam fieri voluit apud magnum palatium in triclinio Iustinianeo, quod Iustinianus iunior exstruxerat. aula haec est insignis, ampla mirificeque ornata, oblique apparens primas protinus valvas subeuntibus, a summo fastigio, sine ulla interpositione mediae contignationis, ad imum uno ductu pertinens, muris hinc inde speciosissime incrustatis, strato quoque pari magnificentia pavimento splendida, elegantiae plane incomparabilis; quod postea aedificium vetustate inclinatum in ruinam, superingruente denique in pronam aevi quassu partem austro vehementi, procubuit strage ingenti concidens, ita ut hodie intuentibus locum ne vestigia quidem aut reliquiae superstites ullius in eo solo, nedum tam illustris structurae illic olim erectae indicium faciant. in hoc ergo tunc stante triclinio congrua tali functioni magnificentia promotionem in patriarchatum Athanasii Augustus celebravit. quod fieri dum inciperet, auspicio statim haud prospero terra non sine fragore contremuit, et puer quidam circa Neam excussu corruens graviter ex

κινδυνεύει τῷ πτώματι. τετάρτῃ δὲ καὶ δεκάτῃ μηνὸς Ἐλαφηβολιῶνος ὁ προβληθεὶς πεζῇ καταλαμβάνει τὸ θεῖον τέμενος, μικρὸν δ' ὕστερον καὶ χειροτονεῖται. γίνεται δὲ καὶ τότε σημεῖον σύνηθες· νηνεμίας γὰρ οὔσης τὰς πρὸς τῷ στασιδίῳ φωταγωγοὺς μέσον ἐκ τῶν κατὰ κύκλον ἀπῃωρημένων, ὡς πᾶς τις τῶν ἐν κλήρῳ ἐπ' ἐκβολῇ πατριάρχου σημεῖον εἶχεν (ἅμα γὰρ ἐκεῖναι
B τελουμένων τῶν ὕμνων ἐσείοντο, καὶ ὁ βλέπων ἐκβολὴν κατενόει τοῦ τότε πατριαρχεύοντος· καὶ γέγονε ταῦτα ἐπ' Ἀρσενίῳ Γερμανῷ Ἰωσὴφ Ἰωάννῃ καὶ Γρηγορίῳ), ταύτας τότε ξυνέβαινε σείεσθαι. καὶ πολλοῖς βλέπουσιν ἐξητάζετο τὸ τελούμενον, εἰ καὶ μὴ ἐς προὖπτον βασιλέως ἑστῶτος διεπυνθάνοντο. ὡς δ' ὁ Καράκαλος Νικομηδείας τὸν ζυγὸν τοῦ ἁγίου εὐαγγελίου ἐτίθει, καὶ ἤδη τὸν θεῖον θεᾶσθαι χρησμὸν ἔμελλον (φέρουσι γάρ τι κἀκ
C τούτων ἐπὶ τοῖς τελουμένοις οἱ πολλοὶ πίστεις, κἂν οὐκ ἀναγκαία ἡ ἐπισήμανσις), τὸ εἰς κόλασιν ἀπόφημον ἐν τῷ ἱερῷ εὐαγγελίῳ ἐνεφανίζετο· τὸ δ' ἦν "τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ." ὃ δὴ καὶ προσαλγήσας πρῶτος ἰδὼν ὁ Νικαίας ἐπειρᾶτο καθόσον ἦν συγκαλύπτειν, καὶ μεταλλάττων τὰ τῆς βίβλου φύλλα καρπὸν

casu est periclitatus. quarta porro et decima die mensis Octobris promotus iam patriarcha pedes se contulit ad divinum templum, ac paulo post est ordinatus. in ea functione deprehensum solitum signum est, quo declararetur hunc patriercham ante murtem throno deturbandum. etenim quieto coelo nullisque aërem ventis cientibus, fenestrae quae ex circum per gyrum alte dispositis sedile inaugurati superne spectabant, dum hymni sacri cumplerentur, sponte concussae sunt. observabant curiuse hoc ipsum an fieret clerici omnes; quurum, ubi re vera sic factum animadverterunt, nemo dubitavit quin et hic Athanasius deiiciendus sede furet adhuc vivens, minimeque perducturus ad tumulum patriarchalem dignitatem. sic quippe meminerant praeindicatam similem fortunam in ordinationibus quinque retro patriarcharum, Arsenii, Germani, Iosephi, Ioannis et Gregorii; quibus in cunctis omen sponte motarum, dum inaugurarentur, imminentium sedi fenestrarum secuta deinde suo tempore ipsorum e throno expulsio sanxisset, ac ratum verumque nec temere captatum fuisse demonstrasset. tunc igitur fores ac specularia fenestrarum illarum, tranquillo licet a ventis aëre, minime dubio sed multorum undique intentorum concordibus aspectibus clare signato concussa motu sunt. soliusque praesentis imperatoris reverentia linguas tenuit, ne quod oculi vidissent, invicem percontarentur et indicarent. ut autem Caracalus Nicomediensis iugum sancti evangelii posuit, et iam visuri omnes essent divinam, quae ex primum obvio libri sacri versu ducitur, futuri praesagitionem (nam hinc quuque augurium in sortem fortunamque inaugurati multorum credulites trahit, licet non sit necessario cum eventu connexa ista praesignificatio) inauspicatae mentionis, quippe supplicium poenasque damnatorum innuens, sententia in sacro apparuit evangelio, his expressa vocibus "diabolo et angelis eius." quod abominans qui primus vidit Nicaeensis, conatus est quantum potuit abscondere, et inversis libri foliis aliam paginam aperuit, ex qua hoc pri-

ἐνέφαινεν ἕτερον. τὸ δ' ἦν "καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνοῦσιν ἐν αὐτῷ," ὃ καὶ αὐτὸ πολὺ τὸ ἀπεμφαῖνον ἔχειν ἐδό- D κει πρὸς τὰ τελούμενα τέως τὸ πρῶτον καὶ λαθεῖν σπουδάζοντες οὐκ εὐώδουν συγκαλύπτειν, ἀλλὰ τὸ ἀληθὲς ἐφημίζετο, οὐ μὴν δὲ καὶ εἰς κατάγνωσιν ἄγειν τὰ τελεσθέντα ἐντεῦθεν, κατὰ τύχην μὲν οὐ λεγόντων ἐκβῆναι (πόρρω γὰρ ἡ τύχη τελουμένων θείων πραγμάτων), ἄλλο δέ τι ὑποδηλοῦν τὸ λόγιον κατὰ τὸ λοξὸν πιστευόντων. ἃ δὴ πολλὰ τοιαῦτα καὶ ξυμβεβήκασι. βρυγμὸν E λέγουσιν ἐκβῆναι τῷ Ἀρσενίῳ· ἀλλ' ὁ χρησμὸς ἐπ' αὐτῷ μὲν οὐδ' ὁτιοῦν ἐπληροῦτο, ὡς ἔδειξεν, ἐπὶ δὲ τοῖς κοινοῖς τῆς ἐκκλησίας καὶ λίαν, ὅπου γε καί τις, ὡς λέγεται, θεοφόρος ἀνήρ, ἀκουσθὲν ὡς Ἀρσένιος ἐπὶ τῆς ἐκκλησίας κατέστη, εἶπεν "Ἀρσένιος ἀρχὴ σκανδάλων," τῇ ἀρχῇ συμβαλλομένου ἐκ τῆς ἀρχῆς τοῦ ὀνόματος. διὰ τοιαῦτα καὶ ἐν πληροφορίᾳ τῇ προσηκούσῃ τὸν πατριάρχην καὶ κλῆρος καὶ λαὸς ἅπας ἐδέχοντο.

16. Ὀλίγον τὸ μεταξύ, καὶ ἐπεισφροῦσι τούτῳ ὑπηρέται P 99 μοναχοί ποθεν ἔξωθεν. καὶ οἱ μὲν ἐκτὸς οἱ δ' ἐντὸς ἐκεῖνα ποιεῖν οὐκ ἀπώκνουν, ἃ δὴ πνευματικῶν μὲν ἀνδρῶν οὐκ ἂν εἴ-

10. δὲ] τὲ P.

mum in oculos incurrit "et volucres coeli requiescunt in ipso;" quod et ipsum longe abherrens a mysterio quod tunc celebrabatur, est visum. ergo cum et hoc dissimulare cuperent, obstare nequivere quominus in notitiam emanaret. sed sinistris augurationibus compescendis illud vere admonuerunt, non debere haec trahi ad fixam opinionem infausti successus hanc ordinationem excepturi, non quod haec vellent dicere casu evenisse (casus enim a divinorum celebratione mysteriorum longe abest), verum innuebant oblique alia quaedam eius generis omina vulgi sermone trita, quae eventu caruisse viderentur. unum erat horum quod ferebatur, olim in Arsenii consecratione primum occurrisse dictum evangelii "stridor dentium," grave utique infortunium intentans. quam tamen significationem in Arsenio, utcumque malis exercito, impletam vita eius etiam post exauctorationem ad mortem usque satis quieta declaret. caeterum si eius qualiscumque oraculi minae in ipso perpetratae Arsenio non sunt, videri tamen in communibus illis inde secutis perturbationibus ecclesiae abunde vim saevam tristis sui significatus exhausisse. quo pertinet quod vir quidam illorum temporum deo plenus, ubi audisset ecclesiae regimini praefectum Arsenium, exclamasse dicitur "Arsenius initium scandalorum," praesaga videlicet allusione ad priores duas literas nominis Arsenius, quae item vocabulum quo initium Graece designatur incheant, itemque ad tertiam eiusdem nominis literam, quae prima est in voce scandalum. his tunc et observationibus actorum et interpretationibus observatorum consentaneae fuere expectationes et arcana auguria mentium, cum quibus sic inauguratum patriarcham clerus et populus exceperunt Athanasium.

16. Brevi posthaec convenerunt ad eum quasi ministraturi externi monachi nescio unde profecti, quorum hi quidem palam, alii clam ea facere non dubitabant quae spiritualium esse hominum nemo dixerit, utpote

ποι τις, τέως δ' ἀνθρώπων καὶ μετρίων τὸ παράπαν ἦσαν οὐκ ἄξια. πολλοῖς γάρ, μοναχοῖς δὲ μάλιστα, καὶ λίαν ἐπεῖχον. καὶ ἡ πρόφασις εὔλογος, ὡς ἀδιαφοροῦσιν ἐξ ἔθους, καὶ τὰς τῆς ἑβδομάδος νηστίμους καταλύουσι μὲν εἰς διφαγίαν B καταλύουσι δὲ καὶ εἰς οἶνον πολλάκις καὶ ἔλαιον, καὶ παραρτύμασι χρῶνται, καὶ παρὰ τοὺς πολλοὺς τρέφονται, καὶ ὡς χρήματά τινες ἔχοιεν. καὶ τοσοῦτον ἐφυλοκρίνουν ταῦτα καὶ ποιναῖς ἐξεκόλαζον, ὡς μὴ μόνον τοὺς ἀδιαφοροῦντας δεδιέναι καὶ τρέμειν τὴν ἐκείνων ἐπιστασίαν, ὡς εἰ μόνον προσαγγελθεῖεν κολασθησομένους τὰ μέγιστα, ἀλλὰ καὶ τὸν δοκοῦντα προσεκτικώτατον. καὶ ὅπερ ἐπὶ τοῦ σκορπίου φασίν, ἐκ τῆς ὀπῆς ἐξιόντα μηδὲν εἰδέναι ὅπῃ τὸ κέντρον προσβάλοι, ἀλλ' εὐθὺς ἐνιέναι πᾶσι, καὶ C φυτοῖς καὶ πέτραις καὶ ζώοις καὶ γῇ, τὰ αὐτοῦ πράττοντα, οὕτω κἀκείνοις ἄντικρυς ἦν τοὐπιτήδευμα, ἐνιεῖσι πικρίαν οἷς ἐπισταῖεν διὰ τὴν τοῦ πατριαρχοῦντος ἐπὶ πᾶσιν, ὡς ἐδόκει, ἀκρίβειαν. ἐκείνῳ τὸ εὑρεθὲν χρυσίον κατάγνωσις, τούτῳ τὸ τῶν ἱματίων καινόν, ἄλλῳ τὸ δυσὶ χιτωνίσκοις ἢ καὶ τρισὶ χρῆσθαι, ἄλλῳ ὅτι ὁ σταυρὸς ἐξ ἀργύρου ἢ μὴν καὶ χρυσίου, καὶ ὅτι πολυτελὴς

quae ne iis quidem qui tolerabilem dumtaxat mediocritatem in vita profiteutur officii, et aliquatenus moderatis, ulla ratione convenirent. iu multos, praesertim monachos, saeve grssabautur, eo plausibili praetextu, quod eos causarentur licentia relaxasse disciplinsm nec lam more monachorum autiquo vivere. etenim quibus quavis hebdomade diebus indictum olim sit ieiunium, iis hos uibilo secius bis comedere, et quidem ssepe vino et oleo adhibitis; praeterea condimentis uti ac ritu vesci saeculariom; quosdsm etiam ex ipsis pecunias babere. in haec tam severe odiosissimas luquisitiones et rigida iudicia scrutaudis inhianter ac cupide libellis indiciisque delatorum exercebant, ut non tantum qui re vera mollioris quam status posceret monasticus sibi essent diaetae conscii, timerent horrerentque illorum animadversionem, certi, si solum quomodocumque insimularentur a quoquam, ab his statim sese pessime multaudos, sed uec si quis videretur in eo geuere vel circumspectissime se gerere, securum se putaret, horum siquidem indiscriminatim omnibus intemperies infesta minabatur, plane ut scorpium aiunt e cavo prodeuntem, exertum caudae letalis aculeum aeque cunctis intentare rebus obviis, plantis saxis animantibus, nullo delectu respectuve, quod suum est ageutem, hoc est, innatae obsequeutem libidini quibuscumque quam potest maxime uocendi. sic istis hoc studium, haec occupatio sc quasi professio uua erat, immittere acerbitatis suae virus in omnes quibus praeerant potestate qusm ipsis communicabat patriarchs, quem cum appareret suumam omnis officii diligentiam velle ab unoquoque exigi, eo plus se ab illo inire gratiae putabant, quo immitius desaevissent in delatos aut mediocrium culparum aut rerum, si clementi arbitrio censerentur, ne culpae quidem affinium. quotidianarum hae ferebantur damnationum causae, aureus in huius monachi peculio repertus, novum alter depreheusus induisse pallium, duabus alius tribusve uti tunicis compertus. quin et si observaretur gestare quispiam argen-

κατεσκεύασται, ἄλλῳ ὡς τὸ μαχαιρίδιον εὖ ἤσκηται, καὶ ἄλλῳ ὡς λελεύκωται τὸ χειρόμακτρον, ὡς ἐλούθη οὗτος, ὡς ἐκεῖνος P 100 ἀπερραθύμησεν, ὡς φίλοις ἐχρήσατο, ὡς ἀσθενήσας ἰατρῷ προσῆλθε. καὶ τίς ἂν τὰ αἰτιάματα ἀριθμήσειεν, ἃ δὴ καὶ ὡς ἐπὶ σκηνῆς τοῦ βίου τῶν ταλαιπώρων ἀνθρώπων ἡ τληπαθὴς φύσις ὡς ἐφόλκια ἐπισύρεται; οἷς ἐκεῖνοι ἐπιφυόμενοι κατωνείδιζον καὶ ἠτίμουν καὶ περιέσυρον καὶ φυλακαῖς ἀπαρακλήτοις δικαιοῦν οὐκ ἔληγον. ἦν δή που καὶ ἀπὸ μονῶν ἐξέλεγον χρήματα, ὡς ὕλην παθῶν ὑποσπῶντες ταῦτα καὶ τὸ πῦρ τῆς ἐμπαθείας ἐντεῦθεν ἀπομαραίνειν δικαιοῦντες· εἰ δὲ καὶ ταῖς χερσὶν ἐκείνων B οἱ σπινθῆρες, ὡς ἔδοξαν, ἐνεσποδιάζοντο, ἡράκλεις, τοῖς ἄλλων, ὅ φασιν, ἰατροῖς, εἰ ἕλκεσιν ἔβρυον. ὅμως μέντοι μῖσος οὐκ ὀλίγον ἐντεῦθεν σφίσι παρὰ πολλῶν ἐντέτροφε καὶ ἄσπονδος μῆνις, καὶ κατεστύγουν ἅπαντες, ἐκείνων σπενδομένων μόνων οἷς δὴ καὶ ὡς ἰδίοις ἐχρῶντο. πολλοῖς δὲ καὶ πληγὰς ἐνέτειναν βαρείας ἁμαρτεῖν δόξασιν, ἀπὸ ζήλου δῆθεν καὶ ἀκριβείας, τὸ

8. δ' ὅπου?

team aureolamve cruciculam, statim ut sumptuose splendidus notabatur. sed et usque ad has minutias morosissima censura descendebat. en hic quam elaborato affabre cultello utitur! alter ille mantili quam candido manus tergit! ut iste lautus nitet! ut fracto alius et deside languescit habitu! ut amicis solicite obsequitur! ut cum aegrotaret medicum adiit! et quis istiusmodi criminationum ineptissimarum ineat numerum? nam in iis omnibus quas, velut in scena, infelicium hominum aerumnosa natura solatio urgentium necessitatum sarcinas vitae subsidiorum trahit, insidias inhumani satellites collocabant odiosarum explorationum; e quibus exurgentes in deprehensos stomachabantur, obiurgabant, multabant, prehendentes immisericorditer, prehensos ignominiose trahentes in custodias tristissimas, ubi sine spe impetrandi laxamenti, sine ullo temperamento indultae consolatiunculae vel minimae, miseri contabescerent, nulla quantumvis longa tolerantia malorum crudelium istorum insatiabilem explente feritatem. nec singulos vexasse monachos contenti, monasteria ipsa opibus et pecunia tollendis exhauriebant: materiam cupiditatum everrere sese inde zelo disciplinae dictitantes, quo fomite scilicet detracto avaritiae (sic enim loquebantur) plus nimio flagrantis ardorem minuerent; cuius tamen ignis favillae in manibus ipsorum, scintillis luculenter intermicantibus, cernebantur, ut liceret exclamare tritum illud "heus vos, aliorum medici, scatetis ulceribus!" his, prout erat verisimile, ingens adversus istos odium in animis omnium aestuabat, iraque fervebat implacabilis, detestantium cunctorum tam diram acerbitatem, unis dumtaxat illis in fide velut foederis cum his perstantibus, quibus quasi domesticis et interiori necessitudine familiaribus ipsi utebantur. cumulabat oleum in flammam invidiae, quod ne temperabant quidem manibus et fuste, plagis interdum contundentes quos deprehendisse in culpa sibi videbantur, hoc ipsum ostentare ad sui gloriam gaudentes, quod inde intellecturos omnes confiderent quanta in ipsorum animis exardesceret vis divini zeli, quae cohibere istas

ἀπαραίτητον ἐπὶ πᾶσιν δεικνύμενοι καὶ ἀσυγκατάβατον, ὡς C πάντας μὲν εἶναι ἐν φόβῳ καὶ ἀγωνίᾳ, τοὺς πλείστους δὲ καὶ ἐν καταγνώσει λογίζεσθαι. πάντα δ᾽ ἀνέτρεπον καὶ συνέχεον διὰ τὴν νομιζομένην ἀκρίβειαν κατὰ τὰ Ἀναξαγόρεια χρήματα. οἱ δέ γε τῆς ἐκκλησίας ὁρῶντες τὰ πλεῖστα μὲν καθ᾽ ἑαυτοὺς κατεμέμφοντο, ὑπομιμνήσκοντες δὲ καὶ τῷ πατριάρχῃ προσαναφέροντες ὅτι πολλοὶ παρὰ τῶν ἀγρίων ὑπηρετῶν πληγὰς ἀνηλεῶς ἐλάμβανον, ὡς δῆθεν τὰ πολλὰ μηδ᾽ εἰδότι, κατεγινώσκοντο ὡς ἀταλαιπωρήτως ἔχοντες περὶ τὸ καλόν, ὥστε τῷ μὴ τὸ κακὸν D ἐκτόπως μισεῖν μηδὲ τὸ καλὸν τοῖς αὐτοῖς ὑποδέχεσθαι μέτροις. ἦν γάρ, ὡς ἐῴκει, ὁ σκοπὸς τῷ πατριαρχεύοντι ἐκ μέσου θεῖναι τὸ ἀδιάφορον, εἴτε ὂν εἴτε δοκοῦν, ἐκ παλαιοῦ ἐπεισφρῆσαν διὰ τὴν τῶν πνευματικῶν προστατῶν, ὡς ᾤετο, ἀτημελησίαν ἢ

nequiret eruptiones in subitas et nullo respectu tardatas castigationes perperam actorum. moesta hinc omnia metu solicito, aestu animorum inquietissimo, videres, plerisque, dum et indignitatem praesentium et perniciem imminentium cum horrore reputant, usque ad desperationem efferatis. crescebatque in dies malum, dum nihilo secius monachi quo per praeceps incubuerant ruentes, novis subinde frequentandis, simulatione aut praetextu exactae religionis, inhumanae acerbitatis exemplis, pervertebant confundebantque passim omnia, ut esset iam illic praesens species ecclesiae et urbis plane qualem Anaxagoras originem mundi describens fuisse affirmabat naturae partium mixtim ac temere coacervatarum, ante mentis, quae ordinem intulit, accessum. talia ecclesiastici cum cernerent, pleraque quidem improbabant taciti, et secum aestimantes ut nimia et immania damnabant. ac cum arbitrati patriarcha multa horum inscio fieri, eum adeuntes indicarent quae maxime intolerabilia credebant, nempe contra ecclesiasticam lenitatem etiam vim ac verbera per feros eius ministros plurimis crudeliter inferri, quod pro sui atrocitate omnes existimarent praeter mentem et citra notitiam ipsius ab istis attentari, ille inexpectatissime rem comprobans etiam ultro monitores increpabat ut hebeti ad mali sensum et detestationem animo, apparere vel inde aiens callum obductum religioni ac zelo ipsorum, qui aspectu culpabilium defectuum tam parum offenderentur. si enim horrore quo par fuerat ad occursum prave actorum commoverentur, ipso utique mali odio ad boni ipsi oppositi, nempe castigationis qua emendator, honestatem agnoscendam perducendi fuerant, nec temere ut nimium culpaturi supplicium, quod ex comparatione ac commensoratione cum peccato quod punit, iustum esse ac moderatum recte censentibus intelligitur. his patriarcha obiurgationibus insperatissimis istos ecclesiae primores qui eum admonitori conveniebant a se abigens, omnem iam sibi apud eos demebat excusationem ab opinione ignorantiae rerum quae fiebant, et totam in suum caput attrahebat invidiam, nihil pensi quidquam habens, dum palam ostentaret eo plane se spectare ac recta ferri, ut e medio tolleret radicitusque extirparet omnino qualemcumque, seu veram seu apparentem disciplinae remissionem, vulgo indifferentiam vocatam, quam ex longo putabat obrepsisse propter spiritualium praesidum incuriam, insolitam vero sese iam tueri quadam auctoritate ex praeiudicio consuetudinis, contra quod rite atque ordine sui mi-

καὶ συνήθειαν. ὅθεν κἀκεῖνοι ἐπειλημμένοι προφάσεως εὐπροσώπου τοιαῦτ᾽ ἔδρων, ἥν πού τις αἰτίαν ἀδιαφορίας εἰλήφει. τέως δὲ περὶ τὴν τοιαύτην αἰτίαν οὐκ ὀλίγοις καὶ αὐτὸς ἐνεπικραίνετο τὸ ἀδιάφορον ὀνειδίζων, μὴ κρίνων, οἶμαι, ὡς μέσον κακοῦ E τε καὶ ἀγαθοῦ τὸ ἀδιάφορον κείμενον πρὸς ἑκάτερον ἐναντιοῦται τῶν ἄκρων, καὶ εἴγε πρὸς τἀγαθὸν κακὸν νομίζεται, ἀλλ᾽ οὖν καὶ πρὸς τὸ κακὸν ἀγαθόν, καὶ ἀγαπητὸν ἂν μετριοπαθοῖμεν, μὴ τοῦ ἀπαθοῦς ἐφικνούμενοι. αὐτὸς δ᾽ ὑπὸ κανόνι τῇ φαινομένῃ ἰδίᾳ ἕξει, εἴτε καὶ γνώμονι, τὰ τῶν ἄλλων ἤθελεν ἀπευθύνειν. κἀντεῦθεν καὶ οἱ πολλοὶ διυπνίζοντο καὶ ἐν ὑπονοίαις ἦγον μεγίσταις τὸν ἀπευθύνοντα. ἦν δ᾽ ἐκείνους τὸ ἐφορμοῦν πρῶ- P 101 τον μὲν τὸ ἀπ᾽ ἐκείνου ἀτηρὸν καὶ πρὸς ἅπαν δυσέντευκτον, τοῖς μὲν ἐξ ἀρετῆς δοκοῦν, τοῖς δ᾽ ἐκ γνώμης ἐμφύτου, τοῖς δὲ καὶ ἐκ συνηθείας τῆς πρὸς τὴν ἄσκησιν καὶ μονώσεως (ἅπαν γὰρ δύσοιστον τὸ μὴ σύνηθες), εἶτα δέ γε καὶ τὸ ἐπὶ τοῖς ὅλοις κρυπτόν τε καὶ ἀφανὲς καὶ ψάλλοντος καὶ ἐσθίοντος καὶ κατὰ μόνας

15. εἶτα] εἶτε P. *ibid.* τὸ ante ἐπὶ deerat.

nistri tenderent, plausibili usi praetextu, puniendis inexorabiliter, quaecumque deferrentur aut se ultro in animadversionem offerrent, transgressionibus antiquae disciplinae, quarum mentio soleret indifferentiae vocabulo molliri. ac esse in isto iudicio concordes patriarcham et eius satellites ex eo palam extabat, quod ipse quoque per se non paucos obvios contristabat amaris dictis, indifferentiam ipsis exprobrans, non intelligens, quantum arbitror, indifferens in boni et mali medio positum e varia sui comparatione cum extremis contrarias utrimque ducere qualitates, ut malum censeatur collatum bono, vicissim autem, ubi cum malo componatur, bonitatis aliquam induat speciem. unde ille moderate sapientium vulgo probabilis sensus est, praeclare agi nobiscum, in hoc vitae labilis statu haud pertingere valentibus ad plane imperturbabilem tranquillitatem, si mediocribus dumtaxat perturbationibus agitemur. porro ille propria illa sua, quam prae se nusquam dissimulans ferebat, rectitudine rigidae virtutis pro norma utebatur, ad quam omnino volebat exaequare mores omnium, et quidquid in quovis ab ea declinaret, dirigere. non poterat sic agens non pungere crebro plurimos, qui sensu excitati evigilabant in suspicaces importuni censoris observationes, explorantes ecquid in eo deprehenderent quod iure vicissim carperetur, et valde suspectantes non frustra id se quaesituros. huic coepto ut instarent, magis eos in dies magisque impellebant nova subinde feritatis eius et admissionum inhumanissimarum exempla extantia relatuque vulgata. quae licet aliqui moderatiores excusarent partim virtuti tribuentes partim innatae inclinationi ac genio austerae indolis, denique alii totam eius acerbitatis culpam imputarent diuturnae assuetudini hominis a puero in secessu ac solitudine versati, ac ne nunc quidem in vita exposita congressibus, quod omne insolitum aegre toleretur, a latebris ac silentio repetendis subinde temperanti (animadvertebatur enim nunc quoque affectare in omnibus secretum, vitareque, quantum poterat, arbitrorum conscientiam, solus psallere, solus comedere,

B διάγοντος, ὥσπερ ἤσκητό τε καὶ εἴθιστο. ὅμως (τὸ γὰρ τῆς
ἀνάγκης ἐστὶν ἀδήριτον) τὴν σκληρὰν ἐκείνην καὶ ὡς ἐν σιδηρᾷ
ῥάβδῳ διέφερον ποίμανσιν, οἱ μὲν εὐγνωμονέστεροι σφίσιν ἑαυ-
τοῖς τὴν αἰτίαν προστρίβοντες, ὅσοις δηλαδὴ μὴ ἦν ἐν νῷ τὰ
τῶν ἄλλων κρίνειν ἀλλ' εἰς ἑαυτοὺς νεύειν καὶ ἑαυτοὺς κατὰ τὸ
C προσῆκον κατανοεῖν, εἰ δὲ καὶ ἀλλήλους κατανοεῖν, εἰς παρο-
ξυσμὸν ἀγάπης καὶ μόνον, συγχωροῦσι τέως τοῖς γιγνομένοις,
ἀλλ' οὐ περιεργαζομένοις τοὺς ἐργαζομένους, κἂν ὅ τι ποιοῖεν.
τοῖς δὲ καὶ πολυπραγμονεῖν ἐπῄει καὶ ἀνταμύνεσθαι πάσχουσι
καὶ λαμβάνειν λόγους ἐξ ἄλλων, πιθανοὺς ἄλλως ἐκ τῶν εἰκότων
ὡς ἀγνῶτος πολλοῖς ὄντος ἐκείνου διὰ τὴν ἐπὶ τῇ ἀσκήσει μόνωσιν.

P 102 17. Τούτων οὕτως ἐχόντων ὁ μὲν πατριαρχεύσας Γρη-
γόριος νόσῳ πολυημέρῳ κατεργασθείς, ὡς δέ τινες ἔλεγον, καὶ
διὰ τὴν παρόρασιν ἐκ μικροψυχίας, μετ' οὐ πολὺ τελευτᾷ τὸν
βίον. καὶ τὸ μὲν ἐν ψαλμῳδίαις θάπτειν κατὰ τὸ εἰκὸς ἐδίδουν,
B τὸ δ' ὡς ἀρχιερέα, ὥσπερ δὴ κἀκεῖνος ᾤετο τὴν ἱερωσύνην πα-
ρακατέχων, συχνοὺς ὁ κρατῶν ἀποστέλλων ἀπεῖλεγε, καὶ τῇ αὐ-
τανεψιᾷ ἐπέσκηπτεν ἐπιτάττων, ἥ τις ἦν Ῥαούλαινα, μή τι
τοιοῦτον ἐπιτελεῖν, ὃ δὴ καὶ γίνεται.

clam et arcano, prout ascesi longa insueverat, cuncta vitae officia transigere), tamen nonnisi adacti magna vi necessitatis, quam nemo valet eluctari, durum istud et velut in virga ferrea regimen ferebant. quo in communi sensu gravis omnibus incommodi elucebat exquisitior aequitas quorumdam sibi unis mali causam imputantium. nempe sic dudum statuerant, non arrogare sibi iudicium rerum ad alios spectantium, sed in se ipsos attentionem mentis omnem vertere, sibi cavere atque invigilare promovendis ad rectum, unice securos aliorum, nisi quatenus, suadente sic conditione eorum quae gerebantur, observare se invicem proderat ad provocationem caritatis, minime vero ubi non appareret fructus eius inspectionis alius quam solatium curiositatis prurientis in otiosam et figendi locum aculei quaerentem explorationem factorum alienorum, plerisque interim haud se intra fines paris modestiae continentibus, verum et curiose indagantibus quae suspectaverant, et ulcisci conantibus si secus quam vellent tractarentur, et qua serere ipsos, qua sparsos ab aliis accipere liberos de his sermones et iudicia verisimilibus innixa coniecturis, pleraque Athanasium traducentia pro funditus ignaro artis hominum regendorum, quam in solitudine ascetici secessus discere haud potuisset.

17. His ita se habentibus, expatriarcha Gregorius languore dierum multorum exhaustus, ut autem quidam aiebant, aegritudine animi confectus inde nata quod ex olim tam honorato tam se hodie contemptum cerneret, paulo post vivere desiit. eius exequias psalmorum cantu de more celebrari concessum est: at eum sepeliri ut patriarcham, quod sperasse ipse videbatur dum in cessione sacerdotium retinere voluit, omnino vetare se per crebros ad id missos nuntios significavit imperator; et suae consobrinae defuncti perstudiosae Raülaenae diserte interdixit ne quid tale attentaret. privato ergo elatus est funere.

18. *Αὐτὸς δὲ φθάσας ἐπ' ἀνατολῆς, τὸν πορφυρογέννητον ἀποστείλας ἔχοντα καὶ τὴν συνοικοῦσαν ἐκ τῶν τοῦ Ῥαοὺλ* C *κατὰ γένος, ἐξεληλακὼς ἐπ' ἀνατολῆς ὥρμα. καὶ διελθὼν τὰ τῆς Βιθυνίας μέρη, καὶ ὅσα πρὸ μικροῦ ἐρρέθη ἐπί τε τῷ Βέκκῳ καὶ τοῖς λοιποῖς εἰργασμένος, τῷ Νυμφαίῳ ἐφίσταται, φέρων καὶ τὸν Μουζάλωνα πρὸς τῷ τοῦ μεγάλου λογοθέτου σεμνώματι καὶ πρωτοβεστιάριον κλεϊζόμενον. οὗ δὴ καὶ σκηνήσας, ἐκεῖθεν τὰ κατ' ἀνατολὴν διοικούμενος, ἐσκέπτετο καὶ περὶ τοῦ υἱοῦ* P 103 *Μιχαὴλ, ἐπαγαγεῖν ἐκείνῳ ἐκ τοῦ ῥηγὸς Πουλίας τὴν συνοικήσουσαν, ἣ ἐκ τοῦ υἱοῦ τοῦ Βαλδουίνου καὶ τῆς θυγατρὸς τοῦ Καρούλου, Αἰκατερίνα, ἥτις καὶ ἐπὶ τῷ πρὸς μητρὸς θείῳ τῷ υἱῷ Καρούλου θείαν εἶχε τὴν τοῦ τῆς Οὐγγρίας ῥηγὸς θυγατέρα, θείαν οὖσαν πρὸς μητρὸς καὶ τῷ βασιλεῖ Μιχαὴλ, ἥτις καὶ τοὺς γάμους δυοῖν ἀδελφοῖν ἀνὰ μέρος κατήπειγεν. ὅθεν καὶ αὐτὸν μὲν ἐπὶ τῆς πόλεως καταλείπει ὁ βασιλεύς, τοὺς δέ γε τῷ κήδει μεσιτεύοντας Ἰταλοὺς ἐπήγετο πρὸς τὸ Νύμφαιον, συχνὰ κατα-* B *ναλίσκων καὶ προσφιλοτιμούμενος, νεύων ὅλος εἰς τοῦτο καὶ μόνον οὐ καὶ συνδέσμους τῶν ἀναγκαίων ποιούμενος. ἐπὶ πολὺ γὰρ καὶ προσελιπάρουν ἐκεῖνοι, καὶ συμφέρον παμπληθὲς ἐδόκει καὶ βασιλέως ἄξιον τὸ συνάλλαγμα. ὑπέτεινε δὲ καὶ χρηστὰς τὰς*

10. ἣ] ἡ δ' ἦν ἡ?

18. Ipse porro Augustus, misso prius in Orientem Porphyrogenito secum uxorem ducente, quae et ipsa erat ex Raülis stirpe, secutus ipse quoque versus Ortum movit. transgressusque partes Bithyniae, ac iis obiter, quae paulo ante memorata sunt, cum Vecco reliquisque transactis, Nymphaeum pervenit comitem habens Muzalonem, super antiquum honorem magni logothetae nova protovestiarii dignitate decoratum. hic imperator fixo Augustali attendere inde ordinandis orientalium rebus tractuum instituit; simulque incubuit in curam conficiendarum nuptiarum Michaëlis filii, cui sponsam legerat regis Apuliae filiam, ex Balduini filio et filia Caroli natam. haec Aecaterina nuncupata per avonculum filium Caroli materteram habuit filiam regis Hungariae, quae matertera item erat Michaëlis eiusdem Augusti iunioris ex huius sorore geniti. quare illa coniugium istud duorum sibi e sororibus nepotum pro se, quantum poterat, urgebat. quocirca etsi Michaëlem ut se absente urbi praeesset Constantinopoli pater reliquerat, tamen Italos huius conciliatores matrimonii ad se inde accitos Nymphaei splendidissime tractavit, ingentes in eos honorandos sumptus faciens, negotiumque cura tanta et studio capessens, ut parum ab ultimo assensu atque adeo a celebratione sponsalium res abesse videretur. nam et legati regis Apuliae magnopere ut foedus fieret instabant, et utile id dignumque Augusto coniugium passim omnes censebant. votis istis multam secuturi eventus spem addebat multis signis declarata imperatoris in eam affinitatem propensio, ut Itali eius negotii tractatores

ἐλπίδας ἐκείνοις ὁ βασιλεύς, καὶ ἐνησμένιζον τοῖς μέλλουσιν ὡς
C ἐξ ἀνάγκης ἐσομένοις. ὅθεν καὶ τοῦ συγγραφέως τῷ Νυμφαίῳ
ἐσύστερον ἐνδημήσαντος, ἐκεῖνοι μαθόντες πολίηθεν ἐλθόντα
ἀξιοῦσι βασιλέα ἐπ' ἀρίστῳ καθήμενον ἐρωτᾶν ἐφεῖναι ὅπως ἔχοι
τῶν ὑγειῶν ὁ νέος βασιλεύς, καὶ ὅπῃ καὶ τίσι διάγων ἐνασχο-
λοῖτο. καὶ δὴ προσέταττε βασιλεὺς ἐκείνοις τε πυνθάνεσθαι καὶ
τούτῳ διδόναι τὰς ἀποκρίσεις. καί γ' ἐφ' ἑκάστῳ τῶν λεγομέ-
νων ἀκούοντες, ἐπεὶ καὶ χρηστὰ ἐξ ἀνάγκης ἠγγέλλοντο, προσα-
ποδεχόμενοι δῆλοι ἦσαν εὐχαριστοῦντες θεῷ.

D 19. Τῆς δ' εἰκοστῆς ἐνάτης μηνὸς Μαιμακτηριῶνος,
καθ' ἣν καὶ ἡ τῶν Ἁγίων ἀποστόλων ἑορτὴ τελεῖται, διετείας
τρεχούσης ἐστρατοπεδευμένῳ τῷ βασιλεῖ, γίνεταί τι τοιοῦτον,
ὃ δὴ καὶ κακῶν ἦρξε μεγάλων τῷ πορφυρογεννήτῳ Κωνσταντίνῳ.
ἐπειδὴ γὰρ ἡ ἑορτὴ ἦν καὶ ἔδει συνάξεις μὲν τῶν μεγιστάνων
πρὸς βασιλέα προσόδους δὲ καὶ τῶν ματρωνῶν παρὰ τὴν Αὐγοῦ-
σταν γίνεσθαι, ἀπήντων μὲν καὶ ἄλλαι πλεῖσται καὶ μέγισται,
ἀπήντα δὲ καὶ ἡ εὐγενὴς γραῦς Στρατηγοπουλῖνα, ἡ τοῦ Ἰωάν-
P 104 νου μὲν τοῦ Δούκα καὶ βασιλέως ἀδελφιδῆ, Κωνσταντίνῳ δὲ
τῷ Στρατηγοπούλῳ τῷ καὶ ὕστερον τυφλωθέντι παρὰ τοῦ υἱοῦ
καὶ βασιλέως συνοικήσασα. ἐπεὶ δὲ οὔπω καιρὸς ἐκάλει εἰσελ-
θεῖν πρὸς τὴν Αὐγοῦσταν, ἐκείνη ἔξω που καθῆστο τὴν πρόσκλη-
σιν ἀναμένουσα. ἀλλ' ἐφίσταται καὶ ἡ τοῦ πορφυρογεννήτου

praeciperent iam animo gaudium successus, ut se dabant indicia, certissimi. itaque cum paulo post haec contigisset huius historiae scriptorem Nymphaeum venire, illi ab imperatore, cui ad prandium sedenti circumaderant, petiere per eum ut ipsis liceret hominem quem scirent ab urbe recentem interrogare ut valeret Augustus iunior, ubi diversaretur, quibus aut remissionibus aut occupationibus diem exigeret. annuens Augustus iussit et percontari eos quae volebant, et respondere ad quaesita historicum. ac mox et illis quaerentibus et hoc quae necesse erat, hoc est bona prosperaque referente, apparebat mirifice delectari audientes Italos et ad gratias deo agendas excitari.

19. Caeterum undetrigesimo mensis Iunii die, quo sanctorum apostolorum festum celebratur, altero currente anno ex quo imperator castra illic habebat, contigit quod mox referam, multarum in posterum Porphyrogenito Constantino initium calamitatum. quoniam ut in festo tali ex more oportebat convenire magnates apud imperatorem, similiter autem et circum Augustam conventum matronarum fieri, adfuerunt ea causa cum aliae plurimae ac maximae, tum praenobilis anus Strategopulina, quae ex Ioannis Ducae olim imperatoris fratre nata deinde nupserat Constantino Strategopulo, a filio Ioannis, dum is imperaret, excaecato. haec tunc, quod admissionis ad Augustam hora nondum venerat, extra considens, dum intro acciretur, expectabat, quando eodem advenit coniux Porphyro-

σύζυγος ἀβροσύνῃ καὶ χλιδῇ πρεπούσῃ ὑπὸ προπομποῖς τε πλεί-
στοις καὶ ὀπαδοῖς. ἐπεὶ δὲ τῇ θείᾳ ἢ μᾶλλον καὶ μάμμῃ προσήγ-
γιζεν (ἡ γὰρ πρὸς πατρὸς ἐκείνης μάμμη αὐτανεψία ταύτης ἦν,
εἴπερ αὕτη μὲν ἐκ τοῦ ἀδελφοῦ τοῦ βασιλέως καὶ τὴν ἀξίαν σε- B
βαστοκράτορος ἐγεγέννητο, ἡ δ' ἐκείνης μάμμη ἐκ θατέρου τῶν
ἀδελφῶν, ἣ δὴ καὶ τῷ πρωτοβεστιαρίῳ συνῴκει τῷ Ῥαοὺλ Ἀλε-
ξίῳ), ἐπεὶ γοῦν προσεγγιζούσῃ ἔδει τὴν γραῦν καθέδρας ὑπεξα-
νίστασθαι κατὰ τὸ προσῆκον τὰ δευτερεῖα πρὸς τὴν Αὐγοῦσταν
φερούσῃ, ἐκείνη τοῦτο μὲν γήρᾳ τοῦτο δὲ καὶ ὡς δῆθεν παιδί,
καὶ ἐκγόνης καταφρονήσασα, οὐδ' ἴκταρ ὑπεξανίστατο, παραι-
τησαμένη πρὸς ἐκείνην μόνον καὶ γῆρας προβαλλομένη καὶ τὴν
τοῦ γήρως ἀσθένειαν. ὑβριοπαπαθεῖ τε παρευθὺς ἐκείνη καὶ C
ἀκάθεκτος ἦν τὴν ὀργήν, εἰ βασιλέως οὖσα νύμφη καὶ ἀνδρὸς
ὑπὲρ δεσπότας σύζυγος οὐδὲν τῶν ἀξίων ἐπιτυγχάνει παρὰ προσ-
γενοῦς μὲν βασιλέως, ἀλλά γε καὶ ἰδιώτιδος νομιζομένης ἐκ τοῦ
τὸν ἐκείνης σύζυγον ζῶντα μηδενὸς ἐπιβῆναι ἀξιώματος. τρέπει
τε τὴν ὀργὴν εἰς λύπην, καὶ κλαυθμοῖς τε καὶ ὀδυρμοῖς ἀφω-
σιοῦτο τὴν δεινοπάθειαν. τοῦτο γεγονὸς τὸν ἐκείνης οὐκ ἔλαθε
σύζυγον. ὁ δὲ φιλότιμος ὢν καὶ αὐτός, ἔτι δὲ καὶ τοὺς λογι- D

15. ἰδιώτητος P.

geniti, comptu apparatuque deliciarum ac pompa caetera praestantem
eius decente dignitatem, multo anteambulonum, multo comitum nec minore
asseclarum ambitu. ubi vero ea prope ad materteram aut potius ad pro-
aviam accessit (nam huius avia paterna Strategopulinae neptis ex fratre
fuerat, quamquam haec quidem ex fratre imperatoris dignitate sebasto-
cratore erat genita, eius vero avia, quae fuit coniux protovestiarii Raülis
Alexii, ex ipsius altero germano) — quando igitur admoventi iam se pro-
xima fratriae imperatoris vetulam e sella oportebat assurgere, debito ei
honore quae secundum ab Augusta obtineret dignitatis locum, illa suae
auctoritate subnixa senectutis, et coram femina praeterquam tanto iuniori,
etiam quasi materno sibi iure obnoxia, quippe neptis suae filia, adeo se
demittere supervacaneum nec se dignum ducens, ne minimum quidem as-
surrexit, inverisimilem frigide allegans excusationem infirmitatis, quasi
eniti paulisper ad istam venerationis exhibitionem prae debilitate senii
nequiret. tulit impatientissime haud assueta contemptui mulier eam nega-
tionem deferri sibi solitae reverentiae, iraeque magno aestu commota est,
indignans se nurum imperatoris, viri uxorem despotas ipsos dignitate
praecellentis, nihil aequum impetrare a matrona cognata quidem impera-
toris, caeterum nihil supra privatam conditionem eminente, quod vir eius
dum viveret ad nullius fastigium dignitatis ascenderat. mox iracundia in
aegritudinem transeunte, querelis et planctibus dolorem suum declaravit.
non latuit id quod acciderat virum ipsius, qui praeter ambitionem pro-
priam lamentis etiam uxoris inflammatus in desiderium ultionis, modos se-

σμοὺς ἐπικλασθεὶς ἐκ τῶν θρήνων τῆς γυναικός, ἀντιλυπεῖν μὲν τὴν γραῦν παραμυθήσασθαι δὲ τὴν ἰδίαν ἐκ τῆς πρὸς ἐκείνην ὕβρεως ἐδικαίου. καὶ δὴ ἐκείνην μὲν οὐκ εἶχέ τι διαθέσθαι ἀνήκεστον, εὐγενῆ τε οὖσαν καὶ μάμμην λογιζομένην τῷ βασιλεῖ· εἶχε δ' οἰκεῖον ἐκείνη Κωνσταντῖνον Μαυροζώμην ὠνομασμένον, ᾧ δὴ καὶ συγχρῆσθαι κατὰ κοίτην κρυφίαν ἐλέγετο. καὶ τοῦτο E δὴ μᾶλλον ἦν τὸ δοκοῦν ἐκείνῳ σοφόν, ἐφ' ᾧ ἀτιμουμένου ἐκείνου ἡ κατ' ἐκείνης ὑποτρέχουσα βάξις ἐκ τῶν δυνατῶν θριαμβεύοιτο. πέμψας γοῦν αὐτίκα καὶ περισχὼν τὸν ἄνθρωπον μηδὲν τῶν πραχθέντων εἰδότα, γυμνοῖ τε πάμπαν ἀτίμως καὶ κατὰ πᾶσαν ἀγορὰν θριαμβεύειν τοῖς οἰκείοις προστάσσει· ἅμα δὴ καὶ πληγὰς δεινάς τε καὶ πλείστας ἐντείνουσι. τοῦτο γινόμενον καὶ ἀνενεχθὲν βασιλεῖ, πολὺς ἦν ἐκεῖνος τὴν τόλμαν ἐν δεινῷ ποιούP 105 μενος, καὶ ἀχθόμενος τὰ μεγάλα εἰ αὐτοῦ βασιλέως ἐνδημοῦντος μηδὲν μηδενὸς ἐκεῖνος ἐπιστραφεὶς ταῦτα πράττοι, καὶ ταῦτα παρὰ τοιαύτην αἰτίαν. ὅμως τοὺς θυμοὺς κατασχὼν προσέταττε τὴν ταχίστην, καὶ μόλις μὲν ἀλλ' ὅμως νικησάσης τῆς ἐξουσίας ἐλευθεροῦται ὁ τιμωρούμενος. ἐντεῦθεν καὶ μῆνις μετὰ χόλον ἐντετήκει τῷ βασιλεῖ, καὶ δεινὰ ἔστρεφε πῶς ἂν ταπεινοίη τὸν

cum exquisivit aegre faciendi vetulae ea ipsi reponendu contumelia, quae acri sui aenau Strategopulinam alte vulnerans vel compensaret vel consolaretur molestiam qua cum ipse tum coniux fuissent ex eius contemptu contristati., ac in ipsom quidem protinus exosum caput iram expromere non potuit, reveritus personam nobilitate sua tutam, et affinitate principis commendabilem tam arta ut aviae ipsam dignationa Augustus prosequeretur. verum cum esset huic minister domesticus oppido carus, Constantinus Maurozomas nomine, quo viro ud foeda obsequia secretarum libidinum anua ubuti ferebatur, percallide se facturum credidit, si amasio mulieris quam oderat insigni dedecore traducendo non solum ipsi cordolium ex malo dilecti grave incuteret, sed et clam iactatam popularibus susurris obscoenae cum boc famulo consuetudinis infamiam frequentandis de huius dehonestationa sermonibus eventilaret ac latius spurgeret, maximo suspectae flagitii tam pudendi principalis matronae ludibrio. confestim igitur immissis in Maurozomam nibil minus expectantem robustis e suo satellitio lictoribus corripi miserum ac spoliari iubet, totoque foro foede nudatum multis insuper ac gravibus plagis inflictis ignominiosissime traduci. vulgata momento rei fama perlatoque ad imperatorem quid familiares Porphyrogeniti iussu eius palam attentassent, enimvero motus ille non parum est, indignans vehementer nihil reveritum praesentiam imperatoris tantum esse ausum Porphyrogenitum. tamen compressa in praesens ira misit celeriter qui Maurozomam imperarent dimitti liberum; quod aegre quidem, tandem tamen praevalente auctoritate summa perfectum est. hinc iam post primam illam eruptionem excandescentiae constans offensae voluntatis aversio Augustum abalienavit a germano, versareque animo ausit consilia deprimendi eius quem supra modum videbat efferri: suum quippe in contumeliam redundare interpretabatur audax eius factum, et

ὑπὲρ τὰ μέτρα κατεπαιρόμενον, εἰς ἑαυτὸν ἀνάγων τὸ γεγονὸς καὶ τὴν τοῦ καταφρονεῖσθαι δόξαν ἐν δεινῷ ποιούμενος, καὶ ἀπὸ προσώπου ἐποίει τὸν ἀδελφόν, καὶ ἀπόντος κατημέλει, καὶ B προσιόντι ὀφθαλμοὺς ἱλαρότητος οὐκ ἐδίδου, καὶ συνιππαζόμενος τὴν ἐγγύτητα ἀφῃρεῖτο, καὶ ἣν ἐξ ἐγγίονος εἶχε τῆς ὁμιλίας πρότερον δόξαν προσεποιεῖτο παρακατέχειν. ἀξιωματικώτερον γὰρ κἀκεῖνος ταῖς ἀληθείαις τῶν πραγμάτων ἐφήπτετο, πολλοῖς μὲν τοῖς ὑφ' αὐτὸν θεραπεύουσι, πολλῷ δὲ τῷ συναγομένῳ πλούτῳ καὶ τῇ χλιδῇ ἐντρυφῶν. ὑπὲρ γὰρ ἑξήκοντα χρυσίου χιλιάδας αἱ οἰκονομίαι τούτῳ ἀπεκληροῦντο παρὰ πατρός, καί γε σκοπὸς ἦν, εἰ περιῆν, καὶ ἐς ἑκατὸν ἐπαύξειν. καὶ μεγάλοις C ἀνδράσιν ἄρχουσι τοῖς ἐκ τοῦ παλατίου εἰς θεραπείαν ἐκεῖνος ὑπέταττέ οἱ, καὶ διὰ τοῦτ' ἐκεῖνος πολλὰ μὲν προσόδων ἔχων ὀλίγα δ' ἐξαντλῶν, εἰ μή που εἰς τὰς κατ' εὐεργεσίαν φιλοτιμίας, ὃ καὶ αὐτὸ εἰς ὑποψίαν ἔκειτο μείζω, πολλοῖς ἐνετρύφα καὶ ὑπερηφανεύετο εἰς ὑποταγὴν τὴν ἐς βασιλέα πρέπουσαν. ταῦθ' ὁρῶν βασιλεύς, καί γε τῆς ἐξ ὑπογύου ἐκείνης συμβάσης

eo, quem auimi principum ex opiuione proprii contemptus sentiunt acerrimum, dolore penitus stimulatus in ulciscendi cupiditatem lucumbebat. primum igitur a conspectu fratrem amovit, diuque absentem se uegligere funditus ostendit, ac ex intarvallo rursus se offerentem baud laetis aspexit oculis. denique cum equitanti Augusto germsuo admovere se ille de more tentaret, sui viciniam ademit, procul eum ablegans. in quo uou parum homiuem pupugit, sic exclusum voti effectu, quo enixe affectaverat resumendo in comitatu fratris Augusti loco proximo sibi asserere existimationem, cuius in possessioue diu fuerat, familiaris cum eo cousuetudinis et grati ac liberi congressus, tenendis, quas uultas habebat, clieutelis utilem. nam re vera splendidius etiam quam pro secuudo a supremo imperii apice potestatis gradu, obuoxiorum addictorumque sibi variis nominibus hominum uumero affluebat, partim domestico sibi miuisterio famuiantium, partim statis exhibitionibus officii continuam devotionem testantium, quorum illos salariis, hos pensionibus ac largitionibus sibi alligabat, ad has et caeteri principalis cultus et luxus necessarias expensas affatim hauriens pecuniae ex uberrimis illi attributis a patre annuis censibus, summam aureorum sexagiuta millium expleutibus; quos etiam idem eius parens Michaël augere usque ad centum annua millia statuerat, uisi praematura mors destinata intervertisset. quia vero iussu eiusdem Augusti sui patris gratuitis is obsequiis etiam magnorum aulae miuistrorum utebatur, quorum in mercedes abunde auctorstorum palatiuis stipendiis sumptum non faceret, necessario eveniebat ut qui multum acciperet, parum expenderet, acervos opum domi constructos intueretur; e quibus si douativa clientibus largiretur, quod interdum faciebat, insimulabatur ambitionis, et quod superbe videretur venerationem uni summo debitam principi a sibi obnoxiis exigere, suspiciones imperanti movebat, tamquam haud contentus sua sorte maioribus inhiaret. his de fratre curis, quas recens eius facinus, audaciam indicans subesse dedignantem, inteudebat, inquiate

αἰτίας χάριν παρακεκνισμένος, διενυκτέρευέ τε μετὰ τοῦ πρωτο-
D βεστιαρίου ἐν νόσῳ πολυημέρῳ κειμένου· τῷ νεφρῷ γὰρ πολυω-
δύνοις πόνοις ἐβάλλετο, καὶ οὐδὲν ἦν τὸ εἰς θεραπείαν προσαγό-
μενον ὅπερ οὐ προσεζημίου τὸν πάσχοντα. καὶ διὰ τοῦτο μὴ
οἵῳ τ' ὄντι αὐτῷ τῷ κρατοῦντι τὰς προσόδους ποιεῖν, τούτῳ
προσιὼν βασιλεὺς ὁσημέραι περὶ τῶν κοινῶν συνεφρόντιζε. τότε
τοίνυν ἐκείνῳ συνὼν διεπονεῖτο τὴν τἀδελφοῦ καὶ ὑπὲρ τὰ ἐσκαμ-
μένα ὑπέραλσιν, καὶ ταπεινοῦν συμφέρον ἀμφοτέροις ἐδόκει.
E τὸ δ' ἦν τέως ἀποπροσποιήσεσι καὶ ἀποστροφαῖς καὶ τῷ μηδὲν
τῶν ἐκείνου φροντίζειν, κἂν παρῇ κἂν ἀπῇ· οὕτω γὰρ ὑπομα-
λάσσειν τὰ ἤθη καὶ πρὸς τὸ δουλικώτερον ὑποκλίνειν ᾤοντο.
ἐκεῖνος δὲ ταῦθ' ὁρῶν βασιλέως πράττοντος, συχναῖς τε προσό-
δοις μᾶλλον πρὸς βασιλέα ἢ πρότερον θεραπεύειν προσεποιεῖτο,
καὶ τῇ παιδεύσει καθυποκλίνεσθαι δοκεῖν ἤθελεν. ὅθεν καὶ πρὸς
P 106 τὸν πρωτοβεστιάριον πέμπων ἠξίου καὶ αὐτὸν προσλιπαρεῖν βα-
σιλέα μὴ χολᾶν, κἂν τι καὶ ἐκ συναρπαγῆς ἐπράχθη νικήσαντος
τοῦ θυμοῦ, συμπαθεῖν τε καὶ μὴ ὀργίζεσθαι. ἐν τούτοις οὖν
τοῦ καιροῦ τριβομένου, καὶ τοῦ πατριαρχεύοντος μοναχὸς Σάβας
ἐκεῖ παρῆν, καὶ τὰ συνήθη τῆς ἀτασθαλίας ἔργα διαπραττόμε-

agitatus imperator per noctes assidebat protovestiario longo tum forte renum dolore decumbenti; quo morbo sane difficili et remediis viso ipsis aegrescere cum ille prohiberetur Augustum adire consiliis eius tribuentem plurimum, ipse ultro ad eum quotidie ventitabat imperator, cum alia referens, quorum expeditio urgebat, negotia publica, tum quae maxime illum solicitum habebat, istam efferentem sese immodestiam germani et supra cancellos exilientem fastum. de hoc deliberantes facile in unam sententiam ambo convenerant, deprimendi hominis et eius tumorem contundendi repulsis, reiectionibus a congressu et aversione vultus in occursibus, neglectu prae se ferendo eius et ad eum attinentium, nec praesentem curando nec requirendo absentem, ac pari contemptu sive adesset sive abesset cunctam eius mentionem transmittendo. his uno tenore aliquandiu continuatis opinabantur posse mitigari ferociam iuvenis et ad patientiam subiectionis inflecti. sic agentem secum imperatorem quodam tempora Porphyrogenitus expertus, studuit eius iram placare crebris et humilioribus solito ad eum accessibus, egregiaque simulatione obsequii, quae poenitere ipsum declararet culpae ob quam gratia exciderat, et profundiori demissione emendare velle id quod isto erga se frigore castigaret imperator. ac quo ad scopum eundem impetrandae a fratre Augusto veniae certius perveniret, misit ad protovestiarium qui eum a se rogarent ne gravaretur imperatorem orare ut ira remissa sibi ignosceret, si quid subito abreptus indignationis impetu fecisset inconsulte, miseratus humanum imprudentiae lapsum, nec inexorabiliter in poenitentem errati saevire pergens. dum his utrimque actitandis tempus teritur, versabatur Nymphaei patriarchae monachus Sabas, et consuetis obsequens intemperiis haud cessabat multa multis gravia importune ac perperam agere, connivente ad quidvis Augusto, quod forte

νος οὐκ ἀνίει, βασιλέως ἐπὶ πᾶσιν ἐφιέντος, μὴ κρίνοντος ἴσως πρέπον μηδ᾽ ἄλλως εὔσχημον ἐμποδὼν ἵστασθαι τοῖς παρὰ τῶν τοῦ πατριάρχου πραττομένοις λόγοις εὐλαβείας, καὶ τοῦ μὴ δοκεῖν ἐμποδίζειν τοῖς εἰς διόρθωσιν τῶν πολλῶν νομιζομένοις. ἃ γὰρ B ὁ Σάβας ἔπραττε, θέλημα τοῦ πατριάρχου ὅλως ἡγεῖτο, ὡς αὐτὸς ὕστερον ἔφηνε πρός τινα τῶν ἀρχιερέων ἀπολογούμενος· ἐκείνου γὰρ τῷ βασιλεῖ λέγοντος ὡς εἰκὸς ἦν ἂν ἐμποδίζεσθαι παρ᾽ αὐτοῦ βασιλέως ὄντος τὸν πατριάρχην, εἴπερ ἐβούλετο, αὐτὸς ἀπελογεῖτο ὡς οὐκ ἄξιον πατριάρχην ὡς Τζυκανδύλην Νικήταν, καὶ αὐτὸ δὴ τοῦτο ὄνομα ὑποκοριζόμενος (ὁ δ᾽ ἦν ὁ τοῦ παλατίου ἐλάχιστος), παρὰ βασιλέως προστάσσεσθαι. ὡς γοῦν οὕτω ταῦτα καὶ ὁ μοναχὸς Σάβας συνήθης ὢν ἐκείνῳ πιστὸς ἐν C πολλοῖς κατεφαίνετο, ἀκούσας, ὡς ἔλεγε, παρ᾽ ἐκείνου βασιλεῖ προσήγγελεν, ὡς δῆθεν πρὸς αὐτὸν λέγοντος ἐν ἀπορρήτοις τοῦ πορφυρογεννήτου ὡς ἅμα μὲν βασιλεὺς ἐπιδημήσει τῇ Κωνσταντίνου, ἅμα δὲ τὸν πατριάρχην ἐκβαλὼν τὸν μοναχὸν Κοσμᾶν ἀντεισάξειε. τότε γοῦν καὶ μᾶλλον ὁ βασιλεὺς ἐξηγρίαινεν, εἴ γέ οἱ ἐκπολεμῴη ἐκεῖνος καὶ αὐτὸν πατριάρχην ψευδόμενος, τοὺς οἰκείους ἐκείνῳ ὑποποιούμενος, καὶ ὑποψίας οὐκ ἀγαθὰς συνέλε- D γεν. ὀλίγον τὸ μεταξύ, καί τινες τῶν ἐκείνου βασιλεῖ προσιόντες μεγάλ᾽ ἄττα καὶ εἰς ἀπιστίαν τὴν κατὰ βασιλέως φέροντα λέ-

nec aequum nec honestum indicaret obstare se iis quae a patriarchae ministris fierent, et religioni duceret impedire ne successum haberent res ad restitutionem disciplinae et correctionem multorum abusuum pertinere passim creditae. plane quippe persuasus erat imperator, quaecumque Sabas ageret, patriarchae voluntate fieri, prout declaravit ipse postea cuidam episcopo, excusans quod facere Sabam quae vellet sineret. ac cum reposuisset episcopus, utcumque ista iussu patriarchae gererentur, tamen debere ipsum utpote imperatorem non permittere patriarcham imprudenter ruere, etiam si vellet, ad ea Augustus unum illud in sui defensionem allegavit "atqui conveniens non est patriarcham pariter ac Tzycandelam Nicetam" (hoc ipsum enim nomen contemptim protulit hominis notae vilitatis atque adeo palatinorum omnium infimi) "imperatori subiici." cum ea igitur sic se haberent, et monachus Sabas crebro imperatorem alloquens multis ei ex vero nuntiatis opinionem sibi apud eum sincerae fidei parasset, detulit is ad Augustum eundem audisse se e Porphyrogenito, id sibi ut rem arcanam indicante, imperatorem, simul Constantinopolim pervenisset, eiecturum throno patriarcham et Cosmam monachum in eius locum promoturum. hoc vero audito magis exacerbatus imperator est, indignans armari adversum se irritarique a fratre patriarcham falsis indiciis confictarum rerum, ac insusurratione calumniarum istarum demereri eum sibi familiares eiusdem studere; in quo illum spectare invasionem imperii non inanis videretur esse suspicio. non multum ab hoc tempus effluxerat, cum aliqui e familiaribus Porphyrogeniti eiusdem Augustum adeuntes ei noctu nuntiarunt magna illum quaedam et ad rebellionem, ut apparebat,

γειν τε καὶ φρονεῖν ἐκεῖνον συνάμα πρωτοστράτορι Στρατηγοπούλῳ διανυκτερεύοντί οἱ προσήγγελον, καὶ γ' ἐλέγχειν σφᾶς ἑτοίμους ἑαυτοὺς παρεῖχον ἀναδεχομένου τοῦ βασιλέως. ταῦτ' ἐκεῖνοι μὲν ἔλεγον, ἐδόκουν δὲ πάντως ἐκ τῶν γινομένων καὶ τὰ τῆς κατηγορίας πιθανὰ τοῖς ἀκούουσι. διὰ ταῦτα δὴ πολλὴν
E *καὶ μεγίστην πρόνοιαν ὁ κρατῶν ποιούμενος τοῦ τε λαθεῖν ἐκεῖνον ἐφ' ᾧ προσκαλοῖτο τοῦ θ' ἁλῶναι, καὶ μή τι καὶ νεωτερισθείη παρ' ἐκείνου, ὡς ᾤετο, πέμψας ἄγει παρ' ἑαυτῷ τὰς δυνάμεις, καὶ τοῖς οἰκείοις πᾶσιν ὑπ' αὐγὰς ἕω ἐπήγγελε κατὰ τὸ παλάτιον συναθροίζεσθαι. καὶ τότε περὶ πλήθουσαν ἀγορὰν πέμψας προσκαλεῖται τὸν ταῖς κατηγορίαις ἐνεχόμενον, μηδὲν*
P 107 *ἀκριβῶς εἰδότα. ὃν καὶ διὰ ταχέων παραγενόμενον ὁ μὲν βασιλεὺς εὐθύς, μὴ οἷός τ' ὢν κατέχειν τὰς κατ' ἐκείνου ὀργάς, ἅμα μὲν ἐκεῖνον ἅμα δὲ καὶ τὸν Στρατηγόπουλον, μετ' οὐ πολὺ καὶ τοῦτον τοῖς αὐτοῖς ἐνέχεσθαι καταγνωσθέντα, ὀνειδισμοῖς τε καὶ προπηλακισμοῖς ἔβαλλε, καὶ "τί παθόντες, ὦ οὗτοι," παρούσης καὶ πάσης τῆς συγκλήτου ἐβόα, "καὶ κακῶν κάκιστοι, αὐτοὶ τοσαῦτ' ἔχοντες ἀγαθὰ παρ' ἐμοῦ, τὸ εἰς ἀναβολὰς ὀφθῆναι πρὸς τὸν εὐεργέτην κακοὶ οὐμενουν θέσθαι προεθυμήθητε, ἀλλ' ἐξ αὐτῆς ὁ μὲν δεσπότου καὶ αὐταδέλφου, ὁ δὲ πρότερον μὲν*

11. *προσκαλοῖτο* P.

spectantia loqui et machinari cum protostratore Strategopulo; ac si annueret imperator, paratos sese ad eos convincendos exhibebant. haec illi quidem dixerunt: magnam autem verisimilitudinis speciem ex caeteris quae palam geri cernebantur, eorum accusatio apud audientes obtinebat. propter ista cuncta decrevit imperator Porphyrogenitum comprebendere accitum ad se postridie. ad quod duo quaedam in primis curanda sibi putavit, prius sic haberi rem arcanam ut nulla ratione suspicari Porpbyrogenitus posset quare vocaretur, alterum habere ad manum eas copias, quibus ille, si forte repugnare prensantibus conaretur, resistere nequiret nec liber effugere. Iussis ergo convenire ad se praetorianis cohortibus, et edicto domesticis cunctis ut ad palatium praesto essent sub crepusculum aurorae, forum universum armatorum multitudine complevit. tunc misit qui sibi sisterent eum qui accusatus fuerat, nihil certo scientem de causa ob quam vocaretur. quo celeriter adducto, uti et paulo post Strategopulo, in ambos ut iam praedamnatos iram non continens stomachum erupit, opprobriis utrumque ac conviciis proscindens, his eos compellans verbis voce contenta, senatu adstante universo. "quae, malum, heus vos in transversum abripuit vecordia, malorum pessimi, ut tot a me bonis acceptis non satis habentes, quod ipsum erat vituperabile, tardi apparere in referenda largitori gratia, etiam affectaretis maleficia benefactis rependere, tam atrocia convicti fuisse machinati, hic quidem in dominum eundemque germanum fratrem, ille autem in eum cui primum debet quod ad-

αἰτίου τοῦ καὶ ἔτι βλέπειν τὸν ἥλιον, ὕστερον δὲ καὶ εὐεργέτου, B τοιαῦτα καταμεμελετηκότες ἐλέγχεσθε;" τοῖς δ' ἀρνουμένοις πάμπαν καὶ τοὺς ἐλέγχους ζητοῦσιν εὐθὺς οἱ κατειπόντες παρίσταντο, καὶ ὡς ἦν ἐκείνοις ἰσχὺς ἅμα καὶ εἰς σπουδὴν πρόθεσις, ἤλεγχον. αὐτίκα τοίνυν, οἷα φιλεῖ ἐπὶ τοιούτοις γίνεσθαι, θροῦς ἦν τῶν μὲν ἐκπληττομένων τῶν δὲ καὶ στυγούντων, ἄλλων δὲ καὶ πλέον τοῦ εἰκότος κατά τινα θεραπείαν παρακεκινημένων καὶ λέγειν καὶ πράττειν. τέλος τοὺς μὲν τὰς ἐκείνων οἰκίας πολυόλβους C οὔσας, καὶ μᾶλλον τὴν τοῦ πορφυρογεννήτου, καθέξοντας ἀποστέλλει, αὐτοὺς δὲ τὸν μὲν φυλακαῖς ἐδίδου, τὸν δ' ἀδελφὸν συγκλείσας ἑνὶ τῶν κατὰ τὰ παλάτια βασιλικῶν οἰκημάτων ἐν ἀσφαλεῖ καθείργνυσι. προνοίας δ' ἐκείνας καὶ ἀγέλας καὶ ἀποθήκας παντοίων εἰδῶν καὶ χρυσόν, τὸν μὲν ἐν νομίσμασι κεκομμένον τὸν δ' ἐν ἐκπώμασιν εἰργασμένον, καὶ ἄργυρον καὶ πέπλα παντοδαπὰ τῷ κοινῷ ταμιείῳ προσανετίθεντο, καὶ ἡ χλιδὴ ἐκείνη καὶ περιφάνεια μιᾶς ὥρας σκηνὴ καὶ παίγνιον ἦν. καὶ θαῦμα D ἦν τοῖς ὁρῶσιν ὄγκος τοσοῦτος τρυφῆς καὶ οἰκίας τοιαύτης φιλοτιμία, μηδ' αὐτῆς βασιλείου κατὰ πολὺ λειπομένης, πῶς ἐν ἀκαρεῖ εἰς τὸ μηδὲν κατήντησε, καὶ τὰ λαμπρὰ ἐκεῖνα καὶ τέως

huc solis lumen videat, deinde qui ei beneficium vitae servatae donis ultro adiectis cumulavit." ad hanc inopinatissimam invectivam cum ambo pro se quisque pernegarent se conscios, nedum convictos ullius in imperatorem meditati sceleris, et proferri, quae purgare refellendo se paratos aiebant, accusationis argumenta poscerent, statim adfuerunt qui eos detulerant, et pro sua quisque facultate ac studio convincere infitiantes sunt conati. dum haec geruntur, prout solet in talibus, murmur increbuit tumultuariis susurris, quos ab ista spectantibus partim verus affectus exprimebat favoris aut odii varie propensi in accusatores vel in reos, partim artificiosa simulatio et cura quaestuosa hos aut illos demerendi, pro ratione ambitae gratiae vel formidatae offensionis longe ultra sensum intimum in demonstrationes affectatas agendo dicendove prodiens. tandem imperator misit qui domos utriusque bonis refertas exhaurirent cunctis in fiscum redigendis, praesertim autem Porphyrogeniti. ipsorum autem alterum quidem publicis custodiis tradidit, fratrem vero suum uno e regiis palatii conclavibus inclusum securo praesidio servatum detinuit. pensiones autem eius illas et greges apothecasque omni genere pretiosarum opulentas specierum, aurum praeterea partim signatum in nummis partim factum in vasis ac poculis, similiter et argentum velaque ac vestis varii textus ac formae, ingentis pretii, cuncta in aerarium conferuntur. tantusque ille apparatus deliciarum, luxus illud regii choragium et speciosissimus conspectus, horae unius scena in ludibrium fuit, non parum admirantibus qui cernerent, tantam vim delicatae supellectilis ac voluptariae copiae unam in domum non regnantem, quae tamen in hoc regnatrici vix cederet, congeri potuisse, et tam exaggerato isti cumulo dissipando tollendo exportando tantulum spatium suffecisse. adeo nihil ita splendidum,

περίπυστα πνευσάσης δυσχεροῦς καὶ τελχινώδους αὔρας κατέσβεστο.

Καὶ ταῦτ᾽ ἐπράττετο Κρονίου μηνός, ὅτε καὶ πολλοῖς μὲν E τῶν τοῦ παλατίου οὐκ ὀλίγοις δὲ καὶ τῶν τῆς ἐκκλησίας ἀσυνθεσίας πρὸς βασιλέα ἔγκλημα δι᾽ ἐκεῖνον ὡς δῆθεν βασιλειῶντα ἐφῆπται. ἦν γὰρ ταῖς ἀληθείαις ὁ ἀνὴρ ἐς ἄκρον φιλοδωρότατος, καὶ πολλοὺς συνυπήγετο τοῖς φιλοφρονήμασιν, ὥστε καὶ ἀγαπᾶν εὐεργετουμένους, οὐ μὴν δὲ ὥστε καὶ συνειδέναι οἱ ἢ δὴ συμβούλεσθαι ἃ δὴ ἐκεῖνος εἰδὼς καὶ βουλόμενον, ὡς οἱ κατ᾽ ἐκείνου λέγοντες δεικνύειν εἶχον, ἐξηλέγχετο. τοῖς οὖν τοῦ παλατίου πολλοῖς τισὶν οὖσι τοῖς παρ᾽ ἐκείνου εὐεργετουμένοις συν- P 108 εγνωμόνει ὁ βασιλεύς, ὑπὲρ ἀξίαν μὲν τοῦ διδόντος, ἄξια δὲ τοῖς λαμβάνουσι τὰ διδόμενα κρίνων. ἐκεῖνον μὲν γὰρ ἀδελφὸν βασιλέως ὄντα τοσούτοις δωρεῖσθαι ὅσοις μηδὲ βασιλέα σχεδὸν εἰκὸς ἦν αἰτίας ἐποιεῖτο δῆθεν· τοὺς δέ γε λαμβάνοντας μεγιστᾶνας ὄντας, εἰ καὶ ὑπὲρ τὸ μέτρον ἐλάμβανον, ἀλλ᾽ οὖν δικαίους εἶναι τοιαῦτα καὶ τόσα λαμβάνειν ὑποκατακλινομένους B ἐκείνῳ ἐκ τῶν εἰκότων ἐδικαίου. τοῖς δὲ τῆς ἐκκλησίας μὴ ὅπως τοῖς ἐξ ἐκείνου εὐεργετηθεῖσιν ἀλλὰ καὶ ξύμπασιν αἰτίας ὁ Σάβας ἐπειλημμένος εὐσχήμονας, ὡς δῆθεν κατ᾽ ἐκείνων καὶ ὑπὲρ βα-

10. ἐξηλέγχοντο P.

ita illustre latequo inclitum fulget, quod pestilenti afflatu malignae aurae obscurari ac penitus extingui brevi tempore non queat.

Gesta sunt haec mense Martio, quando et palatinis multis ot non paucis ecclesiasticis crimen maiestatis impactum est, Porphyrogeniti causa, quasi ei benoficiis obstricti etiam ad affectationem imperii favissent. erat enim ro vora vir illo profusus in largiendum ut qui maximo, multosque sibi ea devinxerat beneficentia; non tamen ut convinci posset plus istos ei rependisse quam gratum ot mutuum amorem, minime autem factiosum studium velificandi spebus eius usque ad consciam conspirationem in ambitiosa vota principatus usurpandi; qualia mente vorsasse illum nondum demonstraverant qui detulerant. in communi porro suspicione sacris hominibus et laicis diversa utrorumquo sors fuit. nam illis quidem, quos dixi, palatinis plurimis munifice a Porphyrogenito donatis ignoscendum indicavit imperator, aiens plus quidem illum fuisse largitum quam gradus eius ferret, eos tamen quibus dedisset, cum megistanes essent nobilitate ac merito praestantes, dignos fuisse qui tantum acciperent; neque illam nimiam videri debere mercedem obsequii quo se homini non imperanti proceres tam illustres inclinare sustinuerant. in ecclesiasticos, non eos solum quos donis cultos a Porphyrogenito constabat, sed universim et indiscriminatim omnes, dira monachi Sabae grassatio incurrit, aptam scilicet arripientis opportunitatem commissum sibi negotium agendi, hoc ost exercendae plausibiliter in illum pridem exosum sibi ordinem inexplebilis immanitatis suae, specioso nunc praetextu zeli laudabilis pro imperatoris sa-

σιλέως ζηλῶν, καὶ πρὸ τοῦ τοῖς πᾶσι κακοποιός, ἀνέδην τε δύσνους ὠνόμαζε (20) καὶ διιὼν ταῖς οἰκονομίαις ἐκείνων ἐπέχρα, P 109 παρακατέχων καὶ ἀπαιτῶν τὰς προσόδους ὡς ἂν ἐκείνων καθωσιωμένων. ἅπερ τοῖς κληρικοῖς μανθάνουσι πόνος ἦν, οὐ μὴν δὲ ὥστε καὶ ἀποφυγεῖν τὴν κατηγορίαν δύνασθαι. ὃ δὴ καὶ πλέον τούτους τοῦ στέρεσθαι τῶν οἰκείων ὠδύνα, καὶ οὐκ εἶχον τὴν κατηγορίαν διαθέσθαι καὶ ἐν μετρίοις ποιήσασθαι. ὃ δὴ καὶ μεγάλως τοὺς τοιούτους ἐκύμηνε, καὶ οὐκ εἶχον ὅ τι καὶ πράξειαν, καὶ ὡς ἂν γε τῇ λύπῃ καθοσιώσαντες ἑαυτοὺς ἐν ἀπόρῳ ἦσαν. τέλος ἀποφυγὴν μίαν ἔγνωσαν τῆς κακίας τὴν πρὸς τὸν B πατριάρχην καταφυγήν, ὡς αὐτίκα τῷ μαθεῖν ἐν δεινῷ ποιησομένου κἀκείνου τὴν κατὰ τῆς ἐκκλησίας διαβολήν. ἐλθόντος τοιγαροῦν καὶ τοῦ Σάβα συνελθόντες ἐνεκάλουν τὸ πάθος, καὶ ὡς οὐκ ἀνεκτὴν ἐτραγῴδουν τὴν συμφοράν, καὶ "τί παθών, ὦ οὗτος," ἔλεγον παρόντος κἀκείνου, "τοιούτοις τοὺς τοῦ κλήρου περιβάλλεις δεινοῖς; δέον τὸν μὲν ἐπ' αἰτίαν κείμενον κρίνεσθαι, τοὺς δὲ λοιποὺς ἀθώους τοῦ ἄγους μένειν." τοῦ δὲ μηδὲν ἀπο- C

6. πλέον τοῦ τούτους στέρεσθαι τοὺς οἰκείων P. 14. ἐνεκτὴν P.

lute ac statu. eos igitur pariter cunctos uno crimiue iuvoivit, infidos et clam iufensos Augusto nomiuaus. (20) ergo siugillatim obiens irruebat in oeconomias illorum, partim sequestrans et detinens nondum solutos proventus, partim iam perceptos repeteus, quod eos diceret iure illis fruendi excidisse perduellionis crimine conscito, cuius ipsos pro plane couvictis et rite damnatis haberet. haec videntes et patieutes clerici intime scilicet ringebautur, non tam ipsa accusationis invidia conturbati, quamquam erat beue consciis et viam eius purgaudae nullam habentibus molestissima, quam quod eius effectus iam ante damnationem tristissimos sentirent, privati iam nunc bonis propriis; quae praesens experientia intolerabilium damnorum, dolore ipsos pungens acerbissimo, impediebat ne contempta falsae calumniae vanitate cousolationem eam caperent, quam in mali perpessione mediocris sua prudentibus virtus suggerit. quare fluctibus moeroris iactati maximis, nec quo se verterent reperientes, postquam aliquamdiu in illa aerumna incerti animi, quasi desperato remedio sese discruciantes, tacite gemuerant, taudem confugere ad patriarcham decreverunt, rati eum illorum quae gererentur ignarum, simul cognovisset intentatam ecclesiae calumniam, improbaturum et aegre se ferre declaraturum. captato igitur tempore quo Sabas ad patriarcham venerat, simul et ipsi accedentes questi graviter sunt de malis quae paterentur, et iuvidiose exaggerata communis calamitatis atrocitate, ad eius praesentem auctorem conversi Sabam "quae te, malum," inquiuut praeseute patriarcha, "in nos incitant intemperiae? quam ob causam clericos indiscriminatim universos, sine ulla innoceutis aut uoxii differentia, poenis subilcis, cum palam aequitas postulet, si quis nostri ordiuis culpae affinis aut iure suspectus est, de hoc iudicium institui, alios quos uullum crimiuis urget indicium, quietos in fruitione suae famae integrae relinqui?" ad ea Sabas multa

λογουμένου τῶν ἐς λόγον κειμένων, ἀλλὰ κύκλῳ περιβαλλομένου
αἰτίας μηδὲν προσηκούσας μηδ' ὁπωσοῦν, τέλος ἠξίουν πατριάρ-
χην ἀμύνειν ἀδικουμένοις τὰ ἔσχατα. ὁ δέ, οὐκ οἶδ' ὅπως, ψυ-
χρὸς ἐπὶ τούτοις κατεφαίνετο καὶ ἀκίνητος. ὡς δὲ πολλάκις οἱ
τοῦ κλήρου ἐπέκειντο καὶ προσελιπάρουν, ὁ δ' ἄφωνος ἦν καὶ
τῷ μή τι λέξειν ἔχοντι ἀκριβῶς ἐῴκει. τέλος ἐκκλίνων τὴν ἐκ
τῶν πολλῶν βίαν ἀπέπεμπε κατειρωνευσάμενος τὴν τιμωρίαν τῷ
D κατειπόντι, τὴν τοῦ Πιλάτου πρὸς Ἰουδαίους φωνὴν ἐπειπὼν
παραδιδόντος εἰς σταύρωσιν τὸν δεσπότην, "λάβετε αὐτὸν ὑμεῖς
καὶ σταυρώσατε." τοῦτο ἐπῆλθε μὲν ἐκείνῳ ἐκ τοῦ τυχόντος
εἰπεῖν ἀγνώστῳ πολλοῖς διαθέσει ψυχῆς, τοῖς δὲ καὶ λίαν δόξαν
βαρὺ παρώξυνε τὰς ὁρμάς, καὶ προσλυποῦντες καὶ οὗτοι ἐσχί-
ζοντο, ὥστε μήτε συνέρχεσθαί οἱ μήτε μὴν συνεύχεσθαι, βασι-
λεῖ προσανατιθέντας τὴν περὶ τούτων ἐκδίκησιν. βασιλεὺς δὲ
τῆς νόσου κατεπειγούσης τὸν πρωτοβεστιάριον, ὡς μηδ' ἀναπνεῖν
ἐώσης τοῖς πόνοις, σκέψει καὶ βουλῇ τούτου τὸν Χοῦμνον κοιαί-
P 110 στορα Νικηφόρον εἰς μυστικὸν ἀνάξας ἐπὶ τοῦ μέσου καθίστησι,
προσνείμας αὐτῷ κοινωνὸν (οὔπω γὰρ ἐκείνῳ καὶ μόνῳ ἐθάρρει)
καὶ τὸν ἐπὶ τῶν δεήσεων Γλυκὺν Ἰωάννην. καὶ δὴ τοῦ αὐτοῦ

4. καὶ deerat.

parum ad rem facientia, nihil admodum quod clare ipsum absolveret aut tam vehementium actorum acerbitatem excusaret, reposuit. unde a patriarcha magnopere clerici contenderunt ut satis iam compertam hominis improbitatem grassari ne sineret in diram oppressionem innocentium, sed tempestiva eam castigatione coërceret. tales ille preces audiens frigidus nescio quare immotusque perstabat; ac cum illi ardentius urgerent, perseverabat tamen in silentio, haud in expedito, ut apparebat, habens quid diceret. tandem, velut vi cuidam multorum simul incumbentium impar eluctandae, paulisper inflexus verbis Pilati ad Iudaeos Christi necem deposcentes vindictam ipsis calumniatoris ipsorum Sabae ironice permittere visus est, "accipite ipsum vos" inquiens "et crucifigite." hanc eius vocem, incertum quo ex sensu profectam animi, audiri tunc contigit. qua graviter offensi aut potius incredibiliter efferati, quos sic eluserat, absciderunt se ab eo, congressuque ipsius in posterum atque omni precum ac sacrorum cum illo communione segregarunt, dolorem testantes suum querelis gravibus et ultionem tam insignis iniquitatis ab imperatore prae se ferentes expectare. at Augustus totus, ut dictum est, e protovestiarii consiliis pendens, prohibitus libero aditu familiaris oraculi, cruciatibus renum acerrimis ne ad momentum quidem respirare iam illum sinentibus, aegri commendatione ipsius quaestorem Nicephorum Chumnum ad dignitatem mystici promotum in partem arcanae fiduciae adscivit, deliberationibus hunc quoque quotidianis consultorem admovens. ac cum nondum speraret sufficere moli rerum unum illum posse, Ioannem praeterea cognomento Glycyn petitionibus supplicum referendis praepositum huic ad-

ἔτους, ἐπιφερόμενος καὶ τοὺς κατακρίτους, τὸν μὲν ἀδελφὸν ἐν κλοβῷ (εἱρκτῇ φορητῇ τις εἴπῃ) τὸν δὲ Στρατηγόπουλον δέσμιον, ἐξελθὼν Νυμφαίου εἰκοστῇ ὀγδόῃ Μαιμακτηριῶνος τὴν μεγαλόπολιν εἴσεισιν. ἦν οὖν τοὐντεῦθεν κωφή τις ὀργὴ παρὰ βασιλέως B τοῖς τῆς ἐκκλησίας, καὶ τὸ μὲν ἐπαγόμενον ἔγκλημα δύσνοια, αἱ δὲ πρὸς τοῦτο κατασκευαὶ αἱ ἀπὸ τοῦ πατριάρχου σφῶν ἦσαν ὑποστολαί, ὡς κακῶς δῆθεν τὴν τῆς δυσνοίας αἰτίαν, ἣν καὶ παρὰ τοῦ Σάβα κατηγόρηντο, δυσχεραινόντων. ὥστε καὶ μιᾷ συναγαγὼν ἐκείνους ἔκ τινων ὑποπτευομένων τὴν κατὰ πάντων συνίστα δύσνοιαν, περιποιούμενος δῆθεν ἐντεῦθεν τὸν τοῦ πατριάρχου θεράποντα. θάλασσαν γὰρ συνόλην καὶ ἀπορροὴν C ἐκείνης παρεδειγμάτιζεν, ὡς φύσιν ἔχοντος τοῦ παντὸς ἐκ τοῦ γεύματος οἷον ἐστὶν ἐκείνῳ γινώσκεσθαι. εἶναι δὲ καὶ τούτους οὐ πάντας, ἀλλ' ἔκ τινῶν ἴσως ὑποπτευομένων τοὺς πάντας ὑπάγεσθαι ταῖς αἰτίαις. ἦσαν δὲ ταῦτα δεσποτικὰ μᾶλλον ἢ ἀληθῆ, θέλοντος θεραπεύειν τὸν πατριάρχην.

21. Κἂν ἐπὶ πλέον τῆς ἀπὸ βασιλέως διὰ ταῦτα ἐπειρῶντο D ἀγανακτήσεως, εἰ μὴ καὶ ἕτερ' ἄττα πραχθέντα βασιλέα P 111

lutorem tribuit. quibus provisis, hoc ipso anno, ducens secum condemnatos, fratrem quidem in lectica clatbrata (carcerem portatilem dixeris), Strategopulum autem vinctum, duo de tricesima Iunii die Constantinopolim ingreditur. Ibi eum coquere animo apparuit surdum quendam in ecclesiasticos rancorem, erumpentibus subinde irae ultricis indiciis dissimulationes eluctantem. causa odii obtendebatur studium in iis rerum novarum et cogitatae defectionis crimen; cuius in argumentum rapiebatur eorum a patriarcha secessio. hanc enim interpretabatur ortam ex indignatione deprehensi delatique per Sabam indicii occultarum quas ipsi machinarentur in se molitionum. itaque illis quadam die convocatis locutus est in sententiam apprime congruentem sensibus Sabae et isti patriarchae ministro gratificantem: palam enim ostendit signa quaedam minus constantis in se fidei, in quibusdam ipsorum observata sese in omnes extendere, atque universum pariter ordinem reum peragere aversae a se voluntatis defectionisque cogitatae. dixit videlicet, aquae rivulo e mari ductae dum gustu salsugo deprehenditur, certo argumento colligi cuius demum saporis sit mare ipsum totum, quod natura ferat eandem in stilla deprehendi sensu qualitatem, quae universum ex quo illa est libata liquorem inficiat. quare licet aeque de singulis ipsorum non extarent argumenta propria quemque insimulandi, recte tamen ei cunctos suspicioni subiacere quae in quibusdam residere cerneretur. talis quaedam audita tunc est imperatoria oratio, domini sane potius supercilium infensi quam aequi iudicis, veritatem delationum exquirentis, sedatum arbitrium praeferens. sed tanti erat demereri patriarcham comprobandis eius ministri actis, quorum se ipse auctorem non obscure ferret.

21. Et processurum fuerat haud dubie in diuturniorem gravioremque clericorum vexationem hoc ita declaratum imperatoris in eos odium,

μὲν ἐθορύβει, ἀρχιερέας δ' ἐκίνει ζητεῖν αἰτίας καθ' ἃς ταῦτα πράττεται ξένα τῶν τῆς ἐκκλησίας νόμων δοκοῦντα· μήτε γὰρ ἰατρὸν χρῆναι τιμωρεῖν ἀλλ' ἰατρεύειν τὸν πάσχοντα, μήτ' ἀρχιερέα κολάζειν ἀλλὰ θεραπεύειν τὸν ἁμαρτάνοντα. διὰ τοῦτο καὶ συναχθέντες κοινῇ σκέπτονται, καὶ διαμηνύειν ἐκείνῳ καί γε διαπυνθάνεσθαι (ἥψαντο γὰρ τὰ δεινὰ καὶ ἀρχιερέων) ἐγνώκεσαν. τὸ δὲ μήνυμα, καθημένων ἐν τῷ ἐκκλησιαρχείῳ, ἐφ' ᾧ
B σφίσιν ἐφείη συνελθεῖν ἐκείνῳ ἐρωτῆσαί τε καὶ μαθεῖν πῶς ταῦτα πράττοιντο· μηδὲ γὰρ ἐκκλησιαστικὰ εἶναι ἀλλὰ τυραννικὰ τὰ πραττόμενα. ταῦτα λέγοντες προσετίθουν καὶ τὰ πραχθέντα, ὅσα τε ἔξω ὅσα τε ἐντὸς ἐπράττοντο. τὸν δ' ἀκούσαντα τὸ παράπαν μηδὲ φροντίσαι, ἀλλὰ σκήψεις τοῦτ' εἶναι φάναι ἀποστασίας τῆς ἀφ' αὐτοῦ, καὶ διὰ τὰ μηδὲ δίκαιον ἐγνωκέναι πρὸς τούτους ἀπολογεῖσθαι. ὡς δὲ καὶ αὖθις πειρῶντες οὐκ ἔπειθον,
C διιστᾶν ἑαυτοὺς ἐκείνου ἐδικαίουν καὶ οὗτοι· τὸ γὰρ τοιούτων πραττομένων συγκοινωνεῖν μὴ ἔχειν λόγον ἀπολογίας τοῖς μεμφο-

nisi alia quaedam a Saba ruere qua coeperat pergeute temere attentata, quae licet praesertim in clericos intendebantur, tamen redundabant etiam in episcopos, hos movissent ad cognoscendum de negotio; unde contigit imperatorem quoque turbari ac titubare in proposito quod ostenderat, qualiacumque patriarchae ac eius ministrorum acta tota imperii auctoritate defendendi. moti ergo episcopi, quod iam usque ad ipsos, ut est dictum, Sabae grassationes pertingere coeperant, consilio inter se babito decreverunt convenire patriarcham, repetereque ab eo rationem eorum quae nova et ab usu legibusque ecclesiae abhorrere visa gererentur. ut enim medici non esse poenas infligere langueutibus, sed medicinam adhibere opportunam morbis illorum abigendis, ita nec officium antistitis in plectendo atque ulciscendo situm, verum in curandis et ad frugem emendationis revocandis qui peccarunt. his sic in conventu stabilitis patriarchae indicant cupere antistites simul congregatos ipsum alloqui. assignatus ad hoc locus est in aedibus magni ecclesiarchae, quo cum venisset patriarcha, considentes episcopi ex eo se velle audire dixerunt quas ob causas ea quae Sabas attentabat fierent: non enim esse illa ecclesiastica, sed tyrannica acta. bis dictis adiunxerunt expositionem vexationum quibus Sabas ferret ageretque miseros clericos, et in ecclesiasticum ordinem universum clam palam, intus et extra immaniter acerbeque grassaretur. ea ille audita sic prorsus tamquam nihil ad se pertinerent negligere funditus visus est, addens et conquerens talia ab illis memorari praetextus secessionis a se faciendae quaerentibus. quare supervacaneum se arbitrari curam ullam sumere oblectionum istiusmodi diluendarum. his episcopi multa reposuerunt quibus ei persuadere conarentur aequa et consentanea se poscere: sed cum nihil profici animadverterent ipso inflexibiliter in duritie perstante, clare ipsi denuntiarunt cogi se officio ad se ipsos a tam iuconvenientium actorum omni participatione removendos. neque enim se posse iustae censuram reprehensionis ulla excusatione fugere, si perseverando in communione cum iis qui sic inordinate ac temere operarentur, tam improbabilibus factis approbationis suae apponere calcu-

μένοις δικαίως. ἔπειθον δὲ καὶ οἱ περί τε τὸν Γεννάδιον καὶ τὸν Συλαιώτην βασιλέα μὴ ἐᾶν ἀνεξέταστα ταῦτα, ἀλλ' ἐπαρήγειν ἀρχιερεῦσι καλῶς λέγουσιν. αὐτοὺς γὰρ εἶναι πάντως τοὺς τὸν εἰς τὴν πατριαρχείαν ἀναγόμενον χρησταῖς μαρτυρίαις συστήσαντας, αὐτοὺς δὲ καὶ πάλιν διαγινώσκειν ὡς ἐπιχωλαίνοι ὁ μαρτυρηθεὶς οὐ φαῦλος ἐπ' ἄλλοις τὴν ποίμανσιν· μηδὲ γὰρ πάντα D πᾶσι διδόναι θεόν. ταῦτ' εἶναι θεοῦ, ὡς πάντας εἰδέναι. καί γε πολλάκις τὸν κατὰ τὸ ἠθικὸν οὐκ ἀπόβλητον κατὰ τὸ οἰκονομικὸν ὑποσκάζειν, καὶ αὖθις ἀριστεύοντα ἐπὶ τούτῳ μὴ φθάνειν τὴν ἐπὶ τῷ πολιτικῷ ἀρετήν. ἀναστέλλεσθαι δὲ τὴν κακίαν καλὸν καὶ προσῆκον εἶναι, πλὴν ἐντὸς μέτρων καὶ νόμων Χριστοῦ. νόμον δὲ Χριστοῦ πάντως εἶναι τὸ ἱερὸν εὐαγγέλιον. ἐκεῖ δὲ ζητούντων τῶν μαθητῶν ἐξ οὐρανοῦ καταγαγόντας πῦρ ἀφανίσαι τοὺς ἀπειθοῦντας, εἰπεῖν τὸν δεσπότην ὡς οὐκ οἴδατε ποίου πνεύ- E ματος ἐστέ. τὸ γὰρ καλέσαν ἐκείνους πνεῦμα, κἂν μήπω οἴδασι, πλῆρες ἀγαθωσύνης καὶ φιλανθρωπίας καὶ συγκαταβάσεως πρὸς τοὺς ἁμαρτάνοντας, ἀλλ' οὐ τιμωρίας καὶ ἀγανακτήσεως καὶ κολάσεως. ταῦτ' ἐκείνων λεγόντων καὶ ἀμφικλινῆ τὸν βασιλέα ποιούντων, καιροῦ δραξάμενοι οἱ κακῶς ἔκ τινων αἰτιῶν ἔχοντες

lum viderentur. sub haec Gennadius et Sylaeota imperatorem privatim conventum graviter monuerunt, non debere ipsum sinere res tam suspectae novitatis indiscussas socordi tolerantia transmitti. quin eius esse officii succurrere praesulibus, nihil aequi a patriarcha, quamvis iusta et recta postulent, impetrantibus. nec enim in illos cadere exceptionem idoneam suspicionis, quasi patriarchae parum faveant; quem utique ipsi promoverunt, suis eum suffragiis et honorificis testimoniis ad summae quam obtineret dignitatis adeptionem commendantes. caeterum eadem fide qua tum quae in eo laudarent praedicarunt, modo commemorare quae in eo postmodum desiderari deprehensum sit. prodi enim cursu temporis latentia prius hominum vitia, et occasione negotiorum naturas perspici. sic eos intellexisse hunc, qui dotibus ad ecclesiae gubernationem alioqui aptis instructus sit, in quibusdam eius multiplicis officii claudicare partibus. nimirum non omnibus omnia deum dare. cunctis quippe notum esse dona esse dei dotes eiusmodi. itaque saepius animadverti eum, cuius mores non improbentur, haud aeque inoffense procedere in gubernatione domus propriae: rursus egregie fungentem suae regimine familiae, civilibus deinde curationibus admotum minime parem administrandi magistratus industriam probare. improbitatem coërceri honestum sane ac conveniens esse, verum id fieri debere intra limites legum Christi. leges autem Christi omnino esse sacrum evangelium. illic autem legi discipulos aliquando ignem e coelo devocantes, qui sibi non morigeros consumeret, a domino audisse nescire ipsos cuius spiritus essent. nam qui vocarat ipsos spiritus, licet hoc adhuc ignorarent, plenus benignitatis humanitatis accommodationis ad lapsos in culpam spiritus est, non autem ultionis indignationis severitatis inexorabilis. tali oratione cum hi duo ambiguum fecissent imperatoris animum, captato tempore qui aliis etiam de causis exo-

ἐκείνῳ ἐθορύβουν καὶ γράφοντες κατηγορίας ἀτόπους ἐδίδουν,
P 112 καὶ ἀνέδην λοιδορίαις μονωθέντα τῶν πολλῶν περιέβαλλον, ὥστε
καὶ μιᾷ ἱσταμένου ἄνω που, καὶ τῶν ὕμνων ἐξανυσθέντων ἐπευλογοῦντος κατὰ τὸ σύνηθες, τινὰς ἐκείνου κάτωθεν ἱσταμένους κράζειν καὶ ἀπόφημα κατ' ἐκείνου λέγειν, ὡς ἂν πλέον τοῦ εἰκότος διὰ τὸ μῖσος καταυθαδιζομένους.
B 22. Ἐπεὶ γοῦν Ἀθανάσιος ἔγνω μονωθεὶς καὶ τὰς αἰτίας ἐξ αὐτοῦ τε καὶ τῶν περὶ αὐτὸν ὡρμημένας, τὰς δὲ λοιδορίας ἀπὸ πολλῶν συμβαινούσας, ὡς καὶ κρίσιν θέλειν ἄγειν, καὶ οὐκ ἀνυστά οἱ γένοιτο εἰ βούλοιτο τὴν τιμὴν κατέχειν (μηδὲ γὰρ ἐντεῦθεν εἶναι τὸν εἰρηνεύσοντα ἢ καὶ προσέξοντα), καθυφίει καὶ
C ἄκων τῆς προστασίας. οὐκ ὀλίγοι γὰρ καὶ τῶν χθὲς καὶ πρὸ τρίτης τῶν ἰδίων παρὰ τῶν ἐκείνου στερηθέντων ὁμοῦ συμφρήσαντες διεφόρουν ἄρδην τὰ ἴδια. οἱ δὲ καὶ τοῖς σιτῶσιν ἐπεχείρουν καὶ κατεγέλων καὶ ἐπετώθαζον ἀνέδην τε κατηριῶντο καὶ ἀπεφήμιζον. ἄλλοι δὲ καὶ λίθους ἔβαλον φανέντος ἐκείνου. τόσον

9. καὶ] καὶ εἰς? 15. ἐπεφήμιζον P.

sum habebant patriarcham, turbare liberius coeperunt, datis accusationum errores ipsi absurdissimos imputantium libellis, tum eundem locis a concursu seductis occurrentem probris palam conviciisque proscindentes. eoque res processit, ut ipso quadam die e loco sublimi perfectis hymnis populo de more beneprecante succlamantes aliqui maledictis eum lacerarent foedissimis, odio, postquam ultra modum exarserat, in iusto audaciorem impudentiam prorumpente.

22. Postquam ergo se Athanasius destitutum a plerisque intellexit, aversionis causas ex se suisque ortas, odia vero infensorum sibi plurimorum usque ad contumelias et convicia prorumpere, remque ad iudicium spectare, quo haud dubie coorientes undique accusationes vocent, satis patere, si vel summo conatu connitatur retinere patriarchatum, in tali offensione animorum ac rerum perturbatione frustra fore: nam orto certamine omnes in unum dimicaturos, ne attendente quidem ullo aut saltem audire sustinente, nedum in pristinae communione pacis perseveraturo quoquam. his persuasus rationibus diu reluctatum appulit tandem animum ad cogitationem abdicandae, quam tenere nequiret etsi maxime cuperet, sacrae praefecturae. nempe iam non pauci eorum quos nuper ac paulo ante ministrorum ipsius violentae grassationes pensionibus et sacerdotiorum fructibus multaverant, palam ablata repetebant, ac facta manu paribus iniuriis irascentium, vim apertam intentantes, auferebant quae sua dicerent. quidam etiam praedia frumentariosque agros quorum fuerant possessione pulsi, concursu et factione invadebant, inter haec irridentes, dicteriis traducentes, maledictis quoque incessentes, diris denique nullo metu aut respectu devoventes patriarcham et suos. in tantam licentiam excesserat populare odium, lassata diuturnis iniuriis plerorumque patientia, in furorem conspiratione multitudinis ineluctabiliter saevientem exardescens, impunitate necessaria, securitate summa. itaque Athanasius sentiens haud procul abfore quin corriperetur sistendus tribunali (nam

τὸ μῖσος. καὶ κατεστύγουν οἱ πλείους. αὐτὸς δὲ γνοὺς ἐντεῦ- D
θεν καὶ εἰς κρίσιν ἀπαξόμενος, ὡς τοῖς δοκοῦσι μᾶλλον ἐδόκει,
βασιλεῖ διαμηνύεται ἀποσταλῆναι μὲν τοὺς τὸ πατριαρχεῖον ἀνα-
δεξομένους, ἀποσταλῆναι δὲ καὶ τοὺς διακομίσοντας κατὰ τὴν
ὁδόν, ὡς μὴ κινδυνεύοι. ἐν τοσούτῳ δὲ σχεδιάσας βιβλία δύο,
τὸ μὲν ἓν τῆς αὐτοῦ παραιτήσεως, θάτερον δὲ πόλλ' ἄττα πε-
ριέχον καὶ ἰδίας κατὰ τὸν βίον συστάσεως χάριν καὶ καταρῶν τῶν P 113
ὡς δῆθεν κατ' αὐτοῦ ἀποφημισάντων, ὃ μίμησιν ἀναδεξάμενος
τοῦ Χριστοῦ, τὸν μὲν ἐν ἀφανεῖ κρύπτει ἐν κορυφῇ κίονός τινος
τῶν κατὰ τὰ ἀριστερὰ εἰσιοῦσι κατηχουμενεῖα τοῦ μεγάλου νεὼ
ἱσταμένων, ὑπ' ὀπὴν περιστερεῶνος, δίκην φωρός, ὡς μήτις
εἰδείη προμηθευσάμενος, κλίμακά τ' αὐτὸς προσερείσας καὶ ἐπι-
θεὶς πλὴν οὐ γυμνὸν τὸν χάρτην, ἀλλὰ δυσὶν ἐκπώμασιν ἐμβα-
λών, ὑπογραφῇ ἰδιοχείρῳ καὶ βούλλῃ μολιβδίνῃ τὰ γράμματα B
ἐξασφαλισάμενος, τετρήνας καὶ σπαρτίῳ περισφίγξας, ὡς μή
τινι ἐπιβουλευθείη τῶν λυμαντήρων ἐς μακρὰν ἐκεῖ κείμενος.
θάτερον δὲ τὸν τῆς παραιτήσεως πέμπει πρὸς βασιλέα, ἀξιῶν
τὴν ταχίστην τούς γε τὴν ὁδὸν ἀσφαλῆ οἱ θήσοντας ἀποστεῖ-
λαι. εἶχον δ' ἐπὶ λέξεως ὁ μὲν ἐν τοῖς ἐκπώμασι χάρτης τάδε.
(23) "δύο τινὰ ἐφάνη πρὸς καταβολὴν τῆς ἐκκλησίας, εἰς ὠφέ- C

15. καὶ deerat.

causam eius ecclesisstico iudicio disceptari non ignorabat primores cupere) occupavit significare imperatori se ab ipso petere ut mitteret quibus patriarchales aedes, iis abscessurus, consignaret, quique illum quo recessurus esset itinere tutum ab incursn infesti populi praestarent. interim ipse duos libellos deproperavit, quorum uno dignitatem abdicare videbatur: alter multa complectens partim vitam eius anteactam iactabunde commendabat, partim in obtrectatores iram expromebat minis et diris, sane impotentius quam professum imitatorem Christi mansuetudinis deceret. et hunc quidem e duobus libellum ipse furtim abscondit loco abstrusissimo, intra foramen eorum simile in quibus columbae nidificare amant, sito supra verticem columnae cuiuspiam in catechumeneis, ad laevam introeuntium, stantis. notabilis porro est quam in hoc adhibuit solicitudo. primum chartam non simplicem et authenticis destitutam reliquit signis, sed manu rite propria subscriptam bulla insuper plumbea munivit: tum vasis duobus testeis inclusit invicem obversis, quorum labra pertusa funiculis insertis apte commisit, ut eam undique ab iniuria omni protegeret. sic conditam, scala ipse muro applicita conscensaque, manu propria deposuit in memorato prius loco, velut illic custodiendam in seram memoriam posteritatis. alium abdicatorium patriarchatus libellum misit ad imperatorem, orans ut quam primum ad se destinaret securos per viam deductores, quibus a vi defenderetur. haec ambo scripta hic ponam, incipiens a prolixiori fictilibus indito; cuius haec fuere verba. (23) "duo quaedam apparuerunt ad deiectionem ecclesiae, quae ad eius

λειαν δῆθεν αὐτῆς ἐπινοηθέντα, ἐξ ἐπιβουλῆς τῶν ἐπιχαιρόντων τοιούτοις, ἓν μὲν τὸ τὸν Βέκκον ἐλθεῖν εἰς τὸ διαλεχθῆναι καὶ τάχα καταγνωσθῆναι καὶ ἡττηθῆναι, ὃ ἀμήχανον ἦν τοῦ λαοῦ μεμηνότος καὶ τὸ γλυκὺ πικρὸν ἐχόντων τε καὶ λεγόντων, δεύτερον, ἡνίκα τῷ Ὑακίνθῳ ἐξεχωρήθη ἁπανταχοῦ τῆς Ῥωμαίων
D προσκαλεῖσθαι κατὰ τῆς ἐκκλησίας οὓς εὕρισκεν οὐ συνειδήσει, οὐ νόμοις θεοῦ τεθραμμένους, ἀλλ' ἀγυρτώδεις καὶ τριωβολιμαίους τινάς, καὶ ἱκανοὺς καταστρέψαι τὴν ἐκκλησίαν Χριστοῦ, καὶ ὅσα παρέλαβεν, ἀλόγῳ θράσει καὶ διαβολῇ καὶ ὕβρει, ἐν οἷς εἶχον ἐκεῖνοι τὸ ἰσχυρόν. καὶ ἔτι, ὡς ἔοικεν, ἔμελλε τοῖς δυσὶν
P 114 ἐκείνοις κακοῖς καὶ τρίτον ἀναφυῆναι, ὃ καὶ διὰ πλῆθος ἡμετέρων ἁμαρτιῶν τῇ ἡμετέρᾳ συνέβη ἡμέρᾳ καὶ καθ' ἡμῶν ἐστρατεύσατο. τῆς γὰρ Χριστοῦ ἐκκλησίας οἷς αὐτὸς οἶδε κρίμασι τὴν φροντίδα δεξάμενοι, οὐκ ἐξησφαλίσθημεν τοῦ μήτε τοὺς σχιζομένους τῆς ἐκκλησίας Χριστοῦ καὶ ὑβριστὰς αὐτῆς τιμωρεῖν μήτε τοὺς ἀκαθαρσίαις μοιχείαις τε καὶ πορνείαις ἑαλωκότας ἀναχαιτίζειν. ἠγνοήσαμεν δὲ ὅτι καὶ οἱ πατριαρχεύοντες τοιαύτας εὐ-
B θύνας ὑπέχουσι παρὰ τῶν ἐπὶ σφάλμασιν αὐτῶν εὐθυνθέντων καὶ τῶν τούτοις ὁμοίων εἰς ἃ διῳκήκασι, καὶ ταῦτα μηδὲ τοῖς ἐνεργοῦσι σήμερον τὰ δημόσια τοιαύτας ἐν οἷς ἐνήργησαν ὑπεχόντων εὐθύνας, ὅσα ἢ κακοτρόπῳ γνώμῃ ἢ καὶ ἀγνοίᾳ κατὰ τοῦ δικαίου πεπαρῳνήκασιν. ἀλλ' ὢ τῶν ἐμῶν κακῶν, ὡς μηδὲ κἂν ἴσα τού-

scilicet utilitatem excogitata fuerant, ex insidiis gaudentium talibus. unum quidem venire Veccum ad colloquium, tamquam mox sic damnandum et convincendum; quod fieri non poterat furente populo, et dulce mixtum amaro exhibentibus illis et loquentibus. alterum quando Hyacintho est permissum per Romanam ubicumque ditionem convocare contra ecclesiam quos invenit non rectae conscientiae, non legibus dei innutritos, sed agyrtas triobolares quospiam, idoneos ecclesiae Christi destruendae abolendisque cunctis eius traditionibus per inconsultam audaciam calumniam et contumeliam, ad quae ingens illi habebant robur. porro nunc malis illis duobus tertium, quantum licet conicere, in cumulum succrescet; quod et propter multitudinem nostrorum peccatorum nostra contigit die et in nos militavit. ecclesiae quippe Christi, quibus ipse novit iudiciis, cura nos accepta haudquaquam secure potuimus discissos ab ecclesia Christi et ei contumeliosos punire, neque immunditiarum adulteriorum fornicationum convictos reprimere. ignoravimus autem patriarchas potestate utentes sua fuisse obnoxios reddendae talium actorum rationi iis ipsis quos in lapsibus deprehensos correxerint, et similibus, ius impune usurpantibus vocandae ad suum examen eorum administrationis, cum tamen quos hodie videmus civiles exercere magistratus, minime subiaceant iudiciis subditorum in iis quae vi acceptae potestatis egerint, etiam quando vel malitia vel ignorantia contra ius et aequum temere quidpiam attentarunt. sed heu, vis ingens malorum meorum! ne nostram quidem longe sublimioris

τοις ἐξισωθῆναι καὶ τὰ ἡμέτερα. καὶ εἰ καὶ πόθεν ταῦτα ἐπῆλ-
θεν ἡμῖν, ἄδηλα τοῖς πολλοῖς, ἀλλ' οὐχὶ καὶ θεῷ. ὁ γὰρ εἰ-
πὼν παρρησιασάμενος πρὸς θεὸν ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέ-
φαγέ με, εἶπε καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον C
ἐπ' ἐμέ. οὐ γὰρ ἡμετέρων ταῦτα σφαλμάτων ἀντέκτισις, καὶ
χάρις θεῷ· ἡμεῖς μὲν ἀδικούμενοι οὔτως ἀδικούμεθα, ὅτι τὸν
μὴ ἑαυτὸν ἀδικοῦντα οὐδεὶς δύναται παραβλάψαι, ἡ ἐκκλησία δὲ
πάλιν ὑβρίσθη καὶ ἐζημίωται. τίς δὲ ἡ ζημία; τῶν μοναχῶν καὶ
μοναζουσῶν καὶ λοιποῦ χριστωνύμου λαοῦ, τῶν μὲν λόγῳ τῶν
δὲ καὶ βίᾳ βλεψάντων πρὸς τὸ σεμνότερον, ὡς καταιγὶς ἀγρία
ἀθρόον ἐπεισπεσοῦσα ἡ καθ' ἡμῶν ὕβρις πρὸς τὰ πρότερα ἔστρε- D
φεν. ἡ δὲ ὕβρις καὶ τὸ αὐτῆς λυπηρὸν τὸ μὴ κατὰ τῆς ἡμῶν
ὑπολήψεως μόνον καὶ τὸ λίθους κρατῆσαι βαλεῖν ἡμᾶς καὶ ἀνα-
θεματίσαι, καὶ ὅσα σωματικῆς ὕβρεως ἐπειπεῖν, ἀλλ' οἴμοι καὶ
κατ' αὐτοῦ τοῦ σεβάσματος. διὸ καὶ φημί, εἰ σύνοιδα ἐμαυτῷ
πορνείᾳ ἢ μοιχείᾳ ἢ ἀρρενομανίᾳ ἑαλωκέναι, καὶ εἰ ἐφρόνησα
πώποτε ἢ φρονῶ ἢ φρονήσω ἀλλότριον φρόνημα τῆς ἐκκλησίας
Χριστοῦ τοῦ θεοῦ μου, ἀνάθεμά μοι ἀπὸ Χριστοῦ, καὶ ἡ μερίς E
μου σὺν τῷ προδότῃ καὶ τοῖς τὸν κύριόν μου σταυρώσασιν. εἰ

6. οὔτως] οὔπως?

ordinis ecclesiasticam auctoritatem ad aequalitatem saltem conditionis cum politica tanto inferiori adspirare patinutur. unde autem ista nobis acciderunt, ignotum multis est: at non deo. nam qui ausus est deo dicera zelus domus tuae comedit me, idem et hoc subinnxit, et opprobria exprobrantium tibi ceciderunt super me. nec enim nostrorum ista sunt delictorum uitio ac multa; quo nomine deo gratias reddimus. sed et haec in nos intorta ictum tela non perferunt, adeo ut iniuriis licet tantis appatiti nullam tamen iniuriam patiamur, quoniam qui se ipse non laeserit, nemo potis est laedere. verum ecclesia et contumeliam patitur et detrimentum. quodnam vero detrimentum? nimirum e monachis et monialibus caeteroque Christiano populo complures, partim persuasi rationibus et electione ducti propris, partim terrore addito minisque poenarum, vi compulsi quadam, sese in melius converterant sanctimoniamque respexerant, quos velut turbo ferus ac procella in transversum dira ingruens, haec in nos contumelia de cursu deiecit et rursus avertit in priora. eius porro iniuriae pernicies, unde nobis dolendi causa est, non in famae et existimationis nostrae iactura constitit, non in contumelia tam licenter grassantium, ut et lapides quos in nos iacerant tulerint et anathematizaverint caeteraque accumulaverint genera omnia sensibilium contumeliarum: sed heu me! (nam hoc cor vulnerat) in religionis ipsius damnum maximum tempestas ista redundavit. quare aio: si mihi sum conscius fornicationis aut adulterii aut nefariae in mares libidinis, si sensi umquam aut sentio aut in posterum sentiam alienum quidpiam a sensu ecclesiae Christi dei mei, anathema mihi sit a Christo et pars mea cum proditore ac crucifixoribus

δὲ ὀρθῶς καὶ πιστῶς με λατρεύοντα καὶ φρονοῦντα, καὶ ἀποβαλλόμενον ἐκ ψυχῆς ὃ μὴ δοξάζει ἡ ἐκκλησία μηδὲ παρέλαβε, συκοφαντῆσαι οὐκ ἔφριξαν γλῶσσαι λέγειν μαθοῦσαι κακά, ὅσοι καὶ οἷτινες εἶεν, ἔχω αὐτοὺς καθὰ ὁ κανών, καὶ ἀπὸ τῆς ζωαρχικῆς τριάδος ἀφωρισμένους. ὅτι δὲ βιασθέντες ἀλλ' οὐ βιάσαντες ἐτέθημεν εἰς τὴν ἐκκλησίαν, ἐλπίδι εἰρήνης καὶ ὠφελείας κοινῆς, οὐ
P 115 προέβη δὲ κατὰ τὰς ἐλπίδας ὅσον διῳκήσαμεν, οὕτω συμφέρον ἡμῖν κατεφαίνετο, μάρτυς θεός, καὶ ὃ μὴ ὡς κακὸν ἀλλ' ὡς πρέπον ἐπράττομεν. πλὴν εἰ ἐν ᾧ μέτρῳ μετροῦμεν ἀντιμετρηθησόμεθα, τὴν τούτων διάκρισιν ἀνατίθημι τῷ ἁγίῳ βασιλεῖ καὶ τοῖς ἀρχιερεῦσι ἐνώπιον τοῦ θεοῦ, καὶ εἴτε ἀποδοχῆς εἴτε εὐθύνης κριθῶμεν, στέργομεν, καὶ ὡς ἐκ θεοῦ τὴν τῶν τούτων κέλευσιν ἐκδεχόμεθα. ἕτερον, εἰ καὶ ὁποῖόν ἐστιν ἑκάστου τὸ ἔργον τῇ ἡμέρᾳ ἐκείνῃ δηλοῦται, χάριν τῆς δυσφημίας ἣν ἐξήμεσε
B καθ' ἡμῶν ὁ διάβολος λέγομεν. εἰ σύνοιδα ἐμαυτῷ πορνείᾳ ἢ μοιχείᾳ ἢ ἀρρενομανίᾳ ἑαλωκέναι, καὶ εἰ ἐφρόνησα πώποτε ἢ φρονήσω ἀλλότριον φρόνημα καὶ ἀπᾷδον τῆς ἐκκλησίας Χριστοῦ τοῦ θεοῦ καὶ κυρίου μου, καὶ εἰ μὴ ὡς οἱ ἅγιοι μαθηταὶ καὶ ἀπόστολοι τούτου παραδεδώκασι καὶ οἱ διάδοχοι τούτων θεοφόροι πατέρες, ἰδικῶς καὶ συνοδικῶς, καὶ εἰ μὴ ἅπαν ἑτερόδοξον φρόνημα, ὃ μὴ παρέλαβε καὶ κρατεῖ ἡ ἐκκλησία Χριστοῦ, παρα-

7. διῳκήσαμεν οὕτως ὡς σ.? 12. τῶν] ἐκ? 14. δηλοῦσθαι P.

domini mei. sin me recte ac fideliter servientem et sapientem, reiicientemque ac reprobantem ex animo quod non sentit ecclesia neque accepit, calumniari non horruerunt linguae doctae maledicere, quicumque et qualescumque fuerint, habeo ipsos, iuxta canonem, pro segregatis a vitae auctore trinitate. quoniam vero coacti, minime autem nos ipsos per vim intrudentes, regimini ecclesiae sumus impositi spe pacis et utilitatis communis, non successit autem secundum spem quantum in ea administratione gessimus. nihil autem gessimus (testis sit deus) nisi quod expedire nobis visum est, et quod non ut malum sed ut decens a nobis fieret. caeterum an qua mensura mensi sumus, eadem remetiatur nobis, iudicium arbitrio sancti imperatoris et episcoporum coram deo permitto; et sive absolvamur sive damnemur ab iis, acquiescimus, et ut a deo profectum eorum qualecumque mandatum accipimus. aliud. etsi quale sit cuiusque opus, die illa declaratum iri credimus, tamen quoniam aiunt quosdam scandalizari propter maledicentiam quam evomuit in nos diabolus, dicimus: si conscius mihi sum incidisse in fornicationem adulterium aut nefariam in mares libidinem, si sensi umquam aut sentio aut sentiam alienam sententiam et abhorrentem ab ecclesia Christi dei et domini mei, et nisi ut sancti discipuli et apostoli eius tradiderunt et successores horum deiferi patres, privatim et synodice; et nisi omnem heterodoxam doctrinam, quam non accepit nec tenet ecclesia Christi, respuo subiiciens ana-

πέμπω τῷ ἀναθέματι, ἀνάθεμά μοι ἀπὸ Χριστοῦ, καὶ ἡ μερίς C *μου σὺν τῷ προδότῃ καὶ τοῖς τὸν κύριόν μου σταυρώσασιν. εἰ δὲ ὀρθῶς καὶ πιστῶς με λατρεύοντα καὶ φρονοῦντα καὶ ἀσπαζόμενον καὶ κηρύττοντα διαβολαῖς μέ τινες τοιαύταις διέβαλον, ὅσοι καὶ οἵτινες εἶεν, ἐκκήρυκτοι τῆς ἐκκλησίας Χριστοῦ, καὶ ἀλύτῳ ἀφορισμῷ τῷ ἀπὸ τῆς ζωαρχικῆς καὶ μακαρίας καὶ ἁγίας τριάδος ἡ μετριότης ἡμῶν ὑποβάλλει αὐτούς, καὶ ἀρᾷ ἀναθέματος καὶ τὸν τοιούτοις παρασυρέντα εἰς τὸ βλάψαι καὶ ἀδικῆσαί με. ὡς δὲ τοῖς ἀδίκοις καὶ βλασφήμοις αὕτη ἀρὰ παρὰ θεοῦ, οὕτω καὶ* D *τοῖς φειδομένοις τὴν γλῶσσαν καὶ ἀλήθειαν ἀγαπῶσι καὶ λέγουσιν ἡ τοῦ θεοῦ εὐλογία καὶ σκέπη περικυκλώσοι καὶ ὧδε καὶ ἐν τῷ μέλλοντι."*

Καὶ ταῦτα μὲν τὰ ἐν τοῖς ἐκπώμασι καὶ ἐν ἀποκρύφῳ τεθέντα· ἃ δὴ ὁποῖα μὲν καὶ ὅπως ἔχουσιν, ὡς καὶ αὐτὸν τὸν παρασυρέντα, ὅστις ἂν καὶ εἴη, ὑπ' ἀνάθεμα ἄγειν, καὶ εἰ σύστασις ταῦτα ἀπαθῶν τρόπων εἴτε καὶ μή, εἰδεῖεν ἂν οἱ πνεύματι ζῶντες καὶ τῷ κυρίῳ δουλεύοντες. ὅμως ὕστερον εὑρεθέντα, ὡς μετ' ὀλίγον ῥηθήσεται, ἱκανῶς αἰτίαις δικαίαις ὑπῆγον τὸν γρά- E *ψαντα. ἕτερον δὲ γράμμα σχεδιάσας πρὸς τὸν βασιλέα ἀπέστειλεν, οὕτω κατὰ ῥῆμα διαλάμβανον. "θεῷ καὶ μετὰ θεὸν τοῖς λόγοις θαρρήσας τῆς ἐκ θεοῦ βασιλείας σου τὴν ἐκκλησίαν ἐκράτησα. εἰ δ' ἐγκαλοῖ μοι καί τις ὅτι μὴ κατὰ τὸ ἀρέσκον ἑκάστῳ*

themati, anathema mihi sit a Christo et pars mea cum proditore et crucifixoribus domiui mei. si vero recte ac fideliter me miuistrautem et seutientem et amplectentem et praedicautem calumniis me talibus diffamarunt, quicumqne ac qualescumque sint, extra censum babentor ecclesiae Christi; et insolubili excommunicatiouis nexui a vitae auctore, beata et saucta trinitate, mediocritas nostra ipsos subiicit, dirisque anathematis, et enm qni talibus tractus fuerit ad laedendum et iniuriis afficiendum me. ut autem iniustis et blasphemis haec maledictio a deo est, sic et linguam continentes et veritatem 'amantes et loquentes dei benedictio ac protectio circumdabit, et hic et in futuro."

Haec quidem erant in chartis intra pocula fictilla conditis et in cavo abstruso depositis. iu quibus, quod enm quoque qui etiam vi pertractus ad adversantium sibi partes fnerit, quicumque tandem sit, anathemati subiicit, id ad humanae probitatis Christianaeque mansuetndinis rationes satis accommodatum necne fuerit, censendum relinquo viventibus in spiritn et domino servientibus. illud scio, scriptum hoc postea repertum vulgatumque, ut postmodum dicetur, accusationlbus iu eius auctorem antea iactatis fidei momentnm addidisse, ut iam non immerito traductus ille ac iniuste infamatus videretnr. aliud etiam scriptum conciunavit, statim ad imperatorem missum, haec ad verbum contineus. "deo et post deum verbis fidens ex deo auctoritatem duceutis maiestatis tuae, ecclesiae regimen capessivi. in quo administrando si quispiam succensuerit guberna-

διῴκησα, μάρτυς αὐτὸς θεός, κρεῖττον οὐκ ἐφρόνουν. ἐπεὶ δὲ
P 116 Χριστὸς τῆς ἐκκλησίας αὐτοῦ καὶ τῆς βασιλείας σὲ κατέστησε
φροντιστήν, ἰθύνειν πρὸς τὸ ἀρέσκον αὐτῷ, ἐνώπιον λέγω τοῦ
κυρίου μου Ἰησοῦ Χριστοῦ, εἰ καὶ ἁμαρτωλός εἰμι, ἀλλὰ πρα-
κτικῶς οὐκ ἐπίσταμαί τι ἀπεῖργον κατὰ κανόνας ἱερωσύνης. εἰ
δέ τινες ἐξηγέρθησαν κατ' ἐμοῦ λέγειν ὅσα εἰς ἀνθρωπίνην ὕβριν
φθάνει καὶ παραλύπησιν, καὶ εἰσὶν οἱ πιστεύοντες ταῦτα, θέτω-
σαν εἰς καθαίρεσιν ὅσα ἐκ τούτων καὶ βούλονται, καὶ εἰ ἀδικηθῶ,
B ἐν τῇ ἡμέρᾳ ἐκείνῃ δικαιωθήσομαι. τὴν γὰρ παραίτησιν λογίζο-
μαι ἀκανόνιστον, καὶ αὕτη μου ἡ διάκρισις. ἐπεὶ δὲ πρὸς τρέ-
μοντα τὰ δικαιώματα θεοῦ βασιλέα λαλῶ, εἰ κελεύεις, τὸ θέ-
λημά μου ἐῶ, καὶ ἀνατίθημι τῷ θεῷ καὶ τῇ ἐξ αὐτοῦ βασιλείᾳ
σου τὰ ἐμά, ἵνα ὅπερ αὐτῇ θεάρεστον δόξει καὶ τῇ ψυχῇ μου
σωτήριον, εὐργετήσῃς καὶ συμβουλεύσῃς καὶ συνεργήσῃς μοι,
καὶ οὕτω παρὰ θεοῦ χαρισθῇ τῆς εὐεργεσίας τὰ ἴσα τῇ ἐκ θεοῦ
C βασιλείᾳ σου." ἀλλὰ τοῦτο μέν, κατὰ τὸ εἰκός, οὐχ ὑπέγραψε,
τὸ δέ γε πρότερον οἰκειοχείρως ὑπεσημήνατο· εἶχε γὰρ "Ἀθανά-
σιος ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης
καὶ οἰκουμενικὸς πατριάρχης." ἦν δ' ἔτι φερόμενον καὶ ἄλλο τι
ἐν κρυπτῷ γράμματι, ὅπερ οὐκ οἶδα εἰ προσετέθη ὕστερον παρὰ
τῶν ἐκείνῳ προσκειμένων, ὡς "κἂν εἴ τι ποιήσω παρὰ ταῦτα,

4. κεπραχὼς?

tionem meam ad quod cuique placeret obnoxie accommodatam non fuisse, testis idem sit deus, melius non sentiebam. quandoquidem vero Christus ecclesiae suae et imperii te constituit curatorem, ut utraque ad eius beneplacitum dirigas, in conspectu loquor domini mei Iesu Christi, etsi peccator sum, tamen factum a me quidquam non memini a sacerdotii regulis abhorrens. si vero aliqui insurrexerunt contra me, dicentes quae ad deformandum contumeliis doloreque pungendum hominem pertinent, et sunt qui credunt ista, imputent licet in idoneas meae depositionis causas ea ex his quae volunt. si passus iniuriam fuero, in die illa iustificabor. abdicationem enim reputo illegitimam. et hoc quidem meum iudicium est. quoniam vero cum tremente iustificationes dei imperatore loquor, si iubes, voluntati meae renuntio, et deo permitto tuaeque ex deo auctoritatem habenti maiestati res meas, ut quod ipsi deo placitum videatur et animae meae salutare, conferre consulere cooperari mihi digneris, ut anima mea divinae beneficentiae fiat particeps similiter cum ex deo data maiestate tua." at huic quidem libello, ut fieri par fuerat, non subscripsit. priori tantum propria manu suum nomen apposuerat: sic enim ad eius calcem legebatur "Athanasius miseratione dei archiepiscopus Constantinopolis Novae Romae, oecumenicus patriarcha." ferebatur et aliud praeterea quiddam scriptum in illa priori arcana charta, quod haud scio an non additum posterius fuerit ab Athanasii fautoribus, nempe hoc: "si quid praeterquam hic scripsi me facturum egero, irritum habeo, quippe contra

ἄστοργον ἔχω καὶ ἔξω τῆς ἡμετέρας γνώμης, κἂν αὐτὴν ἐγχα- D *ράξω μου τὴν παραίτησιν."*

Τέως ταῦτα γράψας, τὰ μὲν ἐν ἀφανεῖ τίθησι τὸν εἰρημένον ἐξασφαλισάμενος τρόπον, αὐτὸς δὲ τὸ πρὸς τὸν βασιλέα καὶ μόνον ἐξαποστείλας, ἐπεὶ οὐκ ἦν ἐκεῖθεν, καθὼς ἴσως καί οἱ ἤλπιστο, ἡ βοήθεια καὶ τὸ ἀντειλῆφθαι, ἀλλ' ἤδη μᾶλλον οἱ νυκτὸς ἐξελευσομένου κατὰ τὴν ὁδὸν δεφενδεύσοντες ἀπεστέλλοντο, καὶ ἄλλοι οἱ τὸ πατριαρχεῖον ἀναδεξόμενοι, γνοὺς ἐντεῦθεν ἴσως καὶ τὴν τοῦ κρατοῦντος γνώμην, ὡς οὕτω τὰ καθ' ἑαυτὸν δοκιμάζοντος εἰς συνοῖσον εἰ ἐκσταίη παρακεκινημένων τῶν E *ὅλων (οὐδὲ γὰρ ἐχώρει ἄλλως γίνεσθαι), ἀωρὶ τῶν νυκτῶν δίδωσιν ἑαυτὸν τοῖς ἀπάξουσι. καὶ πρὸς τῇ κατὰ τὰ Εὐγενίου γεγονότες θαλάσσῃ ἁλιάδος τε ἐπιβαίνουσι, καὶ τὸν λιμένα τὸ Κέρας εἰσπλεύσαντες τὴν μονὴν τοῦ Κοσμιδίου καταλαμβάνουσι. κἀκεῖ τὴν νύκτα προσμείνας στέλλει πρὸς βασιλέα τὴν αὐτοῦ παραίτησιν, ἔχουσαν ἐπὶ λέξεως οὕτως.* (24) *"ἐπειδήπερ λυσι-* P 117 *τελείας χάριν κοινῆς εἰς τὸν πατριαρχικὸν ἀνήχθημεν θρόνον καὶ διὰ τὴν τοῦ χριστωνύμου λαοῦ εἰρηναίαν κατάστασιν καὶ κυβέρνησιν, ἀπέβησαν δὲ τὰ πράγματα εἰς τοὐναντίον καὶ παρ' ἐλπίδα τὴν ἡμετέραν καὶ τῶν βιασαμένων ἡμᾶς, ὡς ἐντεῦθεν κριθῆναι ἡμᾶς τῷ λαῷ ἀδοκίμους καὶ παραιτητέους καὶ ἀδιακρίτους, ἄλλως τε δὲ καὶ ὡς ἀσθενεῖς καὶ ἁμαρτωλοὶ καὶ ἀνίκανοι καὶ οὐδὲ*

meam volnntatem et mentem actum, etiam si ipsam scripto significavero abdicationem."

Utcumque sit, his ita scriptis, prius quidem illud in occulto abdidit, memorato iam muaitum modo. ipse vero solum secundum libellum imperatori cum misisset, nec inde quod forte speraverat auxilium ac protectionem offerri sibi videret, quin potius iam praesto adesse submissos illinc cerneret qui se nocte profecturum per viam defenderent, et alios, qui quas suo discessu vacuas relicturus mox foret patriarchales aedes susciperent custodiendas, intellecto ex his persuasum imperatori utilem futuram patriarchae depositionem perturbationi publicae pacandae, cum aliud non posset, se ipsum intempesta nocte ultro dedit missis ad se abducendum. cum his ad oram maris loco ab Eogenio denominato contiguam progressus, ibi piscatoriam pariter omnes conscendunt navem, et in portum Ceras dictum invecti ad Cosmidii monasterium perveniunt. nocte illic transacta misit Athanasius ad imperatorem cessionem suam, sic ad verbum habentem. (24) "quandoquidem utilitatis communis gratia in patriarchalem promoti thronum fuimus et ad pacificum Christiani populi statum ac gubernationem, successerunt autem res in contrarium praeter spem nostram et eorum qui nos ad istam praefecturam admittendam coëgerunt, adeo quidem ut inde contigerit censeri nos populo improbabiles, reiici dignos, ineptos et frivolos, cum etiam nos et ipsi sentiamus imbecilles, peccatores, insufficientes nec pares ministerio tali, propterea ab-

ἄξιοι λειτουργίας τοιαύτης, διὰ τοῦτο παραιτούμεθα καὶ ἡμεῖς B αὐτοὺς μετὰ τῆς ἀρχιερωσύνης, καὶ εἴ τι ἠγνοήσαμεν ἢ καὶ διεπραξάμεθα ἔξω τοῦ πρέποντος, αἰτοῦμεν συγχώρησιν, καὶ ὑμᾶς ὁ κύριος συγχωρήσοι, καὶ τὸ συμφέρον παρέξει, καὶ κυβερνήσει ἀμφοτέρους, καὶ ποιμένα ὄψεται τὸν ἁρμόδιον, πρεσβείαις τῆς θεομήτορος." εἶχε δι' ὑπογραφῆς τὸ "Ἀθανάσιος ὁ χρηματίσας ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως νέας Ῥώμης, οἰκουμενικὸς πατριάρχης."

Ταῦτα τὰ τῶν γραμμάτων, ταῦτα τὰ τῆς παραιτήσεως Ἀθανασίου. οἷς ἐννοήσειέ τις τὸ ἐμφαινόμενον τοῦ γράφοντος C ἐμπερίσκεπτον. καὶ τέως τί βούλεται τὸ "οὕτως ἐφρόνουν" καὶ αὖθις "κρεῖττον οὐκ ἐφρόνουν, μάρτυς θεός;" τοῦτο καὶ καταποντιστὴς οἶμαι νηὸς εἴπῃ, ὃς αὐτοβούλως καὶ αὐτονόμως κινδύνῳ περιβάλλει τὴν ναῦν, ὡς κρεῖττον οὐκ ἐφρόνουν. ἀλλ' εἶπεν ἄν τις πρὸς αὐτὸν "ἀλλ' ἦσαν μεθ' ὧν ἂν καὶ συνεβουλεύσω, ὅτι οὐδὲ μόνος ἀλλὰ μετὰ πολλῶν κυβερνᾶν ἐτάχθης." ἀλλὰ τὸ παρὸν "ἐκρίθην γὰρ" φησὶ "τῷ λαῷ ἀδόκιμος," καὶ οὐ τοῖς ἀρχιερεῦσι καὶ τοῖς τῆς ἐκκλησίας μοναχοῖς· λαοῦ δ' ἀ- D ποδοκιμασία τί ἂν ἰσχυρὸν ἔχοι εἰς πατριάρχου παραίτησιν; "παραιτούμεθα δὲ καὶ αὐτοὺς" φησὶ "μετὰ τῆς ἀρχιερωσύνης." οὐ θρόνον καὶ τιμὴν παραιτεῖται, ἀλλὰ λαὸν ἄτακτον καὶ ἀπειθῆ. πότερον δὲ τὸν λαὸν συνάμα τῇ ἀρχιερωσύνῃ παραιτεῖται, ὡς παραιτεῖσθαι δὴ καὶ ἀμφοτέρους, ἢ λαὸν παραι-

dicamus et nos ipsos cum sacerdotio; et si quid ignorantes omisimns aut fecimna extra quam decuit, petimus veniam, et vobis dominus ignoscat. ac qnod erit condncibile praebebit, et gubernabit ambos, et pastorem providebit accommodatum, precibus deiparae." subscriptio haec fuit "Athanasius qui foit archiepiscopns Constantinopolis Novae Romae et oecnmenicus patriarcha."

Haec in libellis, hacc in abdicatione Athanasii fuere; quae si qnis penitius introspexerit, quandam non bene dissimulatam scribentis astutiam animadvertet. nam quid sibi vnlt illnd "sio sentiebam" et rursus "melius non sentiebam (deus sit testis)?" hoc et, puto, queat dicere qni navem demerserit, qnod eam propria voluntate ac iudicio temere discrimini obiecerit: "melius non sentiebam." verum respondeat ei qnispiam: at erant cum quibus consnltares, quandoqnidem non solus sed cum multis gubernare iussus es. sed in praesens "iudicatus sum enim" ait "populo improbabilis." non dicit episcopis et ecclesiae monachis. populi porro ac laicorum improbatio quid validae ad patriarchae depositionem causae habeat? pergit. "abdicamus autem ipsos" inquit "cum sacerdotio." non thronum aut honorem abdicat, sed populum inordinatum et inobedientem. utrum autem populum pariter et sacerdotium abdicat, sic ut aeque ambo ista abdicentur, an populum abdicat sive reprobat vi et au-

τεῖται μετὰ τῆς ἐνούσης αὐτῷ ἀρχιερατικῆς ἰσχύος καὶ καταστάσεως, ὡς εἶναι καὶ αὐτὴν ἰσχυρὰν καὶ εὔλογον τὴν ἀποβολήν; τί δὲ βούλεται καὶ τὸ ἁρμόδιον λέγειν; εἰ μὴ πάντως τὸν τὰ πάντα τῷ λαῷ συγκαταβησόμενον.

Ἀλλὰ ταῦτα μὲν ἴσως τῷ ἱστοροῦντι καὶ παραχαίρια λέλεκται. P 118 τοῦτο δέ τις καὶ μόνον παρατηρήσειεν, ὅτι τέσσαρσιν ἐνιαυτοῖς τὴν ἐκκλησίαν κατέχων αὐτὴν σχεδὸν ἡμέραν εἶδε τῆς ἐκβολῆς ἣν δὴ καὶ τῆς ἀναβάσεως ἔγνωκεν, ἥτις καὶ Ἐλαφηβολιῶνος ἑκκαιδεκάτη ἦν, ὅτε καὶ ὁ μέγας λογοθέτης τὸν ἴδιον λόγον καταγνοὺς οἷον ἐκ τῆς τῶν πολλῶν βλασφημίας τῶν ἐν ἐκείνῳ γεγραμμένων, καὶ μᾶλλον ὅτι καὶ λύκος ὁ τῶν λαχάνων ἄνθρωπος B παρὰ τοῦ ἀρχῆθεν εἰπόντος ἐλέγετο, πυρὶ παρεδίδου. ὁ μέντοι γε βασιλεὺς δεξάμενος τὴν παραίτησιν, διά τε τὸ τῆς ἰδίας γνώμης εὐθύ, καὶ τοῦ μὴ θέλειν κινεῖσθαι τὰ μηδὲν ὀνήσοντα ἀλλὰ καὶ μᾶλλον ἐκκλησίαν βλάψοντα, καὶ διὰ ταῦτα τοῖς γεγραμμένοις μηδ' εἰς βάθος προσσχών, καὶ τοὺς ἄλλους πρὸς τοῦτο πείσας, ἀγαπητὸν ἡγησάμενος εἰ μετ' εἰρήνης ἐξίσταται C (οὐδὲ γὰρ συνέφερεν, ὡς ἐῴκει, κινεῖσθαι τὰ κατ' ἐκεῖνον καὶ

14. τοῦ] τῷ?

ctoritate permanentis in eo archiepiscopalis potestatis ac status, quo per hanc modum efficax rata et firma evadat eiusmodi reprobatio. quid et hoc autem sibi vult quod ait pastorem post se deligendum accommodatum? nisi occulte innuit exposci talem qui populo quidvis gratificari et indulgere sit paratus.

Sed haec a me forte otiosius, quam tempestivum historico erat, disputata fuerint. unum tamen ad ea illud non de nihilo quis observans adiunxerit, sic exacte quadriennium in patriarchatu Athanasium explevisse, ut eandem ferme initi relictique regiminis ecclesiae numeraverit diem sextamdecimam Octobris, quando et magnus logotheta vanitate deprehensa encomii quod ex tunc de Athanasio auditis honorificentissimum scripserat, suum illud scriptum poenitens credulitatis igne abolevit, quod eum maxime puderet ibi pro miraculo celebrasse portata iussu Athanasii olera ex horto domum a lupo, ex quo postea certo compererat lupum illum fuisse hominem ita nominatum, non autem, uti persuaderi sibi siverat, bestiam notae feritatis isto designari vocabulo solitam. caeterum imperator accepto cessionis Athanasii libello, non putavit curiosius insistendum scrutandae ambiguitati captiosarum, quibus erat concepta, sententiarum et vocum. sed hic quoque solitam suam animi rectitudinem, et abhorrentem a temere movendis nihil profecturis et praesenti noxa perniciosis ecclesiae controversiis moderationem ac prudentiam secutus, cum sibi tum aliis persuasit temperandum ab indagatione odiosa profundorum senis sensuum sub illa verborum astutia utcumque latentium, in lucro ponens quod is in pace recessisset, nec interesse arbitrans quo id ille artificio vel dolo exequi studuisset. nam maiori strepitu causam istam ventilari, indicii desideratissimi a multis, odio in Athanasium vehementi et iusto flagrantibus, celebratione permittenda, tumultuosius foro negotium providebatur quam

χρίσει δίδοσθαι, τῶν πάντων δι' ἔχθους δικαίου, ὡς ἐδόκει,
ἐχόντων τὸν ἄνθρωπον), ἐκεῖνον μὲν τῇ ἰδίᾳ μονῇ καὶ πάλιν νυ-
κτὸς ἐξαποστείλας ἐγκαθιστᾷ, ὅπου σὺν τοῖς ἀμφ' αὐτὸν πολλοῖς
οὖσι ἐπὶ χρόνοις ἀσκεῖν ἀπρόϊτος ἔμελλε τὰ συνήθη, τοῖς δέ γε
ἀρχιερεῦσιν ἐφίησι τὸν τῆς ἐκκλησίας ζητεῖν προστησόμενον.

D 25. Τέως δὲ πρὸ τοῦ τάδε γενέσθαι δυσὶ πρότερον χρό-
νοις, — καὶ ἀφίημι τὰ κατὰ τὴν περαίαν τὴν δυτικήν, ὡς καὶ
ἅπαξ καὶ δὶς ἐνεπρήσθη, οὕτω συμβάν, ἐπὶ Γρηγορίου πατριαρ-
χοῦντος. ἀλλ' οὖν κατὰ μῆνα μεσοῦντα Μουνυχιῶνα, ὑπ' ἀφὰς
E λύχνων, ἐντὸς τῆς μεγαλοπόλεως, ὅπου τὸ τῆς ἀγορᾶς μεσαίτα-
τον, ἀπὸ τῆς βασιλικῆς λεγομένης πύλης ἄρχεται τὸ δεινόν. καὶ
πάντα τὰ κύκλῳ περιλαβὸν τὸ παμφάγον καὶ ἀνυπόστατον πῦρ,
οἰκίας ἐκείνας πληθούσας παντοίων τῶν εἰς πραγματείαν εἰδῶν
αὐτονυχεὶ διανεμηθὲν ἠμάθυνε τὸ παράπαν, ὥστε καὶ γυμνοὺς
P 119 ἐκφυγεῖν τοὺς ἐνῳκημένους, μὴ ὅτι γε πλούτου καὶ περιουσίας
ἀλλὰ καὶ αὐτῶν ἐνδυμάτων, καὶ μηδὲν πλέον ἐγκαταλειφθῆναι
πρωΐας ὅτι μὴ κεράμων κατεαγότα ὄστρακα καὶ ἥλους σφίσιν ἐνει-
λημένους, ἀφέτους τῶν ξύλων οἷς συνέχοντες εἴχοντο. καί γε τὸ
τῆς ἀγορᾶς κάλλος ὡς πεδίον ἀφανισμοῦ κατεφαίνετο. ὃ μηδ' αὐ-
τὸν βασιλέα λαθὸν τῷ Νυμφαίῳ ἐνδιατρίβοντα ἐποίει θαυμάζειν,
B καὶ ἐφ' ἡμέραις ζητεῖν, εἴ πού τις Βυζαντίοθεν παραβάλλοι,

expediret ad quietem plna satis aliunde iactatarum ecclesiae ac reipublicae. quare satis habuit sine strepitu expatriarcham proprio rursus nocturna deductione recludere monasterio, ubi cum aliis familiaribus multis asceticam per otium nullo interpellante exerciturus porro esset pro suo more disciplinam. episcopis vero commisit inquisitionem idonei qui praeficeretur ecclesiae praesulis.

25. Duobus priusquam haec fierent, annis contigit incendium in urbe fori magni. omitto interim duo alia incendia quae apud transmarinum suburbium Galatam Gregorio patriarchatum gerente acciderant. circa medium igitur Novembrem, sub tempus illud vesperae quo primis tenebris accenduntur faces, intra magnam civitatem, ipso in meditullio fori, a porta quae regia dicitur, malum exortum est. inde omnia per circuitum corripiens, ineluctabili ruens impetu vorax ignis, domos illas refertas omnis generis mercium ipsa nocte absumens plane redegit in cineres, ut nudi effugerent qui illic habitabant, nudi autem non divitiis solum et ornatu, sed ipsis corpori tegendo necessariis vestibus, nihilque plus mane reliquum cerneretur quam testae fractorum laterum et clavi qui tabulas ac tigna commiserant, ferreae materiae privilegio a vi flammae servati, priori omni specie plateae illius pulcherrimae in campum informi congerie constratum ad lugubre spectaculum conversa. id quod imperatori Nymphaei tunc degenti nuntiatum admirationem incussit non modicam, et curam exquirendae occultae mali originis, ut multis inde diebus, ubi quis Byzantio

ὅπως καὶ ἀφ᾽ οἵων τῶν αἰτιῶν γέγονεν. οὐ γὰρ ἐπ᾽ ὀλίγον ἐπιδραμόν, ἀλλ᾽ ὅσον εἰκάσαιτ᾽ ἂν τις, καταταχῆσαν καὶ αὐτὴν μέσην τὴν πόλιν ἐν ἀκαρεῖ περιλήψεσθαι, πολλῶν μὲν οἰκιῶν κάλλη πολλὰ δ᾽ ἐν αὐταῖς ἀποτιθέμενα δαρδάπτον, καὶ τὰ δεινὰ τοῖς πόρρωθεν ἀπειλοῦν, οὐ πρότερον ἔστη, πρὶν ἂν ἀμφόδοις περιπεσὸν εἰς πλάτος ἐνδούσαις χειροποιήτως τῶν ἐχόντων φθασάντων καταβαλεῖν καὶ προαρπάσαι τὴν ὕλην, ἐκεῖσε φθάσαν C οὐχ οἷόν τ᾽ ἦν ἐκπηδῆσαι καὶ τῶν καταντικρὺ παμφάγοις ἐπιδράξασθαι τοῖς ὀδοῦσιν. ἐπεὶ γὰρ πάντα τὰ κύκλῳ φρέατα ἐξαντλήσαντες οὐκ ἀποχρῶν εἶχον τὸ ὕδωρ πρὸς τὴν τοιαύτην ῥύμην πυρός, ἐκείνοις μὲν τὸ λοιπὸν ἀντὶ ταμιείων ἐχρῶντο, κἂν πού τι καὶ ἀφήρπαζον τοῦ πυρός, ὁμόσε τούτῳ χωροῦντες καὶ τοῦ λαβεῖν τι ἐν δευτέρῳ τιθέμενοι τὴν παρακινδύνευσιν, εὐθὺς κατὰ D τούτων ἐρρίπτουν καὶ ἐπωμάτιζον. αὐτοὶ δὲ τῷ μὲν ἅπαξ ἁλόντι οὐκ ἔχοντες προσαμύνειν, προκαταλαμβάνοντες δὲ τὰ ἐξωτέρω κείμενα προανῃροῦντο καὶ μετεκόμιζον, καὶ οὕτω τὴν τροφὴν τοῦ πυρὸς ἐκποδὼν ποιοῦντες τῇ ἀτροφίᾳ τὸ θηρίον ἀσθενέστερον ἀπειργάζοντο, κἀντεῦθεν μόλις κατ᾽ ὀλίγον ἐξασθενοῦντος περιε-

veniret, solicite interrogaret quo modo et qualibus e causis tanta clades extitisset. non enim a tenui orta principio sensim, ut fere fit, ea pestis invaluerat, sed quantum intelligi coniectura potuit, variis simul ex partibus rapida velocitate ignis exurgens, mediam momento comprehendens urbem, multa ornatissima aedificia, multas in iis opes conditas voravit; minansque nihilo mitiora remotioribus, non prius stetit quam in angiportus via media frustra diremptos transiliens nihil in illis cui adhaeresceret reperit, provida industria viam praecludere malo grassanti satagentium prius manu eversis et congestis in late confusam stragem. prudenter enim illi curaverant redimere perniciosius damnum ultro accersendo ac praeoccupando leviori, sicque subtrahenda materia voraci elemento; quod si pastum invenisset illic quo insilierat, auctas ex eo vires haberet ulteriora incursandi, et ad cuncta continenter rapacissimis accisa dentibus exorbenda in nunquam explebilem ingluviem. alia quoque inita utiliter ratio est demendi flammae pabuli, docente ipsa calamitatis experientia mali partem in remedium vertere. nempe cladis auctarium fuit defectus aquae igni coercendo tam necessariae, exhaustis quippe iam cunctis quae illic erant subterraneis conceptaculis liquoris. caeterum hoc ipso animadverso qui satagebant, puteis ipsis cisternisque iam vacuis uti apothecarum vice coeperunt iis custodiendis quae apta maxime nutriendo incendio flammae praeripere potuerant, ea cuncta per ora hiantium cavorum devolventes, et ubi congerendo expleverant, imposito materiae ignem non timentis operculo tegentes. in quo eam adhibebant prudentiam, ut quae iam ignis comprehenderat, frustra ei extorquere non conantes, ea quibus se nondum per circuitum admoverat diligenter raperent, non sine periculo comminus accedere audentes; iisque amotis, quasi per escae subductionem, monstrum helluatione largiori magis indomitum evasurum, velut inedia castigatum infirmius reddebant. atque ita sensim debilitato aegre ac vix

E γένοντο, οὐχ ἧττον τῶν παλαιῶν ἐμπρησμῶν καὶ αὐτοῦ τὴν ἰδίαν μνήμην καὶ εἰς τὸ ἐπιὸν καταλείψαντος. ἀλλὰ καὶ αὖθις συνελθόντες οἷς ἐκεῖνα διέφερον, καὶ μόλις γυμνὰ μόνα τὰ ἐδάφη γνωρίσαντες ἀπό τινων ἀμυδρῶν σημείων, δαψιλέστερον ἐποικοδομοῦνται, βασιλέως ἀπόντος, ὥστ' ἐπὶ μόναις ἀκοαῖς ἐκείνου τὸ πάθος στῆναι, οὐ μὴν δὲ καὶ αὐταῖς ὄψεσιν. ἐφίσταται γὰρ ἀνοικοδομηθεῖσι λαμπρότερα, καὶ ἁλμυρὰν ἀκοὴν αἱ πότιμοι τῆς ὄψεως ὀπωπαὶ ἰδόντος μεθ' ἱλαρότητος ἀπεκλύσαντο.

P 120 26. *Αὐτὸς δὲ* μετὰ τοῦ πρωτοβεστιαρίου καὶ μεγάλου λογοθέτου κήδους συνάλλαγμα ποιησόμενος, ὥστε τὸν τοῦ βασιλέως αὐτάδελφον Θεόδωρον εἰς γάμον ἀγαγέσθαι τὴν τοῦ Μουζάλωνος, ἐπεί γε κατηγγυημένης οὔσης τῆς κόρης συνέβη τι ἐκ νοθείας πρός τινα τῶν ταύτης συγγενῶν, φερούσης ἀμφισβήτησιν τῆς ζητήσεως εἰ κεκώλυται τὸ συνάλλαγμα, συνῆγε μὲν ἀρ-
B χιερεῖς συνῆγε δὲ καὶ τοὺς τοῦ κλήρου λογίους, καὶ συνάμ' ἐκείνοις καὶ πατριάρχην, ἐκεῖσε ὄντος καὶ τοῦ πρωτοβεστιαρίου· οὐδὲ γὰρ ἡ νόσος εἴα μακράν που τῶν ἀνακτόρων κατασκηνοῦν, ἀλλ'

7. λαμπρότερον? 16. πατριάρχῃ P.

tandem praepoiiere valuerunt, nec sic tamen assecuti quin magnam et late illustrem hic quoque, uti caeteri priores, fuuestus rogus in tempus posterum memoriam relinqueret, quamquam cito rursus coëuntes domini absumptarum aedium, et certatim emoliti strues cineris ambustorumque ruderum, solum ubi sitae illae fuerant non sine difficultate e signis tenuibus coniectura solerti agnoscentes, impigre reposueruut non minus operosas nec inferioris prioribus elegantiae moles per absentiam imperatoris, adeo ut is tandem urbi redditus gratularetur solo sibi aurium iudicio constare notitiam incendii, nullo iam oculis superstite sui vestigio sensibilis ob strenue restauratam speciosioribus etiam aedificiis omnis retro ruinae iacturam, cunctam plane iam amaritiem tristis auditus dulci laeti conspectus, magnificentius universa reposita monstrantis, voluptate diluente.

26. Eam hilaritatem festi sui reditus in urbem ex incendii calamitate pristino splendori restitutam insignire imperator voluit luculento sui affectus in protovestiarium ot magnum logothetam Muzalonem pignore, honore videlicet regiae affinitatis, qua illum aggressus admovero familiae Augustae, licet coeptis intervenisset obstaculum ingens, gratiae constantis abundantia quidvis eluctatus, denique quod destinaverat perfecit. ac principio quidem sub hoc tempus filiam Muzalonis fratri suo despondit Theodoro. verum celebratis iam sponsalibus, cum inopinatissimo puella deprehensa esset uterum gerere consanguinei cuiusdam incestu vitiata, quaestio nata est utrum illo flagitio fieret irrita desponsatio, et ecquid nihilominus liceret ulterius usque ad nuptias procedere. isti disceptandae controversiae congregavit episcopos imperator, eodem etiam adhibitis doctioribus e clero ipsoque patriarcha, praesente quoque protovestiario, qui propter morbum ventitare ad palatium o longinquo non valens, iussu Au-

αὐτό που διόλου ἔν τινι τῶν βασιλικῶν οἰκημάτων. ἐκεῖ τοίνυν συναγομένων αἱ σκέψεις ἐγίνοντο, εἰ ἐγχωρεῖ πορνείας ἐκείνης προβάσης συνίστασθαι τὸ συνάλλαγμα· καὶ ἐπεὶ τοῖς μὲν τοῖς δ' οὐδ' ὅλως ἐδόκει, ὁ βασιλεὺς ἀγάλλειν ἐθέλων ἐκεῖνον ᾧ δὴ καὶ συνέργῳ καὶ συμβούλῳ πρὸς πάντ' ἐχρᾶτο πρακτικωτάτῳ, C τὸ ἀμφίβολον παρεικώς, τῷ μὲν ἀδελφῷ τὴν τοῦ πιγκέρνη Λιβαδαρίου θυγατέρα ἐκ πρωτοβεστιαρίου ἐξευγενιζομένην πάππου συνεζεύγνυ πρὸς γάμους, τὴν δὲ τοῦ πρωτοβεστιαρίου Μουζάλωνος τῷ ἰδίῳ παιδὶ Κωνσταντίνῳ κατηγγυᾶτο. ἀλλ' οὔτε ὁ Κωνσταντῖνος δεσπότης ἦν πω ἐξ ἀξιώματος, μόνῳ δὲ τῷ υἱὸς βασιλέως εἶναι περιφανῶς ἐκλεΐζετο, οὔτε μὴν ὁ πρωτοβεστιάριος ζῶν εἶδε τοὺς γάμους, ἀλλ' ἐν ἐλπίσι μόναις καὶ προσδοκίαις ἐτελεύτα τὸν βίον. D τὸ δέ γε εἰς τέλος ἐξέβη προβληθέντος καὶ δεσπότου τοῦ Κωνσταντίνου, οὗ δὴ ὁ Θεόδωρος οὐκ ἠξίωτο. ἐκεῖνον γὰρ καὶ λίαν ἡ μήτηρ ὀρεγομένη δεσπότην κατιδεῖν παρὰ τἀδελφοῦ καὶ βασιλέως φημισθέντα, καὶ πολλὰ τὸν υἱὸν ἀναγκάζουσα, οὐκ ἐτύγχανε τῆς ἐφέσεως, οὐχ ὅτι ἦν τῇ μητρὶ ἀπειθὴς ὁ κρατῶν, ἀλλ' ὅτι τὸ εὐλαβὲς καὶ θεοσεβὲς διεκώλυεν· ἔφθασε

1. αὐτοῦ P.

gusti ad manum habere quem assidue consuleret studentis ferme in aedibus regiae viciuis aut iu parte domus ipsius Augustae solebat habitare. cum igitur iu ipso aegroti Muzalonis diversorio coram eodem seutentiae super proposito quod dixi arguueuto rogarentur, illaeque iu contraria distraherentur, quibusdam aientibus, negantibus aliis, imperator consolari cupiens adeo sibi carum et fidum homiuem, quo administro et consiliario peritissimo ad cuucta utebatur, disceptatione in ambiguo relicta fratri quidem couiugem dedit piucernae Libadarii filiam, cui nobilitatis praecipuae commendationem sfferebat, quod ex avo illsm protovestiarii dignitate conspicuo coustabat esse prognatam; filiam vero illam ipsam protovestiarii, licet corruptam, iam nuuc promisit se desponsurum Constantino proprio filio, qui uondum quidem despotae appellatioue bonorabatur, caeterum eo solo quod imperatoris erat filius, inter primos aulae cousentaneo tantae uobilitati splendore fulgebat. fueruut hae nuptiae uecessario dilatae, quod obducendum puellae vitium mora saltem quadam, et si quo modo posset, obliterandum videretur. itaque protovestiarius morbo pertinaci morti sensim admotus durare usque ad eius matrimonii cousummationem uon potuit: tamen affinitatis tam amplae sola licet spe ac certa expectatione praecepit gaudium, iu eoque vitam absolvit. eo mortuo rite celebratum id matrimonium est, et quidem Constantino iam ad despotae dignitatem evecto; quod minime consecutus Theodorus fuit, quantumvis eius mater valde cupiens isto decoratum nomine bunc quoque filium videre, instantissimis ab Augusto suo item filio contenderit precibus ut fratrem eo bonore diguaretur. at uumquam impetravit, uou quod erga matrem obsequium imperatori deesset, sed quouiam in hoc quidem obstabat religio pietati: casus enim quidam prius tulerat ut (nescio qua occasioue)

P 121 γὰρ ὁ κρατῶν οὕτω συμβὰν ὅρκοις ἀπειπεῖν αὐτῷ τὸ ἀξίωμα, καὶ διὰ τοῦτο τηρῶν τὴν ὁρκωμοσίαν οὐκ ἤθελε δεσπότην ἐγκαθιστᾶν. διδόντος δὲ διὰ ταῦτα τὸ σεβαστοκρατορικὸν ἀξίωμα, ἐκεῖνος οὐ κατεδέχετο. κἀντεῦθεν ἀγέραστος ἦν, ὅσον ἐξ ὀφφικίου καὶ ἀξιώματος, μόνῳ δὲ τῷ βασιλέως μὲν υἱὸς βασιλέως δ' ἀδελφὸς εἶναί τε καὶ κεκλῆσθαι, καὶ τῶν Ῥωμαίων δεσπόσυνος, ἐκλεΐζετο.

B 27. Ἐπεὶ δὲ καὶ τῇ τοῦ θεοῦ ἐκκλησίᾳ τοῦ προστησομένου ἔδει, ἐζητεῖτο ὁ δοκῶν ἄξιος. εὑρίσκετό τις ἀνὰ τὴν πόλιν Κοσμᾶς μοναχός, ἐκ Σωζοπόλεως μὲν τὸ γένος ἕλκων, ἐπὶ χρόνοις δὲ καὶ συζύγῳ συζήσας καὶ βίον ἱερατικὸν ἰδικῶς ἐξηνυκώς, C ἣν δὴ καὶ πάλαι καταλιπὼν μονάζειν αἱρεῖται συνάμ' ἀδελφῷ καὶ παιδί· καὶ δὴ καὶ ἐς πόλιν ὕστερον καταντήσας, ἐν τῇ τοῦ ἀρχιστρατήγου τοῦ βασιλέως μονῇ ἄλλας τε διακονίας ἐξήνυε καὶ αὐτὴν δὴ τὴν τοῦ ἐκκλησιάρχου. οὗτος εὔγηρως ὢν καὶ πραῢς ἀνὴρ καὶ τὸ σύνολον ταπεινός τε καὶ ἥμερος, κατὰ τὸν καιρὸν ἐκεῖνον τὸν τοῦ σκανδάλου, ἐπεὶ καὶ πέμπων ὁ βασιλεὺς μαθεῖν D ἤθελε τοὺς τῆς οἰκείας μονῆς ὅπως ἐπὶ τοῖς πραττομένοις γνώμης ἔχουσι, καὶ ὁποῖοι μὲν οἱ τῷ θελήματί οἱ προσκείμενοι, ὡς προσμενοῦντες τῇ μονῇ καὶ ἔτι, ὁποῖοι δὲ καὶ ὅσοι οἱ ἐναντίως ἔχοντες, ὡς αὐτίκα τῆς μονῆς ἀπελαθησόμενοι, μέρος γίνεται

iuraret imperator se uumquam Theodoro dignitatem despotae collaturum. quare metu conscisceudi periurii constans perstitit in hoc ei titulo negando. cuius vice oblatam sebastocratoris dignitatem Theodorus non admisit, ac propterea nulla insignis principalis potestatis appellatione mansit, sola conspicuus nomenclatione filii ac fratris Augustorum, et Romanorum desposyni, quasi dicas Romaniae dominantibus prognati cognatique, ac tam arto nexu qusdam imbuti summae contagione potestatis.

27. Quouiam vero ecclesia praeside egebat, et qui ei videretur idoneus muueri quaerebatur, repertus in urbe quispism monachus nomine Cosmas est, Sozopoli genus trahens, qui aliquot annis cum uxore vixerat et vitam sacerdotalem privatim exercuerat, sed coniuge dudum dimissa monasticam elegerat professionem, quam simul cum fratre et filio suscepit. bic postea in urbem adveniens, in mouasterio imperatoris, cui Archistrategi a saucto, cui est dicatum, coelestis militiae principe nomen est, cum alia exercuit ministeria, tum ecclesiarchae officio fuuctus est. senex is erat prosperae valetudinis specieique venerandae, vir mansuetus, modestiae in omnibus compositique citra tumorem ac fastum animi, nec non mitissimae clementiae specimen prae ferens. tempore illo factae ingenti offensione Graecorum cum Latinis pacis, cum imperator in proprium monasterium certos homines misisset iussos explorare cuius essent sententiae monachi, denuntiato cunctis fore ut permanere in loco siuerentur ii solum qui voluntati Augusti suam subiungerent, qui contra sentirent, statim eiicerentur, inter parere recusantes Cosmas hic fuit. unde post lon-

καὶ οὗτος τῶν ἀνθισταμένων, καὶ μετὰ χρονίαν ἑκούσιον φυλακὴν ἐν τῷ συγκαρτερεῖν τοῖς ἐγκλείστοις μεσιτείαις τοῦ Ἀλεξαν- E δρείας ἀπολυθεὶς, τὸν πρώην καιρὸν ἔχων ἐν τῷ οἰκείῳ τόπῳ κελλίον μοναχικὸν ἐν νήσῳ τῆς θαλάσσης ἐκείνης ἐκεῖ κατασκηνοῖ. ὁ μέντοι γε τηνικάδε μέγας κονοσταῦλος ὁ Ταρχανειώτης Γλαβᾶς, ὃν καὶ πρωτοστράτορα ὁ κρατῶν μετὰ ταῦτα ἐποίει, πολὺ τοῖς P 122 τῇδε τόποις ἐνδιατρίβων (καὶ γὰρ ἐπετέτραπτό οἱ τἀκεῖ πρὸς βασιλέως) ἰδὼν κἀκεῖνον, ἄλλως τε καὶ φιλομόναχος ὢν καὶ φιλάρετος, ἐνησμένιζε τῷ τοῦ ἀνδρὸς ἤθει, καὶ οἷον συντακεὶς αὐτῷ κατά τινα διάθεσιν πολλοῖς τισὶν ἐδωρεῖτο καὶ ἐκυβέρνα οἰκτιρμοῦ τρόποις καὶ χάριτος. εἶτα καὶ βασιλεῖ ἀναγγέλλει τὰ περὶ τούτου, καί οἱ ποιεῖται τὸν ἄνδρα ἐράσμιόν τε καὶ ποθεινὸν ἰδεῖν. διὰ ταῦτα καὶ ἄγων συνίστησί τε αὐτῷ βασιλεῖ καὶ τὴν ἰδίαν μο- B νὴν τὴν τῆς παμμακαρίστου θεοτόκου εἰς χεῖρας δίδωσιν. ὁ μέντοι γε βασιλεὺς καὶ λίαν ἐνησμένισε τῷ ἀνδρί, καί οἱ ἀγαπήσας τὸ ἦθος ἐν πνευματικοῖς ἔταττεν αὐτὸν πατράσι, καὶ ἀπεδίδου τιμὴν τὴν προσήκουσαν. μαρτύριον δέ· ἐπεὶ τῇ Κωνσταντίνου ἐπιδημήσαντι βασιλεῖ μιᾷ τῶν κυριωνύμων ἡμερῶν οἱ τοῦ κλήρου προσῆλθον, καὶ κατὰ ναὸν ἐν καιρῷ λειτουργίας στάντες ἀπένεμον τὴν προσκύνησιν, διάφοροι ὄντες πατριάρχῃ τότε διὰ τὰ προειρημένα, ὁ βασιλεὺς αὐτοῖς προσποιούμενος τὴν ὀργὴν C διὰ ταῦτα, τὸν μυστικὸν πρὸς τὸν συγγραφέα πέμψας, ἐζήτει

gam voluntariam custodiam, cuins aerumnas una cum pariter inclusis fortiter tulit, precibus Alexandrini patriarchae liberatus secessit in cellulam solitariam, qusm sibi prius in proprio paraverat praedio, apud insulam maris illius, ibique hsbitavit. frequens versabatur in iis locis magnus tunc conostaulus Tarchaniota Glabas, quem et postea protostratorem imperator fecit, quod huic procurationem rerum per eos tractus susrum idem Augustus commiserat. is per istam occasionem visum illic Cosmam, probitate viri captus, cum et alias monachorum amans et virtutis esset, miro amplexus amore est, sffectu in illum eius intimo ac vehementi qua donis plurimis qua significationibus omnis generis miserationis gratiaeque se prodente. idem porro imperatori subinde cum multa de hoc viro praeclara praedicaret, favorem in eum et eius videndi desiderium incussit. qusre ductum illum secum ex insula in urbem magnus conostaulus imperatori obtulit impenseque commendavit. moxque in manus ipsi tradidit proprium monasterium beatissimae deiparae. caeterum imperator multum delectatus Cosmse humanitate ac probis moribus eum spiritualibus suis patribus accensuit, congruumque isti dignitati honorem ac reverentiam exhibuit. huius indicium sit, quod cum ad recens reversum Constantinopolim imperatorem quadam die dominica in templo liturgiae tempore accessissent ii e clero qui ob causas prius memoratas a patriarcha dissidebant, illumque stantes venerarentur, imperator ipsis se palam infensum ferens, mystico ad huius historiae scriptorem misso, percunctatus de ipsis

μαθεῖν περὶ σφῶν παρ' αὐτοῦ τί παθόντες οὗτοι οὕτως ἀνέδην
προσῆλθον, μήδ' ὅλως ξυνιέντες ὡς ὑπ' ὀργὴν κεῖνται, τοῦ πα-
τριάρχου ἀποστατήσαντες. τοῦ δ' ὑπὲρ ἐκείνων ἀπολογουμένου
ὡς οὐκ αὐτόθεν ἦλθον ὦ δέσποτα, ἀλλὰ τῷ σῷ πατρὶ προσελ-
θόντες κυρίῳ Κοσμᾷ παρ' ἐκείνου τὴν πληροφορίαν ἔσχον ὡς σε-
συμπάθηνται παρὰ τοῦ κράτους τοῦ σοῦ, αὐτὸς πάλιν ἀνταπο-
D στείλας τὸν αὐτὸν μυστικὸν ἄλλα τε πολλὰ προσεμαρτύρει ἀγαθὰ
τἀνδρί, καὶ ὡς ἀποθανόντος αὐτίκα, εἰ μὲν ἐκκλησία θέλοι τε
καὶ τιμῴη ὡς ἅγιον, καὶ αὐτὸν ἐν πρώτοις τὴν ἐκείνων ἀποδέχε-
σθαι γνώμην διωμολόγει καὶ τιμᾶν τοῖς προσήκουσιν, εἰ δ' οὐ
δοκιμάζοι τοῦτο ἡ ἐκκλησία, αὐτὸν καὶ αὖθις τῆς αὐτῆς εἶναι
γνώμης, καὶ μεγαλύνειν τὸν ἀπελθόντα καὶ τιμᾶν ὡς ἅγιον. τόσον
E ἐπληροφορεῖτο, ὡς ἐδόκει, βασιλεὺς ἐπ' αὐτῷ. ὡς γοῦν συνελ-
θοῦσι τοῖς ἀρχιερεῦσι περὶ πατριάρχου ἡ ζήτησις ἦν, τὸ μὲν καὶ
αὖθις καταναγκάζειν τὸν Γεννάδιον δοκοῦντα πρὸς τοῦτο χρήσι-
μον, καθάπαξ ἀπειπάμενον τὴν ἀρχιερωσύνην, οὐκ ἔγνωσαν εὐ-
πρεπές, ἄνδρα δὲ ζητεῖν ἐφ' ᾧπερ ὁ βασιλεὺς πεπληροφόρηται,
τῶν ἀναγκαιοτάτων ἐνόμιζον. καὶ λοιπὸν οὐδένα εὕρισκον τοῦ
Κοσμᾶ ἀξιώτερον καὶ ἄλλως ἁρμόδιον τῷ καιρῷ· μετὰ γὰρ χει-
P 123 μῶνα ἡδὺ τὸ ἔαρ καὶ μετὰ ζάλην ποθεινὴν γαλήνην εἶναι τοῖς
πλέουσιν, καὶ μετὰ τρικυμίας καὶ ζάλας πραγμάτων καὶ ἠθῶν

ex eo est, unde hi tantum auderent, nec se coram apparere vererentur, cuius indignationi se subiacere nou uescirent ob ipsorum defectionem a patriarcha. illoque sic ipsos excusante "non sine auctore, domine, istam fiduciam sumpserunt, sed prius convento patre tuo domino Cosma persuasi ab eo sunt ignovisse iam ipsis maiestatem tuam," hoc responso per mysticum relato, per rursus missum eundem mysticum multa in laudem viri congessit, in his illud, si Cosmas statim moreretur et ecclesia volente coli eum pro sancto contingeret, se in primis comprobaturum ecclesiae sententiam, et devotionem in eum suam religiosis rite officiis testaturum. sin ecclesia cunctaretur sacros ei decernere honores, se tamen in proposito perstare magnificandae talis defuncti memoriae, et ea quae sanctis tribuitur veneratione prosequendae. tantum ei viro tribuebat imperator, et tam certa erat opinione praeoccupatus insignis cuiusdam eius sanctimoniae. caeterum congregatis antistibus, et quem eligerent in patriarcham disquirentibus, haud visum conveniens, quem alioqui aptum ei muneri haberent, postquam id semel oblatum recusaverat, iterum solicitare Gennadium. at in primis necessarium, virum ad hoc quaerere, quem magnifaceret cuique plurimum imperator fideret. neminem autem ista quidem nota insigniorem Cosma reperiebant; quem praeterea videbant accommodatum tempori: esse quippe post hiemem ver dulce, post tempestatem exoptari navigantibus serenitatem: sic post procellas fluctuantium negotiorum, post morum immanium malignam acerbitatem, mite tempera-

σκληρῶν ἀνωμαλίαν καὶ κάκωσιν μαλακὸν ἦθος καὶ ἥμερον αὐτόθεν ἀπόδεκτον. ὅθεν καὶ μιᾶς γεγονότες γνώμης τοῦτον ψηφίζονται. ἦν γὰρ ὁ ἀνὴρ ταῖς ἀληθείαις, πλὴν ἑνὸς τοῦ ἀμηγέπη φιλοκερδεῖν ἐξ ἁπλότητος καὶ ἰδιωτείας, ἀλλ᾿ οὐκ ἐκ πάθους ἐντετηκότος ψυχῆς, τἆλλα προσήκων τῇ ψήφῳ· τὸ γὰρ συμπαθές, B ὅπερ καὶ θεοῦ τοῖς ἀνθρώποις ἴδιον λέγουσιν, ὑπὲρ τἆλλα τῆς ἐκείνου ψυχῆς μεθ᾿ ἱκανῆς ἁπλότητος ἐπεπόλαζε.

28. Ταῦτα μαθὼν ὁ βασιλεὺς ἀποδέχεταί τε ὡς εἰκὸς C τὴν ψῆφον, καὶ προσκαλεῖται μηνύμασι, καὶ εὐθὺς κατανεύει, καὶ πρὸς τῷ προβληθῆναι ἦν, καὶ ἡ κυρία παρῆν, καὶ πάντ᾿ ηὐτρέπιστο. ἦν δέ τις μοναχὸς Γρηγόριος ἐν τῇ τοῦ Παντεπόπτου μονῇ, ὃς ταῦτ᾿ ἀκούων παρὰ τοῦ οἰκείου ἡγουμένου Λουκᾶ τὸν λόγον οὐ παρεδέχετο· μηδὲ γὰρ Κοσμᾶν ἀλλ᾿ Ἰωάννην ἐντεῦθεν μέλλειν γενέσθαι, κἂν ὅ τι γίγνοιτο, μὴ εἶναι τὸ βουλευόμενον ἀνυστόν. τοῦτο δ᾿ ἔλεγεν ἐκ βίβλων ἔχων, οἶμαι, ἀλλ᾿ οὐκ ἔκ D τινος θειοτέρας μυήσεως. ὡς γοῦν πάντ᾿ ηὐτρέπιστο καὶ ἡ κυρία ἐπέστη, καὶ ὁ μὲν προβληθησόμενος ἤγετο, ὁ δὲ Γρηγόριος ἐνστατικῶς τὴν πρᾶξιν ἀπέλεγεν, ὡς εἶναι τῶν ἀδυνάτων Κοσμᾶν μένοντα τοῦτον πατριάρχην γίνεσθαι, εὐθὺς ὀστράκου μεταπεσόντος, φασίν, αὐθημερὸν Ἰωάννης μετονομάζεται, οὐ γνωσθέν τισι

12. ὃς om. P.

mentum humauae clementisque indolis ipsa requiri conditione praesentium rerum. quare uno cuncti consensu Cosmam designant patriarcham, dignum re vera tali ludicio locoque, quippe in quo laudes inter omnis generis plurimas unus emineret naevus attentioris ad lucrum cupiditatis, nec illius vitio imputabilis impotenter affixi studio habendi avareque sordidi animi, sed parum circumspectae simplicitati. prona quidem ad compatiendum infelicibus miseratio, qualem deo erga homines inesse peculiarem aiunt, eius viri animae cum idonea mistura simplicis sinceritatis innatabat.

28. Hoc ubi perlatum ad imperatorem est, approbavit ille, ut par erat, electionem, indicataque re Cosmae invitavit eum ad capessendum delatum honorem; quo statim annuente apparari promotio est coepta. iamque constituta dies aderat, paratis ad ceremoniam omnibus. erat autem quidam monachus Gregorius in Pantepoptae monasterio, qui quid pararetur andiens a suo praeposito Luca, haud credidit nuntio, pertendens non Cosmam sed Ioannem vocatum iri qui proxime foret ad patriarchatum promovendus. in eoque tam fixus erat ut qualescumque quorumvis in contrarium molitiones casuras in irritum plane affirmaret. eam ille persuasionem e libris, opinor, hauserat, non ex ulla divina revelatione. apparatu nihilominus rei decretae procedente, cum iam illuxisset dies dicta et Cosmas promovendus duceretur, perstabat instantius Gregorius coeptum successurum pernegans, ac ne fieri quidem posse, intrepide aiens, ut hic quamdiu Cosmas permaneret, patriarcha crearetur. statim igitur, velut lapsu, quod aiunt, tegulae, ipsa die Ioannes transnominatur, sive

πρότερον ἢ εὐφημουμένου τοῦ προβληθέντος. τότε παρὼν ὁ E Λουκᾶς καὶ ἀκούσας τέθηπέ τε εὐθέως, καὶ ἀπελθὼν ἐξαγγέλλει τῷ Γρηγορίῳ τὸ δρᾶμα, καὶ τότε ὁ Γρηγόριος πιστεύσας μᾶλλον τοῖς γράμμασιν, ἢ πείθειν ἄλλους σπεύδων, καὶ τὰ λειπόμενα προσετίθει, καὶ ὡς τόσους χρόνους πατριαρχεύσει καὶ ὡς οὐ τῇ τιμῇ ἐπαποθανεῖται. καὶ ταῦτα γέρων ὢν καὶ πρὸς τῷ θανάτῳ P 124 προέλεγεν. ἀλλ' ἐκεῖνος τὴν ποιμαντικὴν βακτηρίαν λαβὼν παρὰ τοῦ κρατοῦντος, ὡς εἴθιστο, τιμᾶται καὶ διβαμβούλῳ. καὶ πρώτῃ Ἑκατομβαιῶνος μηνὸς τὴν χειροτονίαν δέχεται.

Ἐντεῦθεν ἐκείνου πᾶσαν ἐνδειξαμένου τοῖς πράγμασιν ἡμερότητα, τὰ τῆς ἐκκλησίας μέλη καὶ μέρη, ἃ δὴ χθὲς καὶ πρὸ τρίτης διῃροῦντό τε καὶ διίσταντο ἐξ ἀντιπνοίας κυμαινούσης σφόδρα, συνηρμολογοῦντό τε καὶ καθίσταντο, οὐ μὴν δ' ὥστε B καὶ τοὺς τῆς ἐκκλησίας τελείαν ἄγειν εἰρήνην, τῶν μὲν ἐπισχομένων τέλειον διὰ τὴν χθεσινὴν ἀκαταστασίαν, τῶν δέ, εἰ καὶ εἶχον τούτους ἐν τάξει τοῦ βήματος καὶ συλλειτουργούς, περιορωμένων ἐν μείζονι προκοπῇ, τῶν μοναχῶν προτιμωμένων ἐν ψήφοις ἀρχιερότητος. ὅμως γε μέντοι (τὸ γὰρ κοινὸν οἰστόν, κἂν

id praeterea nomen ille antea, sed paucis notum, ferret, seu cognitam Gregorii offensionem placare designatus voluit facili mutatione nominis. audito Lucas, qui praesens aderat, vocari nunc Ioannem qui prius Cosmas audiebat, accurrit nuntiatum Gregorio miram catastrophen. tunc vero Gregorius, magis credens ipse fatidicis quas legerat literis quam persuadere aliis satagens, reliqua subiunxit ibi a se reperta, nempe tot illum annos in patriarchatu futurum, nec vitam in ea dignitate clausurum. atque haec praedixit senio confectus et morti vicinus. at Cosmas accepto, ut erat solitum, ab imperatore pastorali baculo, honoratur et Dibambulo, kalendisque Ianuarii ordinationem accipit.

Inde illo aggresso regimen, et omnem in administratione negotiorum mansuetudinem exhibente, cuncta ecclesiae membra et partes, quas heri et nudius tertius flans ex adverso vehemens procellosus turbo dissociaverat ab invicem passimque disiecerat, adaptabantur et componebantur, non tamen ita ut ecclesiastici pace plena fruerentur, quibusdam eorum, quasi ex concussu nuperae iactationis, adhuc instabiliter nutantibus, aliis aegre ferentibus presbyterii duntaxat tenus provehi homines ipsorum ordinis, summumque quem sperare honorem possent definiri consessu cum antistitibus communi intra cancellos, et participando cum iisdem sacro altaris ministerio; in occasionibus ulteriorum promotionum despici clericos unorum rationem haberi monachorum, his solis episcopatuum suffragia currere. moderatius tamen singuli communem universis molestiam ferebant, ut cuivis tolerabile censetur vulgatum in multos pariter malum, et quantumvis acerbus per se patetur nec ferendus dolor, consortio sociorum et paritate conditionis omnes aeque prementis aliquid amittere vulgo creditur innatae gravitatis, ac consolatione nonnulla leniri. hac isti usi et se ipsos

τῶν λυπηρῶν λογίζηται καὶ ἀνύποιστον) διέφερον τὴν ὀδύνην με-
τρίως, καὶ τὸ ἐξ αὐτῶν εἰρηνεύοντές τε καὶ γαληνῶς ἔχοντες θεῷ C
προσανετίθουν τὰ καθ' αὑτούς. ὁ γὰρ Κοσμᾶς οὗτος καὶ Ἰωάν-
νης ἔτι μὲν ἐκτὸς ὢν τῶν πραγμάτων καὶ ἰδιωτεύων ἐφ' ἅπασι τὸ
ἐπὶ τοῖς τῆς ἐκκλησίας τελούμενον ἄδικον ἔκρινε καὶ παντάπασιν
ἀκανόνιστον, καὶ δῆλος ἦν, ὡς ἐῴκει, εἰ αὐτὸς ἐπισταίη τοῖς
πράγμασι, λύσων τὴν καταδίκην ὡς ἱεροῖς ἀνθισταμένην κανόσι
καὶ καιρικαῖς ἀναφυσηθεῖσαν ἀνωμαλίαις, αἷς δὴ καὶ τὸ καθε-
στηκὸς ταράσσεσθαι πέφυκε, φύσιν ἔχοντος τοῦ κακοῦ μὴ μόνον D
ἐκεῖνο μένειν κακόν, ἀλλὰ καὶ πολλοῖς ἐπιφύεσθαι. ἐπ' αὐτῶν
δὲ γεγονὼς τῶν τῆς ἐκκλησίας πραγμάτων ἄστρασι τὰ κατ' ἐκεί-
νους ἐῴκει μετρεῖσθαι, συνυπαγόμενος τοῖς λοιποῖς. ὅθεν καὶ
πολλάκις τινῶν ἐπικλαιομένων ἐπὶ συνόδου καὶ τὴν κωφὴν κατα-
δίκην ὀδυρομένων, ἐκεῖνοι μὴ ἔχοντες ὅπῃ ἂν στῶσι καὶ ἀπερεί-
σωνται (τὰ γὰρ τῶν κανόνων καὶ θεσμῶν τῶν πατέρων προσί- E
σταντο ταῖς βουλήσεσι καὶ ἔλεγχος σφίσιν ἦσαν) ἐπήρειδον τὰς
πράξεις τῷ βασιλεῖ, αὐτοὶ μὲν τῶν κειμένων καταρραθυμοῦντες
κανόνων, τῷ δέ γε κρατοῦντι τῆς παραβασίας ἐχρῶντο κατὰ τὸ
δυνατὸν προτειχίσματι.

in pace continebant, et tranqnillitatem pro se pnblicam, ab allis inquietandis abstinendo, invabant, deo permittentes curam rationnm ac iurium suornm, quadam etiam, praesertim initio, mutationis in melius blandiente spe, inde orta, quod Cosmas hic, modo Ioannes, priusquam admoveretur negotiis et privatam in cunctis vitam ageret, morem istum in ecclesia receptum provehendi monachos in episcopatus, clericis exclusis, iniqnnm iudicabat et plane contrarium canonibus; praeque se ferebat, si unquam praeficeretur administrationi rerum, huic praeiudicio derogaturum ut sacris opposito regulis et iniqnitate conflato turbulentorum temporum, per quae solent vel sollde stabilita concuti labefactatisque legitimis usibus sensim ingeri abusus, mali natura haod se continente intra sese, sed erumpente ac propagante labem propriam in depravationem prins rectornm, ad quae adrepere potuerit. quamqunm haec quidem ipsis in irritum fidncia recidit. nam Cosmas ubi coepit res ecclesiasticas administrare, velut astris indnctam et fatali necessitate, qnam privatus improbaverat, consnetodinem retinuit, ac torrente quasi tractus exempli, decessorum et ipse in hoc quoque vestigiis insistere perrexit. unde saepe multis in synodo deplorantibns tacitam illam reprobationem clericorum et de tam inrioso talis ordinis neglectu quiritantibos, qui rebns praeerant, haud habentes ubi consisterent, quod omnem ipsis excusationem praecludebant canones et scita patrum, palam adversantia nuperis hodiernisque actis ac decretis eius generis, cui pares ferendae non erant, invidiam in Augustum conferebant, eo sub obtentu secnre iam indormientes ipsi manifesto neglectni frustra iacentium in chartis antiqnis canonnm; quorum minas velut omnes et incursns eludebant, quantum poterant, nomine imperatoris quasi vallo illis quodam ac propugnaculo obiecto.

P 125 29. *Τότε καὶ βασιλεὺς Κρονίου μηνὸς ἐνστάντος, οὐκ
οἶδα εἴτε παρὰ τῆς μητρὸς καὶ δεσποίνης ὡς ἄδικα πράξας πρὸς
τὸν κάσιν παρακνιζόμενος, εἴτε μὴν καὶ προφανῆ θέλων θεῖναι
Ῥωμαίοις τὸν ἐκείνου πρὸς ἑαυτὸν δόλον καὶ τρόπον, συμπάντας
ἀγορήνδε καλεῖ, καὶ ἐν τῷ Ἀλεξιακῷ τρικλίνῳ προκαθίζεται μὲν
B αὐτός, συνεδριάζουσι δ' οἱ ἐν τέλει ἀρχιερεῖς τε καὶ κληρικοί,
παρίσταται δὲ καὶ τῶν τῆς πολιτείας ὅσον περιφανές τε καὶ ἔκ-
κριτον. καὶ δῆλα τά τε κατ' ἐκεῖνον καὶ τὸν Στρατηγόπουλον
γίνονται. καὶ τὸν μὲν ἐμφανίζειν εὐπρεπὲς οὐκ ἐδόκει, τὸν δέ
γε Στρατηγόπουλον ἐπὶ τοῦ μέσου παραστησάμενος τὰ κατ' ἐκεί-
C νων ἐκίνει, ὡς ἐλεγχθεῖεν τά καὶ τὰ λέγοντες καὶ τὰ βουλευσά-
μενοι, κἀντεῦθεν δικαίαν ἢ μᾶλλον καὶ συμπαθῆ τὴν κατ' ἐκεί-
νων παρίστα ψῆφον.*

D 30. *Τότε καί τις τῶν Βουλγάρων ἔκποθεν φανεὶς αὐτό-
ματος Λαχανᾶν τε ἑαυτὸν ἐπιφημίζει, καὶ δῆλος ἦν πραξείων
κατὰ τῶν ἐχθρῶν, εἰ βασιλεὺς ἐπιτρέποι, τὰ μέγιστα. τὸ μὲν
οὖν πρῶτον καὶ αὐτὸν ἐθορύβησε βασιλέα, εἰ ὃν εἶχον πεφονευ-
μένον παρὰ Νογᾶ τοῦ τῶν Τοχάρων ἄρχοντος, τοῦτον βλέπουσι
E ζῶντα καὶ τὰ μεγάλα περὶ αὐτοῦ φανταζόμενον. ὅθεν καὶ τῆς*

29. Tunc porro imperator sub initium mensis Martii, haud scio an quiritationibus matris Augustae, inique actum ab eo cum fratre causantis, stimulatus, an alioqui sua interesse ratus cognosci a Romanis clare quae Constantinus despota suus germanus et cum eo conspirans Strategopulus fraudulenter in se fuissent ingrateque machinati, universos in coetum communem vocat. atque in Alexiaco triclinio praesidet quidem ipse, assident autem ei, qui magistratus ecclesiasticos primarios gerebant, episcopi et clerici. adstabant lectissimi et illustrissimi quique civium. ibi recitantur, quae despota, quae Strategopulus essent deprehensi clam moliri. ac illum quidem haud conveniens est visum producere. in solo Strategopulo in medium adducto tota est communis utrique convictio peracta. oppositis ei scilicet irrefragabilibus argumentis et testimoniis coactus est recognoscere, quid rerum novarum movere studuisset, quibus esset iudiciis coniuratio detecta, quae verba utriusque a fidis delatoribus excepta, quae arcana consilia certo fuissent explorata. his imperator demonstrandis id videlicet assecutus est, ut quae prius quibusdam videri severa potuerat amborum damnatio ac poena, iam pro gravitate criminum lenis ac moderata censeretur.

30. Ea tempestate Bulgarus quispiam alicunde sponte prodiens, se Lachanam esse illum dudum ibi celebrem iactavit, ostentans etiam sese imperatori, ac paratum offerens ad aggredienda in hostes, si permitteret, maxima. his imperator auditis turbatus primum est admiratione inopinatae novitatis, haud capiens quo casu, quem satis constabat a Noga Tocharorum principe fuisse iam pridem interfectum, is non vivus modo conspiceretur, sed magna etiam polliceri de se ac cogitare auderet. quare

ἰδίας αὐτανεψίας Μαρίας, τῆς καὶ τῷ Λαχανᾷ συνοικησάσης πάλαι, ᾧ δὴ καὶ παιδίον θῆλυ ἀπέτεκεν, δεικνὺς ἐξ ἀδήλου ἐπυνθάνετο εἰ αὐτὸς εἴη ταῖς ἀληθείαις ὁ Λαχανᾶς. τῆς δὲ μὴ ὅπως ἐκεῖνον εἶναι, ἀλλ' οὐδὲ τὸ παράπαν ἐοικέναι οἱ διαβεβαιουμένης P 128, ἐν οὐ καλαῖς ὑπονοίαις εἶχον τὸν βάρβαρον. ὡς δὲ καὶ αὐτὸς ζάκοτός τις φαινόμενος οὐκ ἄντικρυς οὐδ' οὕτως ἑαυτῷ περιετίθει τὸν Λαχανᾶν, εἰ καὶ λέγοιτο, ἀλλ' ὅμως εὐλάβειάν τινα περὶ τὸ θεῖον ὑποκρινόμενος ἐδίδου τισὶν ὁρῶσι τὰ μέγιστα περὶ ἑαυτοῦ φαντάζεσθαι, ἐκεῖνον μὲν ἐν τηρήσει εἶχον καὶ φυλακαῖς ἐδίδουν, τὴν τῶν πολλῶν ἐλπιδοτρίβησιν ἐπ' αὐτῷ ἐντεῦθεν ὑποτεμνόμενοι· μηδὲ γὰρ ὅλως εἶναι βάρβαρόν τε B καὶ πλάνον κατανοούμενον ἀγαθόν τι ποιεῖν. πολλοὶ δ' ἐπ' ἐκείνῳ οὐχ ὅπως ἀκούοντες ἐλπιδοκοπούμενοι, ἀλλὰ καὶ τὰς ἐλπίδας ἱστάντες (τοῖς γὰρ πονοῦσιν ἐσχάτως ἐκ τῶν παρόντων εἰς θεραπείαν μηδὲν βοηθουμένοις καὶ οἷς ἤλπισαν, ἅπτεσθαι καὶ τῶν ἁπλῶς δοκούντων χρησίμων ἀνάγκη, καὶ μᾶλλον, εἰ ξένα τινὰ εἴη καὶ μὴ συνήθη τὰ προσαγόμενα) οὕτως ἐκεῖνοι κακούμε-

6. οὗτος?

data prins opera ut hunc hominem certo productum loco Maria patruelis sua curiose inspiceret, ipsa non observata, ex ea deinde percunctatus est ecquid esset is revera Lachanas; in quo falli talis utiqne mulier nequiret, uxor olim veri Lachanae, ex quo conceptam peperisset filiam. quae cum uon modo esse istum Lachanam negasset, sed etiam affirmasset nihil prorsus in eo se observasse Lachanae simile, haud parum suspectum imperatori et iis qui sub eo res curabant hunc reddidit barbarum. unde cum hunc observassent ad affectationem subitae ac vehementis excandescentiae, qui erat nnus ex characteribus indolis Lachanae, haud satis a qnamlibet conante tamen expressus, adiungere simulationem astutam fanaticae pietatis, qno et ille in primis artificio valuerat, et hic non impari successu ista potissimum illecebra multorum in se levium hominum spebus se vanis efferri sinentium expectationem et studia vertebat, non de nihilo veriti ac praevertendum rati motum aliquem multitudinis insanae, seqni ducem hunc quocunque duceret paratae, barbarum impostorem comprehensum custodiae dederunt, hoc ipso satis reum et poena dignum, quod esset manifeste deprehensus simulare personam alienam, fraudemque illam ad nihil nisi damnosum ac periculosum quieti publicae pertinere appareret. id ut magis tunc necessarium consilium praecautioque videretur, faciebat conditio illorum temporum et miser status regionum Orientalis limitis, Persarum incursionibus agi ferrique solitarum. infelices enim illi frustra imploratis aliis undecumqne praesidiis, ad famam istius velut novi ostensi vindicis cupidissime animos arrexerant, more usitato imbecillitatis humanae, cui conflictanti periculis extremis si verum auxilium non suppetat, falsa noxiaque avide arripit, et si quid praesertim superstitionis quodam obtentu numinis ac coelo missae novitatis speciem praeferat, velut e machina deum excipit. itaque in illo gemitu ac consterna-

*νοι τοῖς ἐχθροῖς, ἤδη δὲ καὶ αὐτοὺς ἐκείνους Πέρσας μανθάνον-
τες ὡς εἶεν ὀρρωδοῦντες τὸν βάρβαρον φημισθέντα σφίσιν ἔκ τι-*
C *νων τῶν παρ' αὐτοῖς μαντειῶν, καὶ πρὸς τὴν ἀπ' ἐκείνου βοή-
θειαν ἀφεώρων, καὶ καθικέτευον ἀπολυθῆναι τοῦτον καί γ' ἐκ-
χωρηθῆναι κατὰ τῶν ἐχθρῶν μετὰ Ῥωμαίων ὁρμᾶν· τὴν γὰρ
πρὸς αὐτὸν ὀρρωδίαν, ἣν εἶχον οἱ βάρβαροι, εἰς θάρρος τὸ
ὑπὲρ ἑαυτῶν ἔχοντας ἑτοίμους εἶναι μετ' αὐτοῦ καὶ προκινδυ-
νεύειν καὶ μηδὲν ἐλλείπειν τῶν ὅσα καὶ ἀγαθὸς ἀνὴρ πράττοι
μετὰ τῆς ἀρετῆς καὶ τὸ θαρρεῖν ἔχων. ταῦτ' ἀκούων καὶ βα-*
D *σιλεύς, καὶ ὁσημέραι περὶ τῶν ἰδίων πονῶν, ἐπὶ νοῦν τινὰ ἔρ-
χεται ὅτι πολλάκις καὶ ὃ δὴ ἰατρὸς τῷ κάμνοντι ἀπηγόρευσεν ὡς
αὐτίκα τεθνηξομένῳ εἰ προσενέγκαιτο, τοῦτο κατὰ τὸ λεληθὸς ὁ
νοσῶν προσενεγκάμενος ἐξ ὀρέξεως παράλογον εὗρε τὴν θερα-
πείαν, καὶ ἡ μὲν τέχνη οὔπω ἐλέγχεται φαύλη τις οὖσα, τὸ δὲ
συμβὰν ἔκ τινος τυχηρᾶς προσπαθείας ὠφέλησε, τῷ σφοδρῷ
τῆς ὀρέξεως ἀναρρωσθείσης ὡσανεὶ κατὰ τῆς νόσου τῆς φύσεως.*
E *τί γοῦν, φησίν, εἰ καὶ Λαχανᾶν μὴ ὄντα μηδέ τινα ψῆφον περὶ
ἑαυτοῦ διδόντα τὸν βάρβαρον, ὅμως φοβερὸν μὲν τοῖς ἐχθροῖς*

tione quotidianarum a Persis grassationum audientes existere aliquem qui se divinitus missum diceret ad hostes imperii delendos, et eodem adiungentes vaticinia quaepiam inter ipsos vulgata, polliceri simile aliquid visa, magnopere optabant dari ducem sibi qualemcumque istum Lachanam; et carcere detineri cum audissent, multis et solicitis precibus imperatorem fatigabant ne divinitus destinatum malorum extremorum ipsis remedium invideret, neve diripi se impuneque spoliari miserrimos sineret, defensore coelitus ostenso inique arcendo a invadis, quibus aliud nusquam appareret cladium et calamitatum extremarum effuginm. huiusmodi preces per multos subinde missitatos a populis illorum tractuum ingestae imperatori, et ab eo consiliis quae dixi mordicus haerente toties reiectae, cum nullo fine invidiosissime ingeminarentur, glisceretque iam murmur, et plebs illa fremeret non modo se, a quibus par esset, non protegi, sed promptis sibi ad bellandum hostesque repellendos arma, ducem, se suaque suo periculo laboreque propugnandi copiam ac veniam facilem negari, his concussus reputare secum coepit imperator et consiliariis proponere, "etiam medicos desperatis aegris usum remedii permittere, quod sibi profuturum ipsi, quamlibet insane, sperent. quid ergo tantum mali fore, si flagitantibus hisce populis indulgeatur quod perdite cupiunt? quin et ut mira nonnumquam accidunt, et casu res interdum melius quam consilio geruntur, forte successurum non improsperum quidpiam. nam validas vires extremo afflictis morbo non raro ipsam adiicere phrenesim, et probare inopinato eventu interdum infirmos se re vera potuisse, quod cum ante factum se posse dicerent, mentiri aut delirare putabantur, summa contentione, quae sequi solet impotens desiderium licentiam diu negatam rei tentandae tandem nactum, cuncta obstantia perrumpente. scimus falsum hunc Lachanam planum ac nebulonem esse: quid tamen noceat eum exposcentibus concedere? eat, pugnet, volens volentes contra Persas hoc ipsum, ut audio,

δόξαντα χρήσιμον δὲ καὶ τοῖς κακουμένοις, αὐτὸν ἀπολύοι καὶ ἐπιτρέποι στρατεύειν, καὶ μᾶλλον ἐξ ἐγγίονος πείρας ἐν τῇ τῶν Ἀλιζώνων γῇ κατὰ Σάγγαριν. ταῦτα διανοηθεὶς καὶ μετὰ τῶν οἰκείων σκεψάμενος ἀπολύει, προσετοιμάσας ἐκείνῳ καὶ τὰ καθήκοντα. οὗ δὴ καὶ ἐξελθόντος ὡς εἶχε, καὶ μόνον τῆς ὁδοῦ ἁψαμένου ἅπας συνεκινεῖτο καὶ ὁ πόρρω καὶ ὁ ἐγγύς, καὶ οὐδὲν P 127 ἦν εἰκάζειν εἰ μὴ αὐτῆς οἰκουμένης καὶ γῆς μετακίνησιν. οἱ γὰρ ἐπὶ τῶν γεωργικῶν ἔργων καὶ σκαπάνης οὐ πλέον εἰδότες καὶ τοῦ κεντρίσαι τὸν βοῦν, καὶ ποιμένες θρεμμάτων καὶ ἄγροικοι ἐκεῖνοι τὰς οἰκείας χώρας ἀφέντες καὶ αὐτὰς γεωπονίας, ἐν ῥάβδοις μόναις καὶ ταῖς καλαύροψιν αὐτόματοι κατεφαίνοντο στρατιῶται καὶ ὁπλῖται ἄοπλοι καὶ συντάξεις ἀσύντακτοι, τὸ ὑπὸ Λαχανᾷ τετάχθαι εἰς θάρρος μέγα τοῦ νικᾶν ὅπου φανεῖεν σὺν αὐτῷ θέ- B μενοι. ἀμέλει τοι καὶ ἡμερῶν ὀλίγων περὶ ἐκεῖνον ἄπειρον πλῆθος συνῆκτο ξυγκλύδων, μὴ πολέμων εἰδότων, μὴ παρατάξεως, τὸ τῆς παροιμίας αὐτόθεν πληρούντων, ὅτι γλυκὺς τοῖς ἀπείροις ὁ πόλεμος. οὐδὲ γὰρ ὡς πολεμήσοντες ὥρμων, οὐδ' ὡς προσβαλοῦντες ἐχθροῖς, ἀλλ' ὡς σκύλων ἐπιβαλούμενοι καὶ παίξοντες μᾶλλον ἢ σπουδάσοντες. ἡ μὲν οὖν ἐκείνων ὁρμὴ περὶ τὸν C νέον στρατηγὸν τοιαύτη τις ἦν ὡς μηδὲ στῆναι πληθουμένους,

formidantes ducat. si temeritas praeter spem felix fuerit, hostium cladem lucro apponemus: sin, quod est verisimilius, vincetur, et ipse imposturae, et qui temere accersiere, inconsultae cupiditatis poenas luent, eventu non usquequaque nostris rationibus incommodo; utcumque res ad extremum cadet, constituto nobis interim fructu praesenti talis consilii, eo ipso quod hoc homine Halizonibus amnis Sangaris accolis, Persarum limiti finitimis, duce, prout flagitant, imponendo, et e difficultate, quae nunc urget, explicabimur, et invidia nos exonerabimus ingenti." haec cum suis locutus imperator Pseudo-Lachanam, praeparatis, quantae sufficere sunt visae, instructum copiis, emittit. at ecce vix se ille in viam dederat, cum motus illarum gentium extitit maximus. concurrebant ad eum passim omnes vicini iuxta at longinqui, trepidatione ac tumultu tanto ut mundus universus concuti et terra ipsa funditus commoveri videretur. opere rustico agricolae ac pecuarii relicto, qui nihil nisi ligonem quo terram fodiebant, nisi stimulum quo boves increpabant, tractare antea didicissent, pugnas nunc et acies fremebant, virgasque ac peda vice hastae aut lanceae gestantes apparebant subitarii velites, genus novum militiae inermis, acies sine ordine. sed fiduciam victoriae certam auguriumque non dubium trahebant ex eo solo, quod militarent auspiciis desideratissimi ducis sui Lachanae. conflatur momento turba innumerabilis trudentium se mutuo ac praevertere certantium; festinantium cunctorum ad novi ductoris signa. nusquam verius vetus illud verbum, dulce bellum inexpertis. plane rudes omnis bellicae artis, ab aratris atque a caulis convenae, ludibundi praelia meditabaatur, aut potius spoliis praedisque inhiabant. non stare intra vallum, non tenere locum, non servare ordinem scire; quo cuicumque

οὐ κατ' ὀλίγον ἀλλὰ τρόπον πυρὸς κατ' ἀναλογίαν τὴν πολλαπλάσιον, ὡς ἅμα μὲν ἐξιέναι σὺν πολλαπλασίοις τούτων, δίκην ῥυάκων ἐπιρρεόντων τῶν ἀγροίκων ἐκείνων καὶ βουκαίων καὶ βοωτῶν. τοῦτο μαθὼν βασιλεύς, καὶ περὶ τῷ λαῷ δείσας μή τι D πάθοι προσβαλὼν ἀσυντάκτως καὶ ἀμαθῶς, εἰ δ' οὖν, ἀλλὰ καὶ μή τι νεωτερισθείη ἐπιτυχόντων, πέμψας εἰς αὐτὸν μετακαλεῖται τὸν βάρβαρον, καὶ ἐλθόντος ἀποχειροτονεῖ παραυτίκα τὸν στρατηγὸν καὶ ἐν τῇ πρεπούσῃ τηρήσει εἶναι προστάσσει. τὸ δ' ἀμαθὲς ἐκεῖνο πλῆθος καὶ ἄλογον ἅμα διασκεδασθὲν τὴν ταχίστην ἐλύετο, καὶ τὰ οἴκοι ἕκαστος κατελάμβανεν.

P 128 31. Ἐν τοσούτῳ δὲ καὶ ὁ πρωτοβεστιάριος τῇ πολυημέρῳ νόσῳ κατεργασθεὶς τῶν νεφρῶν (οὐδὲν γὰρ ὃ ἐπενόουν εἰς ἰατρείαν οἱ θεραπεύοντες ἱκανὸν εἰς τὴν κατὰ τῆς ἀρρωστίας ἀνταγώνισιν ἔδοξεν, εἰ μὴ καὶ μᾶλλον προσεζημίου τὸν πάσχοντα), ἀφεὶς τὰ πάντα καὶ αὐτὴν τὴν κοσμικὴν ὀφρὺν καὶ σκηνήν, τὸν μοναχὸν ὑποδύεται, καὶ ἃ κατὰ τῶν ταλαιπώρων κληρικῶν ξυνέπραξέ τε B καὶ ξυνεβούλευσεν ὡς δῆθεν ἐκ ζήλου, αὐτοῖς ἐκείνοις παροῦσι διωμολόγει μετανοῶν, καὶ ἐζητεῖτο παρ' αὐτῶν τὴν συγχώρησιν. αὐτὸν δ' ἐπὶ τοσοῦτον ὁ πόνος ὠδύνα καὶ ἔθλιβεν ὥστε καὶ τὸ ζῆν ἐκείνῳ ποιεῖν ἀβίωτον· κἄν πού τις τῶν Ἀσκληπιαδῶν ἐκ τῆς ἀρτηρίας ἐπισχέσεως μετὰ βραχὺ τὴν τελευτὴν ἐπηγγείλατο, εὐεργέτης ἐκ τοῦ παρασχεδὸν ἔδοξε λέγων καὶ προμηνύων οὐ πράττων

quandocumque libuerat ferri temere; quo ritu scintillae volitant, huc illuc, ante retro, a lateribus, illinc inde inquietissime vagari; torrentium instar confluere in condictum, statim inde cursu reflexo, qua pronum erat, elabi. hos ita tumultuari crebris imperator nuntiis factus certior, et si ad manum res veniret, cladem ac stragem populi exitialem aliquam metuens, sed nec satis securus de fide barbari agyrtae, qui si ad defectionem a principe plebem illam inconditam vocaret, morigeris ad quidvis esset usurus, mature praecavendum incommodum ratus, accersitum ad se adductumque mature Pseudo-Lachanam exauctorat tutaque teneri custodia iubet. quo vulgato confestim temeraria turba dispersa est, pro se quoque suum mapale villamque ac familiare repetente stabulum.

31. Inter haec protovestiarius longo renum dolore sensim consumptus interiit, cum quidquid ei medicando comminisci, qui eum curabant, conferreve potuissent, adeo non par fuisset eluctandae vi languoris, ut eam potius exasperare plusque aegro nocere visum esset, quando ille pertaesus humanae vanitatis, et scena mundanae arrogantiae quam sit inanis intelligens, ea despecta monachi habitum induit; et vexatos iniuste se auctore ac cooperante miseros clericos recolens, ipsis illis praesentibus ea se imprudentis instinctu zeli egisse dixisseque poenitens est fassus, veniamque ab ipsis petiit. porro dolores laborantem tanti ac tam vehementes cruciabant, ut ei vivendi taedium afferrent; et quicumque ipsi explorata forte arteria medicus finem propinquum ominaretur, indicium reni-

οὐδ' ἐργαζόμενος τὴν ἐκείνου ἀπαλλαγήν. τόσος ἦν ὁ πόνος καὶ C ἡ τῶν νεφρῶν ὀδύνη τῷ πάσχοντι. ὥστε καὶ μετ' οὐ πολὺ μεταλλάξαι, καὶ τὸν νεκρὸν Νικαίαζε κομισθῆναι, ἐν τῇ τοῦ Τορνικίου μονῇ, κατά τι κτητορικὸν ἀπὸ τῆς συζύγου δίκαιον ἐνσοριασθησόμενον.

32. Ἐκεῖνος μὲν οὕτως ἀπεβίω, βασιλεὺς δὲ τὸ πᾶν τῆς D τῶν κοινῶν μεσιτείας ἐπὶ μόνῳ ἐτίθει τῷ μυστικῷ, ὃν καὶ οὐ μετὰ πολὺ ἐπὶ τοῦ κανικλείου καθίστα, αὐτῷ γε σὺν ὀλίγοις συμβούλῳ πρὸς τὰ πολλὰ καὶ συνεργῷ χρώμενος, οὐδὲν ὅσα τῶν πρὸς τρυφὴν προσποιούμενος, ὅπου γε καὶ αὐτὴν βασιλικὴν τράπεζαν, ἐξ ἧς ἦν γεραίρειν ὁσημέραι βουλευτάς τε καὶ ἀριστεῖς E (νώτοισι γὰρ καὶ Ἀγαμέμνων βοὸς διηνεκέσι τὸν ἀριστεύσαντα γέραιρε), καὶ αὐτὴν παρ' οὐδὲν ἐτίθει, δημοτικὴν τρυφὴν δυσχεραίνων καὶ τραπέζης ἐλευθερίαν ἀποπροσποιούμενος, στάσει τε καὶ νηστείᾳ ὁλοημέρῳ προσκαρτερῶν, οὕτω δοκοῦν, ἔκφερε P 129 πόνου φρονήματος. ἦν γὰρ ταῖς ἀληθείαις ἐπὶ τούτοις καὶ αὐτὸν νικῶν τὸν ἀδάμαντα τὸν τῆς παροιμίας, ὡς ἀλουτεῖν καὶ νηστεύειν καὶ καρτερεῖν, νύκτας τε καὶ ἡμέρας ἱστάμενος, καί που

8. μετὰ] μετ' οὐ P.

denti vultu acciperet, debitoremque se illi pro gratia ferret, melius etiam de se meritnro, si repraesentare quod praesagiebat, et ad voti effectum, quo cito dissolvi cupiebat, licite cooperari potuisset. his igitur renum atrocissimis tormentis confecti exanimatique tandem protovestiarii cadaver deportatum Nicaeam est, in monasterio illic Tornicii condendum, ubi ducto a coniuge dotali patronatu sepulturae ius habebat.

32. In hunc modum sublato de medio protovestiario, ministerium quod ille gesserat publicae gubernationis imperator universum in mysticum transtulit; quem et non multo post canicleo praeposuit, ipso cum paucis consiliario ad pleraque et administro utens; haud hunc vel hos eo consilio sibi admovens, ut haberet quorum principales curas pro se obeuntium vicarii fiducia laboris securius ipse vacaret remissionibusque se dederet, sed iis ipse adiutantibus pro virili collaborans, auctoritate principis, tolerantia et duritia non privati modo sed (paene dixerim) plebeii. adeo mollitiem nobilitatis omnem deliciasque reiecerat. mensa nempe ipsius regia, cuius accubitu quotidie aliquos e primariis senatores honorabat, haud erat Homerica illa lautior, qua priscus Agamemnon

perpetui tergo bovis excipiebat amicos.

adeoque regium eius generis luxum contempserat, ut ne civili quidem, et qualem non plane pauperes e plebe ferme consectantur, epularum eleganti diligentia sibi ministrari libenter ferret, copiam in eo moderatam quoque et a profusione remotam abdicans, interim dum dies totos perdurans ieiunus, pedibus insisteret incumbens operi, monstransque indefessum fortis propositi robur, re vera, ipso (quod aiunt) adamante durior in iungendo dies noctibus, continua statione, irremissa contentione, citra laxamentum ullum lotionis aut cibi; quin ubi sic saepe ad multam noctem a

καὶ ὅλην ἡμέραν διαγαγὼν φροντίσι κοιναῖς καὶ ἀσχολίαις φερούσαις τι χρήσιμον καταλαβούσης νυκτὸς προύργου τὴν πρὸς θεὸν B ὑμνῳδίαν ποιεῖσθαι, ἣν συνήθως εἶχε σὺν ἱερωμένοις τελεῖν, ἀνωτέραν πάσης ἀνέσεως, καὶ ὀψὲ τῶν νυκτῶν ἐν ἴσῳ τίθεσθαι τό τε τραφῆναι καὶ μή, ἀλλ' εἰς τὴν ἐπιοῦσαν καὶ πάλιν νυκτὸς ἀριστᾶν, ὅ τι γε τύχοι. ἡ γὰρ τοῦ σώματος εὐεξία συμπλακεῖσα τῇ γνώμῃ οὔτε τῷ ἐθελουσίῳ τῆς καρτερίας χώραν ἐδίδου βλάπτειν τὸν καρτεροῦντα, οὔτε τῷ ἀκουσίῳ τῆς ἀνάγκης λυπεῖν παρεῖχε τὸν καρτερεῖν ὀρεγόμενον, ἑκατέρας συγκροτούσης θατέραν C εἰς μιᾶς συμπλήρωσιν ἀρετῆς, ὡς μήτε τὸ ἐνδεὲς διὰ τὴν εὐεξίαν λυπεῖν μήτ' ἀηδὲς εἶναι διὰ τὴν γνώμην τὸ σπουδαζόμενον. οὕτω μὲν οὖν ὁ βασιλεὺς ἐντεῦθεν ἀρξάμενος καρτερικῶς διέφερε τὸ βιοῦν, συνόλην τρυφὴν καὶ βλακείαν ἀποπροσποιούμενος, εἰ καὶ βασιλικὸν καὶ ἀρχαῖον ἀθετεῖσθαι συνέβαινε νόμιμον.

7. τῶν ἐθελουσίων P.

primo diluculo satagens ac plane alimenti expers pervenerat, tunc coenae praehabens nocturnam, si eius hora venerat, hymnodiam. nam hanc consueverat una cum domesticis celebrare sacerdotibus, ea constantia ut eam semper quantumvis paratae ac necessariae corporis curationi anteferret. nec raro accidit ut postquam sic die in ieiunio ac labore continuo transacta, hymnodia in epularum locum imputata, incoenatus decubuerat, rursus postridie tenore pari diem duceret, ventrem iam biduo prorsus impastum ad profundam differens vesperam, nihilque vel tunc nisi vulgare ac protritum gustans, et id citra multam significationem appetentiae, ut vesci aut non vesci arbitrarium quidpiam nec magni, utrum utri praeoptaretur, discriminis aut momenti, quod ipsum quidem spectaret, a se vel tunc existimari prae se ferret. nimirum conspirabat ad hoc ei laboriosissimae frugalitatis decus excellens asserendum, cum ferrea corporis habitudine, adamantina virtus animi; quibus ambabus inter sese velut quadam aemulatione commissis, et utra utram duritie indomita vinceret certantibus, fiebat uti nec ulla famis aut vigiliae iniuria eius valetudo laederetur, nec ullo taedio ingratarum occursu vicissitudinum aut importunitatum vel minimum concuteretur robustissima et apprime in solido fundata mentis imperturbabilis constantia. Ab hoc praesertim tempore inchoatam aut frequentiori usurpatione stabilitam miram istam vitae duritiem in longam inde perseverantissima pertulit aetatem, prorsus abdicanda voluptate omni atque mollitie, quantumvis receptum olim fas ac morem palatini in curam Augustorum ministerii per id abrogari contingeret.

Γ.

Ἐπεὶ δ' ἀντίπαις ἦν ὁ υἱὸς Μιχαὴλ ἤδη τῷ βασιλεῖ καὶ τὸν P 133 ὑπὲρ τὸν ἔφηβον ἤλαυνεν, οὐκ ἀπεικὸς ἡγεῖτο οὐδ' ἀπρεπὲς ἄλλως μὴ βασιλικῶς ταινιοῦν, καὶ ταῦτα καὶ τόσην πληροφορίαν ἐπὶ τῷ ταινιώσοντι κεκτημένος. ὅθεν καὶ ἐξαρτύεται μὲν τὰ ἐπὶ τῇ τοιαύτῃ χρείᾳ προσήκοντα ἀποχρώντως λίαν καὶ φιλοτίμως· καιρὸν δ' ἡγησάμενος πρέποντα ἡμέραν τῆς μνήμης τοῦ πρώτου ἐν Χριστιανοῖς βασιλέως, μᾶλλον δὲ καὶ σφίσι τῆς ἐλευθερίας B ἄρξαντος Κωνσταντίνου, ἐν ταύτῃ καὶ τὰ τῆς στεφηφορίας τῷ υἱῷ ἀπεπλήρου. καὶ εἰκοστῇ πρώτῃ Πυαντιῶνος μηνὸς κατὰ τὸν τοῦ θεοῦ σοφίας νεών, συναχθέντων ἁπάντων, ὅσον ἦν τῶν ἐν τέλει καὶ ἄλλως καὶ ὑπηρετικὸν βασίλειον, ὅσον τῆς πολιτείας καὶ ὅσον τῶν στρατιωτικῶν δυνάμεων, οὐδ' αὐτῶν ἀπόντων τῶν κατὰ τὴν πόλιν Ἰταλῶν, ἔτι δὲ καὶ τῶν ὅσοι κατὰ χρείαν C πρεσβείας ἐπεδήμουν τῇ Κωνσταντίνου, καὶ αὐτῶν δὴ τῶν τὸ ἐπὶ τῇ Αἰκατερίνῃ κῆδος μεσιτευόντων (οἱ δ' ἦσαν οἱ ἀμφὶ τὸν Συρπέρον λεγόμενον), τὸ μὲν ἱερατικὸν πᾶν καὶ μοναχικὸν ἀφ' ἑσπέρας παννύχιον ὑπὸ δαψιλέσι φωσὶν ἀπετέλουν τὴν ὑμνῳδίαν, ἄνωθεν τοῦ βασιλέως ἱσταμένου καὶ ἀκροωμένου τῶν ὕμνων.

III.

Quoniam vero erat imperatori filius iam ultra puberem adultus aetatem Michaël, non incongruum neque indecens Andronicus pater arbitratus est imperiali eum insignire diademate, recte istum honorem huic praesertim deferendum ratus qui speciminibus assiduis multae pietatis et proborum morum plenam sibi fidem fecisset indolis praestantis. copiose igitur et splendide ad eam pro dignitate celebrandam ceremoniam cunctis comparatis, diem ei auspicatam elegit eam quae recursu anniversario consecratur memoriae primi Christianorum imperatoris Constantini, a cuius principatu libere florere, prius tyrannice oppressa, nostra sancta religio incepit. prima ergo supra vicesimam Maii mensis die convenerunt in templum divinae Sophiae proceres ac magistratus cuncti, domus Augustae ministri omnes, universus ordo civium, cumque his quantum in urbe militarium copiarum fuit, ne ipsis quidem in eo coetu desideratis Constantinopolitanae civitatis inquilinis Italis, nec aliis eius gentis qui ex Apulia venerant et in comitatu perstabant, tractantes matrimonium Aecaterinae neptis ex filia Caroli regis, cum eodem Michaële Andronici Augusti primogenito, cuius princeps legationis Syrperus (*Ser Pietro*) nominabatur. inchoata solemnitas est a pridiana vespera, a qua clerus universus cum omnibus monachis pervigilium in auroram perduxerunt continua hymnodia ad lumen ingentis numeri funalium aut lampadum, adstante in superiori odeo, unde cantum hymnorum audiebat, imperatore. sub diluculum omni-

ὑπ' αὐγὰς δὲ συναχθέντων, καὶ τὴν τοῦ Αὐγουστεῶνος αὐλαίαν
D πληρούντων ἐς τόσον ὥστε καὶ εἰς μίαν ἁρμογὴν καὶ συνέχειαν
ξύμπαντας ξυνεπτύχθαι ζῶον φαινομένους ἕν, εἰς πλάτος ἐνδιδὸν
ἀλλόκοτόν τι καὶ ξένον, μυρίαις χρώμενον γλώσσαις, — τούτων οὖν ἁπάντων συναθροισθέντων, περιαιρεθέντων δὲ καὶ τῶν
τοῦ τρικλίνου Μάκρωνος δρυφάκτων διόλου, ὡς καθαρὸς παρὰ
πάντων θεῷτο ὁ εὐφημούμενος, ἐπ' ἀσπίδος τε τὸν νέον οἱ ἐν
τέλει καθιζάνουσι καὶ μετέωρον αἴρουσι καὶ ἀνευφημοῦσι τρανότερον.
E εἶτα καὶ τὴν ἱερὰν λειτουργίαν τελοῦντες ἅμα μὲν αὐτὸς
πατριάρχης ἅμα δ' ἀρχιερεῖς καὶ οἱ τοῦ βήματος πάντες, ἐφ'
ἑκάστῳ τῶν τελουμένων καὶ τῷ υἱῷ κατὰ τὸ εἰκὸς συναφωσίουν
τὰ πρέποντα τῷ πατρί τε καὶ βασιλεῖ. καὶ δὴ τελεσθέντων ἐκείνων ἄνεισι μὲν ἐπ' ἄμβωνος ὁ κρατῶν, ἄνεισι δὲ καὶ ὁ πατριάρχης, συνάνεισι δὲ σφίσι καὶ ὁ εἰς βασιλείαν μετὰ τοῦ πατρὸς
P 134 χρισθησόμενος. καὶ μετὰ λαμπρῶν καὶ περιφανῶν τῶν τελετῶν
στέφει μὲν βασιλεὺς τὸν υἱόν, συνεπιλαμβανομένου τοῦ στέφους
καὶ τοῦ ἱεράρχου, χρίει δ' ὁ ἱεράρχης τῷ θείῳ μύρῳ τὸν τῆς βασιλείας συμμετασχόντα. καὶ παιᾶνες ἐντεῦθεν καὶ εὐφημίαι καὶ
πᾶν χαριστήριον. ῥιπτοῦνται δὲ περιερχομένων τῶν βασιλέων
καὶ οἱ συνήθεις ἀπόδεσμοι. καὶ τότε μὲν τὸ μέγα παλάτιον μετὰ
B περιφανοῦς τῆς δορυφορίας αὐτοὺς ὑποδέχεται· (2) τῇ δ' ὑστε-

2. πληροῦντες P. 3. ξυνεπτῆχθαι P.

bus congregatis, et populo, qui certatim undique concurrerat, totam quam late patet Augusteonis mediam aream ita complente, ut ex arcte invicem appressis constipatae multitudinis corporibus unum quoddam vastae molis, portentosae formae mirum animal iuuumeris simul linguis loquens conflatum fuisse videretur. in oculis tam numerosi couventus omnis generis hominum, septis ac cancellis lougi tricliuil amotis ue obex intuentibus forent, primarii magistratus adolescentem regium scuto imposuerunt, sublimemque ostentautes circumtulerunt, clara voce imperatorem acclamaudo. iude inter sacra solemnis liturgiae mysteria, simul ipse patriarcha, simul episcopi et quotquot intra cancellos altaris locum habent, ad singulas ceremoniae partes quibus fas et mos est imperatori beneprecari ac benedicere, filium simul cum patre in talis appellationis et honoris delatione couiunxerunt. quibus peractis conscendit ambonem imperator, conscendit et patriarcha, cumque his ambobus tertius novus et iunior Augustus, post patrem ungendus. atque hic inter splendidas et illustres ceremouias coronat quidem filium imperator, adiutante patriarcha ac corouae dum impouitur partem teneute, ungit autem eundem patriarcha, sacri ei affusione uuguenti participatiouem Imperii confereus. hinc paeanes, acclamationes, gratulationum et festorum cantuum omne uudique genus audiri. nec defuit iactus solitus devinctorum in lini segmeutis uummulorum, procedentibus Augustis, quos post omnia, speciosa praetorianorum praeeuutium et circumstantium deductos pompa, magnum palatium excepit. (2) Postera

ραίᾳ ταύτης μετακαλεῖται μὲν πατριάρχας ὁ βασιλεύς, μετακαλεῖται δ' ἀρχιερεῖς καὶ τοὺς τοῦ κλήρου καὶ μοναχοὺς καὶ τὸ τῆς πολιτείας ὅσον καθαρόν τε καὶ ἔκκριτον, καὶ δὴ κατὰ τὸν Μανουηλίτην βασιλικὸν τρίκλινον ἔγνω συνάπτειν πανήγυριν. καὶ τὸν υἱὸν ἀγαγὼν Ἰωάννην, ὃν ἐκ τῆς Εἰρήνης ἔσχε νέον ἔτι τελοῦντα, εἰς δεσπότην προβάλλεται, συνεπιλαμβανομένου τῆς δεσποτικῆς στεφάνης τοῦ ἀρτιστεφοῦς βασιλέως καὶ αὐτοκράτο- C ρος. καὶ οὕτως ἐκεῖθεν καὶ ἐς Βλαχέρνας προερχομένων τῶν βασιλέων, ἐρριπτοῦντο μὲν καὶ αὖθις τοῖς δήμοις ἀπόδεσμοι, πολὺς δ' ἐξ ἁπάντων κρότος καὶ συμμιγὴς ᾔρετο εὐφημία, καὶ μεγαλυνόντων τοὺς βασιλεῖς.

Ἐντεῦθεν καὶ ἐζητεῖτο πρὸς βασιλέως παρὰ τῆς ἐκκλησίας δοθῆναι καὶ ἐπὶ τῷ νέῳ στεφθέντι ὅσον δὴ καὶ αὐτῷ παρὰ τοῦ πατρὸς ζητήσαντος πέπρακτο. (3) τὸ γὰρ ἐξ αὐτῆς τόμον γε- D νέσθαι, καὶ δι' ὑπογραφῶν συνήθων ἀσφαλισθῆναί οἱ τὴν βα- P 135 σιλείαν, καὶ τῷ κατεξαναστησομένῳ δῆθεν, εἴ πού τις καὶ εἴη, εὐθύνας ἀφορισμῶν ἀλύτων καὶ ἀρῶν ἐπιτίθεσθαι, ἑαυτῷ μὲν γεγονὸς παρὰ τῶν τότε ἐς τὸ ἀκριβὲς ἠπίστατο καὶ ἐδείκνυ, ἠξίου δὲ καὶ τῷ υἱῷ ταῦτα παρ' αὐτῶν γίνεσθαι ὡς οὐ καινόν τι καὶ ξένον, ὡς ἔλεγεν, ἐχούσης τῆς ἀξιώσεως. ταῦτα μὲν βασιλεὺς

7. ἀρτιστεφοῦς] στέφους P. 19. αὐτῷ P.

huius die vocat patriarchas Augustus senior, vocat et episcopos, clerum quoque ac monachos, tum e civibus illustriorem ac lectissimum quemque. ad hos in Augustum triclinium Manueliten dictum iterata et hesternae contigua panegyri congregatos, producit Ioannem filium, quem ex Irene susceperat, puerum adhuc, eumque, cooperante ac despoticae coronae, dum capiti adderetur, latus alterum tenente iuniore Augusto, despotam creat. sub haec inde procedentibus ad Blachernas Augustis panniculi rursus infertis nummis ligati sparguntur in plebem, multusque e cunctis plausus et mixta increbuit acclamatio, intextis principum laudibus.

Hinc iam incubuit imperator ad exposcendam ab ecclesia confirmationem evectionis in imperii consortium filii, eius parem quae sibi olim in principatus pariter collegium assumpti a patre fuisset impetrata. (3) nimirum praeclare meminerat, et hoc ipsum referens ad exempli praeiudicium urgebat Andronicus, simul ipse a patre declaratus consors imperii fuisset, expeditum statim a patriarcha ac synodo riteque munitum subscriptionibus caeterisque authenticis formulis, diploma emanasse, quo tum novo Augusto possessio principatus iure quam optimo firmabatur, tum si quis umquam rebellare in eum resque moliri novas deprehensus foret, diris devovebatur insolubilium anathematum, et quotquot infligi possunt ab ecclesiastica potestate, subiiciebatur poenis. istius similem nunc quoque constitutionem edi, magnopere nitens causae paritate, idque ut rem aequam et iam solitam iure quasi suo repetens, enixe orabat imperator: sed

λιπαρῶς ἠξίου, ἀλλ' οὔτε πατριάρχην οὔτ' ἀρχιερεῖς ἔπειθεν, ἀλλὰ τὸν μὲν τόμον γενέσθαι καὶ ἀσφαλισθῆναι τῷ στεφθέντι B τὴν βασιλείαν αὐτόθεν ἕτοιμοι ἦσαν πράττειν, τὸ δὲ καὶ ἀραῖς περιβάλλειν καὶ ἀφορισμοῖς Χριστοῦ τῆς μερίδος χωρίζουσι τὸν εἴ τίς ποτε καὶ κατεξανασταίη τοῦ βασιλέως, οὐκ ἐδικαίουν ὅλως. ἀποχρῶντα γὰρ εἶναί οἱ τὰ ἐκ τῶν νόμων πρόστιμα, εἰ ἁλῴη, ὡς μηδὲν ἐντεῦθεν καὶ τὸ βιοῦν βιωτὸν ἔχειν ταῖς ἐκ νόμων καθυπαχθέντα ποιναῖς. μὴ δίκαιον δ' εἶναι πρὸς ταύταις, καὶ ἀνδράσι συμπαθείας φίλοις διεγνωσμένον, καὶ τῆς μερίδος ἐκεῖνον χωρίζεσθαι τοῦ Χριστοῦ. καὶ καλὸν μὲν βασιλεῖ προσεῖναι τὴν C συμπάθειαν πλεονέκτημα· τέτακτο γὰρ αὐτῷ δηλαδὴ μὴ ἑκουσίῳ γνώμῃ ποινηλατεῖν ποτὲ τὸν ἐπὶ τοῖς ἐσχάτοις ἁλόντα, ἀλλ' ἄλλως εἱρκταῖς καὶ ταῖς ἐκεῖθεν κακουχίαις δὴ καὶ δημεύσεσι κατὰ τρόπον τοῦ πλημμελήματος δικαιοῦν καὶ κολάζειν. καλὸν οὖν εἶναι καὶ ἐπαινετὸν τὸ ταχθὲν βασιλεῖ, οὐ καλὸν δὲ οὐδ' εὐπρεπὲς ἄλλως αὐτὸν συμπαθῶς ὅσον ἐπὶ τούτῳ τοῖς πταίουσιν ἔχοντα ἀσυμπαθῆ καταναγκάζειν τὴν ἐκκλησίαν γίνεσθαι, καὶ μᾶλ- D λον αὐτὴν διαφερόντως τὸ ξυμπαθὲς πρεσβεύουσαν. ὡς γοῦν ἀπετύγχανεν ὁ κρατῶν, καὶ πᾶς ἐς δικαιολογίαν λόγος ἐντεῦθεν

ρον, διὰ μίσους τοὺς περὶ τὸν βασιλέα ποιούμενοι, καὶ φανερῶς τὰ τῆς μεταβολῆς ἠβούλοντο, διαγανακτοῦντες εἰ αὐτοὶ μὲν διὰ πόνων χωροῦντες καὶ τῶν ἰσαεὶ κινδύνων ἑτέροις τὴν ἐξουσίαν χαρίζονται, ἐκεῖνοι δ' ἐν ἀνέσει τρυφῶντες μηδὲ χάριν εἰσομένοις ἐῴκεσαν ὧν εὖ πεπόνθασί τε καὶ πάσχουσι παρ' αὐτῶν, ἀλλὰ καὶ μᾶλλον καὶ τῶν ἀποτεταγμένων κολούονται. καὶ προσερχόμενοι P 146 κατὰ στίχας πλέον ἐθεράπευον τοῦ εἰκότος, καὶ ἀξιώτερον ἄρχειν αὐτὸν παρὰ τοὺς ἄλλους ἐδικαίουν καὶ προσηνάγκαζον, ὀλίγα βασιλέως καὶ τῶν τοῦ βασιλέως φροντίζοντες. εἶναι γὰρ σφίσιν ἐκ πολλῶν τὸ βουλευόμενον ἀνυστόν, καὶ μᾶλλον τριῶν τῶν ἰσχυροτάτων, τοῦ τε τὸν λαὸν πάντα ζημίαις βαρούμενον καὶ συνδόσεσιν εἰς ἀποστασίαν ἕτοιμον εἶναι, τοῦ τε πάντας εὐμενῶς πρὸς αὐτὸν ἔχειν, ὅσοι δὴ καὶ ὑπ' αὐτῷ στρατεύονται, καὶ τρίτου τοῦ καὶ παμπληθοῦς εὐπορεῖν Περσικοῦ, ἀνδρῶν οὐκ B ἄλλον εἰδότων ἢ τὸν αὐτοὺς αὐτομολήσαντας καὶ ὑποδεξάμενον καὶ ὡς εἰκὸς θεραπεύσαντα· εἶναι δὲ καὶ εἰς χιλιάδας ποσουμένους, μαχίμους ξύμπαντας, ἑνὸς ἐξημμένους βλέμματος τοῦ

illis castris censebantur studia. apud hos omnes magno in odio imperator et eius familiares erant. passim de illis murmurabant, indignantes suis ipsorum laboribus, periculis continuis ac miserrimis aerumnis emi tranquillam fruitionem vitae affluentis omni honore ac rerum copiis usque ad luxum hominibus ignavissimis, qui ne tanti quidem ducerent profiteri beneficium, et infelicissimis militibus hostium intra limitem incursum suorum obiectu corporum intercludentibus saltem verbo testari se nonnihil debere. quamquam videri tolerandum si gratiam benemeritis omitterent reddere, nisi, quod ingrate crudeliterque actitabant, benefactis maleficia rependerent, stipendia et pensiones militantibus olim constitutas avare ac maligne intervertentes. istiusmodi pleni turbidis sensibus tribuni ac centuriones passim totis ordinibus manipulatim turmatimque sequentibus ad Philanthropenum quotidie itabant, honores ei quae ipsius fastigium excederent deferentes, eisque multo videlicet digniorem affirmantes ipsum quam istos alios, qui tamen hos sibi eximie reservari ducerent aequum. addebant his vim paene quandam supremae dignitatis arripiendae deficiendique ab imperatore palam, nihil eius, quippe imbellis debilisque, nec inertium et pariter imbecillium ipsius ministrorum, quantumvis exarsuras his auditis iras sese curare declarantes. secessioni enim ab iis suae defectionique sustinendae ac citra omne improsperi successus periculum tuendae tria sibi adesse fortissima praesidia, primum aversionem a regimine praesenti et pronitatem in res novas universi populi, tributis exactionibusque sine fine immanibus exhausti, alterum favorem ac benevolum studium in Philanthropenum omnis hominum generis, praesertim autem sub signis eius merentium, tertium denique ingentis multitudinis Persarum virtute illius ac liberalitate devinctorum, paratorumque ad nutum sequi quocumque duxerit. horum, aiebant, multa millia fortissimorum et bellis tritorum hominum expectare ab eo signum promissi, simul innuerit, transfugii. his ille

σφᾶς ἄγοντος. ταῦτα λέγοντες κατεμάλασσον τὴν ἐκείνου γνώμην μετεωριζομένην ἤδη πρὸς ἀρχῆς ὄγκον, καὶ φανερῶς ἀποστατεῖν ἔπειθον. τότε τοίνυν τόσους ὁρῶν ἐκείνους τολμήματος C γέμοντας οὐ μετρίου καὶ ταῖς ὑπὲρ τοῦ ζῆν εὐμαρῶς ἐλπίσι σπερχομένους, πρὸς μὲν τὸ τῆς ἐγχειρήσεως μέγεθος καὶ λίαν ἄτολμος ἦν καὶ ἐπιεικῶς κατωρρώδει, τῷ δὲ κατὰ σφᾶς ἀλογίστῳ θράσει ἐν ἐλπίσιν ἦν ταῖς μεγίσταις καὶ ἀπεθάρρει τὸ τόλμημα. ἀλλ' ὅμως πείρᾳ θέλων μαθεῖν καὶ τῶν λοιπῶν τὴν γνώμην, καὶ εἰ πάντες πρόσκεινται τοῖς αὐτοῖς, συναγαγὼν εἰς ταὐτὸ συνόλους καὶ σταθεὶς ἐπὶ μέσων πλεῖστά τε κατετείνετο, ἐξ ὧν παμῖστα τὴν πρὸς αὐτοὺς ἀγάπην καὶ τὸ δημοτικὸν ἐφ' ἅπασι, τήν D τε ὑπὲρ τῆς τῶν Ῥωμαίων μετὰ σφῶν αὐτοῦ σπουδήν, καὶ τὴν ἀπὸ τῶν ἐν ἀνέσει καὶ τρυφῇ διαγόντων (τοὺς περὶ τὸν βασιλέα λέγων) οὐχ ὅπως ἀποδοχὴν ἀλλ' οὐδὲν ἧττον ἀποστροφὴν καὶ ἐπαιτιάσεις μυρίας μηδὲν προσηκούσας, ὥσπερ ἂν αὐτὸς μὲν ἐτρύφα τοῖς πράγμασι καὶ συνάμα κατεβλακεύετο, ἐκεῖνοι δ' ἐπόνουν καὶ κατεγήρων τοῖς κράνεσι καὶ μάχαις ταῖς κατ' ἐχθρῶν

8. τὴν deerat.

auditis emolliebatur scilicet, ac volens patiebatur detorqueri se in pravum a rectitudine debiti a subdito principibus officii. atque hinc quidem dum studia, dum vota, dum alacritatem se ad imperium vocantium et spes in eo vitae in posterum iactae collocantium tot virorum fortium circumspicit reputans, facile proliciebatur ad palam rebellandi concipiendam audaciam. rursus in eo cogitati molem imperii, negotii aleam, incepti magnitudinem aestimante adeo elanguescebat prior ille impetus, ut horrore non dubio tentari nimiaque constringi formidine videretur. ergo inter istos aestus alternos, hinc spei alienis suggestionibus obtrusae, illinc metus propria circumspectione admoti, libratus ipse licet momentis utrimque paribus, et incertus adhuc consilii, ut saltem aliorum, quorum minus eminerent studia, sententiam experimento deprehenderet arcanam, probaretque num omnes unanimiter sui milites in propositum sui, quidquid aggrederetur, sequendi ad extremum conspirarent, vocatis in concionem militarem simul cunctis, stetit altior in medio, plurimaque disseruit, magnopere incumbens ad demonstrandam suam in omnes caritatem mitemque ac popularem per omnia imperandi rationem, verum praeterea studium in rem Romanam cum suum tum ipsorum, quod perspiceret; glorians etiam et gratulans utrisque communiter, quod tam longe abessent ab assentando illis otiosis, qui vitam in remissione ac luxu transigerent (sic imperatorem et apud eum assiduos traducebat) ut succenserent iis libere suamque ab ignava ipsorum segnique mollitie aversionem minime dissimularent. atque hic effusus licenter est in criminationes innumeras regentium, parum aut nihil pertinentes ad rem, causans imperatorem quidem defungi ludibunde negotiis, suam ex his unice oblectationem captando, cumque familiaribus regiminis ministris indormire supine curis publicis, neutris pensi quidquam habentibus, bene an secus populo esset, dum suarum ipsis constaret certa ratio fruitioque voluptatum. "nos quippe interim" addebat "vice ipsorum laboramus; nostra sub galeis capita canescunt. nos in acie stamus; nos praelia cum

παρεβάλλοντο. δοκεῖν γὰρ ἐκείνους μὴ χαίρειν ἐπὶ τοῖς σφῶν κατορθώμασιν, ἀλλὰ καὶ μᾶλλον ἀδημονεῖν καὶ ἀλύειν ὡς κακὰ E πάσχοντας. παρ' ὧν καὶ τί προσδοκᾷν εἶναι τῶν ἀγαθῶν τοῖς ὁσημέραι ταλαιπωρουμένοις, ὅπου γε καὶ οὐκ ἀγαθὰς τὰς ἀπ' ἐκείνων πρὸς αὐτοὺς ἀφιγμένας φήμας φόβον τὸν ἔσχατον ἐμποιεῖν συμβαίνει ὡς διαπραττομένοις τὰ χείριστα; ταῦτα δ' εἶναι μὴ μόνον πολλῶν φθονούντων ἄλλων, ἀλλὰ καὶ βασιλέως αὐτοῦ μηδὲν ἐπαΐοντος πρὸς τὰ παρ' αὐτῶν· "οὗ δὴ μὴ συνηδομένου, ὡς ἐκ τῶν πραγμάτων ἄν τις καὶ συλλογίσαιτο," ἔλεγε "κατορ- P 147 θοῦσιν ἡμῖν, σφαλεῖσί γε πάντως τίς ἐλπὶς ὑπολέλειπται;" ταῦτα λέγων, καὶ τὰς δυνάμεις καταδημαγωγῶν τῷ καὶ βαθυτέρων ἅπτεσθαι καί γ' ἐμφανεστέραν τὴν αὐτοῦ γνώμην ποιεῖν ὡς ἀποστατησείοντος σὺν αὐτοῖς, εἰ βούλοιντο (οὕτω γὰρ ἂν καὶ τοῦ λοιποῦ εὐμαρῶς διάξειν, εἰ καθ' αὐτοὺς πονοῦντες αὐτοὶ τῶν κινδύνων τὰ ἆθλα καρπίζοιντο), εὐθὺς καὶ ἔτι συνείρων τοὺς λόγους, καὶ τῶν κρατούντων τὰ πολλὰ καθαπτόμενος ὡς μηδ' B

7. ἀλλὰ deerat.

hostibus facimus, utinam istis, qui fructu nostrarum aerumnarum deliciantur, gaudere saltem dignsutibus allato victoriarum nostrarum nuntio. invident enim contra nobis sterile illud ipsum decus, et irae praetextus quaerunt, ne gratiam debere videantur. itaque nostris successibus auditis aestuare ipsos dolorisque signa intimi cognovimus edere: quin et queri tamquam iniuriam passos. unde intelligitis quam mercedem heroicorum ab his expectare facinorum debeamus. verum hoc ipsum certius quotidiana experientia nos docet, nihil inde aliud accipere solitos nisi novorum iniunctiones laborum, imminutiones stipendiorum veterum, subtractiones alimentorum, denique minas sortis in posterum etiam peioris. fidis enim amicorum indiciis discimus aut deferri aut delata simulari gravia in nos illuc crimina, de quibus dum isti deliberant, nobis quid aliud fit reliquum quam in tristi expectatione poenarum saevissimarum trepidam anxiamque vitam ducere, utique mox pessima passuris, ea solum de causa quod fecerimus optima? neque hi magis in nos ingratissimi sensus ministrantium illic et rebus gubernandis praefectorum quam ipsius sunt principis. primus ille et maxime omnium invidet nobis, ille implacabiliter nos odit. ille avide omnes sinistros de rebus nostris undecumque rumores accipiens, ad quasvis defensiones innocentiae nostrae patrocinantium aures habet inexorabiliter occlusas. videte autem quam ab eo, qui felicium nostrorum contra hostes successuum nullam umquam acquiescentis animi laetitiam ac gratulationem ostendarit audiens, offensionis, si qua Marte, ut solet, vario in bellis inciderit, sperare veniam possimus." super haec plura congessit irae in imperantes concitandae militum et contemptui eorundem ingenerando accommodata, quo sic exploraret certius quid illi animi haberent, quantumque in studiis illorum ac fide erga se constanti collocare fiduciae non imprudenter posset. eo enim, ut diximus, consilio hanc erat ingressus orationem, ut intimam adstantium eliceret sententiam arcanasque nudaret voluntates; id quod haud dubie consecutus est. illo enim ultra iam indicata pergente memorare de contemptissima inertia duorum Augusto-

οἵων τ᾽ ἐσομένων ἑαυτοῖς ἀμύνειν μηδὲ βραχὺ ἐκείνων ἀποκλι-
νάντων, ὑπερηφανῶν ὅλως καὶ μεγαλιζόμενος ἐν τοῖς πράγμασιν,
ἐκείνους εὕρισκε παραυτὰ πειθηνίους ἐς τόσον ὥστε καὶ βοᾶν ἀπεν-
τεῦθεν καὶ πόλλ᾽ ἄττα λέγειν ἀπόφημα κατὰ βασιλέως, ἀπο-
προσποιουμένους τὴν ὑπ᾽ ἐκείνῳ δουλείαν καὶ ὑπ᾽ αὐτῷ τάττε-
σθαι θέλοντας. ὅθεν καὶ ἀλλήλους παρακροτήσαντες ὡς οὐδὲν
ὧν ἔγνωσαν μεταβληθησόμενοι, αὐτὸν καὶ τὴν ἡγεμονίαν δέχε-
C σθαι κατηνάγκαζον ὡς ὑπὲρ αὐτοῦ γε καὶ τεθνηξομένων ἁπάν-
των, εἰ εἰς ἀνάγκην τινὰ κατασταῖεν. καὶ τοῦτο συμβαίη·
μηδὲ γὰρ ἔχειν ἐντεῦθεν ὅλως ἀφηνιάσαντας ἀμφιγνωμονεῖν ἐπ᾽
ἐκείνῳ, ἀλλ᾽ ἀξιοῦν ἐρρωμένως καὶ τοῦτον στῆναι τοὺς λογισμοὺς
καὶ μηδὲν τῶν ὅσα φέρει τοῖς καθ᾽ αὐτὸν ἀρωγὴν ταῖς ἀμφινοίαις
καταπροΐζεσθαι. μηδὲ γὰρ δίκαιον αὐτοὺς μὲν ἐκ τοῦ παραχρῆ-
μα ὅλαις ἡνίαις αὐτῷ προσρυῆναι καὶ αὐτοῦ μόνου ἔχεσθαι, καὶ
ἢ θωπείαις ἢ φόβοις ἕτοιμον εἶναι ἐνδιδόναι τε καὶ ὑποχαλᾶν.
D τοῦτο γὰρ ἰδεῖν τινὰς καὶ ἐπὶ τῶν ἐνοχλούντων, βάρος τὸ προσ-
τυχὸν εἴπερ οὐχ ἅμα πάντες ἐρρωμένως οὐδ᾽ ἀπὸ μιᾶς καὶ τῆς
αὐτῆς ἀνωθοῖεν ἐνστάσεως, κινδυνεύειν, εἴ τινες καθυφεῖντο,
ἐντεῦθεν πάσχειν τὰ ἔσχατα ξύμπαντας. μέγαν δ᾽ εἶναι καὶ τοῦ-

11. στῆσαι? 12. φέρειν P. 18. κινδ.] ὡς κινδ. P.

rum, de admiuistrantium res sub istis inconsulta socordia, de inopia et imbecillitate illins sola iam specie vanaque maiestate antiqui nomiuis perstantis principatus, qui ne minimo quidem contra insurgentis cuiusvis incursui sustiuendo, ne dum repelleudo ulcisceudove par omnino sit futurus; cumque his ex adverso magnifica de se praedicaus adiuugeret, suam artem bellicam, suam felicitatem, suo ductu totles victriciuin robur numerumque gloriose iactaret copiarum, adeo multitudinem commovit ut e concione voces erumperent consonae universorum partim imperatori mala multa dicentium et imprecantium, partim illl de solio detruso Philanthropenum subrogari iubentium. hunc enim se deiuceps unum agnoscere, uni velle servire, pro uno promptos esse periclitari; unius, quovis duceret, quidquid praeciperet, imperia exequi, nutum sequi; eius denique unius auspiciis usque ad mortem, si fors ita tulerit, fortiter oppetendam pugnaturos. uuum a suo duce vicissim petere, ne dimidiate rem tantam agat, ne nomen Augusti recusando aut insignia imperii palam assumere cunctando, respicere imperantium gratiam et receptum apud eos veniae sibi retro providere videatur. metum ac suspicionem suis se pro eo in extremum dantibus discrimen militibus demeret; ne aulae iu posterum aut delusus fallacibus promissis aut minis inanibus deterritus se subtrahat, suosque deserens sibi consulat, destitutosque, qui tantam semel aleam eius causa iecerint, iis prodat ipsis quorum, ut ei gratificarentur, odia in se provocaverint. communi ducis ac militum conspiratione, insolubili nexu, indivulsa, quidquid blandum aut saevum uudevis occurrerit, utrorumque societate rem egere quam susciperent, facilem concorditer incumbentibus, dubitante aut respectante quidquam ullo corrumpendam. magna praemia

τον οὐχ ἧττον τὸν ἆθλον, καὶ κοινῆς τῆς ἀπὸ πάντων δεόμενον
κατὰ τὸ προσῆκον ἐνστάσεως. ταῦτα λεγόντων τε καὶ τῷ πιστῷ
κατὰ σφᾶς θάρρει διδόντων, εἴκει μόλις ἐκεῖνος καὶ τὸ τῆς ἡγε-
μονίας ἀναδέχεται ὄνομα. καὶ δῆλος ἦν ἐντεῦθεν ἐκ πολλῶν ὧν E
ἔπραττε στρατηγίαν φέρων καὶ ἀρχὴν ἀνυπεύθυνον, οὔπω δὲ ἢ
παρασήμοις ἢ μὴν ὀνόματι ἀπεθάρρει κλεΐζεσθαι, καί τοι τὰ
πολλὰ παρὰ τῶν προυχόντων ἐν τῷ στρατῷ βιαζόμενος. ἐξου-
σιαστικώτερον δὲ τῶν πραγμάτων ἐπείληπτο, καὶ οὐδὲν ἐδόκει
οἳ ἐξ οὗπερ ἂν καὶ ὠρρώδει, οὐδ' ἄλλοις ὑπακούειν ὅλως τὸ ἀπὸ
τοῦδε ὑφίστατο, ἀλλ' αὐτὸς ἡγεμὼν ἐν πᾶσι καὶ παρὰ σφίσι καὶ P 148
ὅπῃ παρῄει. ἔφριξαν γὰρ τότε καὶ οἱ περίοικοι τὴν ἐπισύστασιν,
καὶ μᾶλλον ὅτι τὸ Περσικὸν πολὺ ἦν, οἷς δὴ καὶ πιστοῖς ἐχρῆτο
καὶ παρασπίζουσιν ἀπεθάρρει, καὶ μόνον κελεύειν ἦν ὡς συνδρα-
μουμένοις αὐτίκα καὶ κατὰ τὸ ἐκείνου δρασείουσι θέλημα. ἀπέ-
σβεστο τοιγαροῦν ἐκεῖσε τὸ βασιλέων ὄνομα, παρὰ μόνον τὸ εἰς
περισυρμὸν μεμνῆσθαι καὶ λοιδορίαν. αὐτὸς δ' ἦν ἐκείνοις καὶ
ἄρχων καὶ ἡγεμὼν καὶ βασιλέως φέρων, εἰ καὶ μὴ ὄνομα, ἀλλ'
ἀξίωμα. καὶ ὅσων τῶν ἐκεῖ φρουρίων ὡς ὕπαρχος βασιλέως B
ἐπείληπτο πρότερον, ταῦτ' ἀποστείλας τοὺς καθέξοντας ὑφ'

proponi, sed quae magno et perfecte unanimi nisi conatu petantur, haud proventura sint. talia vociferantibus et instantissime urgentibus cedens Philanthropenus, tandem nomen imperii assumit. itaque coepit ex hoc agere, ut proprio nec ex ullo iam alterius nutu suspenso regimen administrare arbitrio prae se ferret. nondum tamen titulum Augusti vel insignia imperii admisit, quantumvis hoc eum ut faceret praecipui doctores ordinum omni ope cogere tentarint. tamen, ut dixi, auspiciis cuncta suis unius gerere deinceps instituit, eaque libere ac palam sese auctorare potestate, quam, ut nulli hominum acceptam ferret, ita eius usus reddendae cuiquam rationi minime obnoxius videri vellet. haec per illos limitaneos tractus tum novitas vulgata magnam passim consternationem attulit. cohorrescebant haud dubie periti rerum omnes, et minis malorum quae ex tam potenti coniuratione in Romanum imperium eruptura iure timerentur, usque ad desperationem salutis publicae conturbabantur, maxime cum reputarent praeter exercitum tam numerosum ac fortem praesto esse Philanthropeno paratas ad nutum, et signum modo veniendi expectantes, validissimas e Perside copias; quibus ad rebellium factionem aggregatis, ubi reperturus, unde petiturus speraretur imperator quantum erat necesse virium idonearum, ut posset in tempore obsisti? extincta in iis locis erat auctoritas omnis imperii, nomenque Augustorum nonnisi ad ludibrium et contumeliam memorabatur. unus dux, unus princeps Philanthropenus celebrabatur, penes quem summa imperii usu ipso residebat, utcumque ille nondum titulum aut insignia imperatoris assumpsisset. arces limitis illius, quas fiduciario hactenus iure uti ab Augusto commissas tenuerat, quo iam sibi proprie assereret, deductis inde veteribus praesidiis novos

ἑαυτὸν ἄλλως καθίστη ὡς δεσποτικῶς τοὐντεῦθεν ἄρχοντα. ἣν δέ που καὶ μοναῖς παραβάλλῃ (πολλαὶ δ' αὗται καὶ μέγισται), οὐ βασιλέως ἦν ὄνομα τὸ μνημονευόμενον, ἀλλ' αὐτοῦ γε καὶ μόνου κατά τι κράτος ἀρχοντικὸν καὶ αὐτοδέσποτον ὄνομα. ἀφ' ὧν καὶ πολλὰ δεσποτικῶς ἀφαιρούμενος τοῖς στρατιώταις παρεῖχεν, ἀσμένως τῶν ἐχόντων κατατιθεμένων παρ' αἰτίαν ταύτην C ὅτι τοιούτοις καιροῖς ἐμπεσόντες οὐ τὰ προσήκοντα τοῖς καιροῖς ἔπασχον, ἀλλ' ἄσκυλτοι διέμενον καὶ ἀτάραχοι. πρῶτον δ' ἦν ἐκείνου στρατήγημα τὸ ἐκεῖ που τὸν ἀδελφὸν τοῦ βασιλέως Θεόδωρον διατρίβοντα ἀποστεῖλαι τοὺς κατασχόντας· ὃν δὴ καὶ κατασχόντες τῷ κατ' Ἔφεσον φρουρίῳ φέροντες ἐγκατέκλεισαν. ἔπειτα τὴν στρατείαν ἀναλαβών, συνεωσμένων σφίσι παρ' ἐλπίδα καὶ τῶν πραγμάτων, ἐν τοῖς κατὰ Νύμφαιον τόποις ἅμ' ηὐλίD ζοντο. καὶ δὴ συνεκρότει μὲν τοὺς ἱππεῖς καὶ φιλοτιμίαις ἤγαλλε πάσαις, τοὺς δέ γε πεζοὺς ἐπιβήσας ἵππων ἱκανοὺς ὁπλίτας ἐξητοιμάζετο. ἀφεώρα δὲ καὶ πρὸς τοὺς ἀλλαχόθι ἡγεμονεύοντας, καὶ ἐσκόπει πῶς ἂν αὐτῶν περιγένοιτο. καὶ τῶν μὲν ἄλλων ἀμελῶς εἶχεν, ὡς αὐτίκα ἢ χειρὶ ἢ λόγοις προσαξόμενος· περὶ δέ γε τοῦ πρωτοβεστιαρίτου Λιβαδαρίου, ὅσον συνέγγυς εἶχε τὴν ἀπ' αὐτοῦ ἡγεμονίαν ἐν τοῖς περὶ τὰ Νεόκαστρα καὶ Λυδίαν πῦ-

20. παρὰ P.

imposuit e sibi fida militia custodes. in monasteriis, quae obiter occurrerent (sunt autem in illis tractibus multa et maxima) omitti iubebat inter sacra solitam mentionem Augustorum, suumque ut nemini subiecti principis memorari nomen mandabat nullo audente detrectare. quid enim contra hiscerent inermes ascetae adversus edictum tanto circumfusi exercitu ducis, qui se dominum omnium, ne sacris quidem exceptis, re ipsa probabat, multa passim e coenobiis auferens quae militibus largiretur, monachis quaecumque poscebantur libenter tradentibus, dum reputabant pro conditione temporum parvas istas et tolerabiles haberi debere iacturas, iis utique qui ut ipsi locis perinfestis, adeo turbulenta tempestate, inspoliati hactenus in statu satis tranquillo perseverarent. primum porro, postquam rebellaverat, Philanthropeni bellicum facinus fuit mittere qui comprehenderent Theodorum imperatoris fratrem, in vicinia tum forte commorantem, quem in arcem deportatum ad Ephesum sitam ibi custodiri clausum iussit. hinc protrusis iam ultra quam primo destinaverat rebus, haud amplius dissimulandum cunctandumve ratus, assumptum exercitum in loca Nymphaeo circumsita duxit, ibique in stativis habuit. ipse interim augendo praesertim equitatui intentus, quam amplissimis conditionibus equites undecumque invitabat, equo etiam attributo non paucis eorum quorum virtutem pedestri militia probarat, e quibus cataphractorum validos ordines confecit. circumspicere tum coepit praefectos finitimarum regionum, et secum modos exquirere cuiuscumque ipsorum subigendi. in his primus occurrebat protovestiarita Libadarius, quem praeoccupare eo solicitius studebat, quo viciniora ille obtinebat loca, terris circa Neocastra sitis

σαν καὶ Σάρδεις αὐτάς, τοσοῦτον καὶ διὰ φροντίδος πλείονος εἶχεν ἑλεῖν, εἰ καὶ ἄλλως ὑπερηφάνει, οὐδὲν τἀκείνου οἰόμενος, B δίκην δὲ πτωκὸς ἐλπίζων ἐκεῖνον χειρώσασθαι. ἀλλ' ἔδειξε ταῦτα διὰ βουλῆς ἔχων, ὡς ὅπου θεὸς ἀντιπράττει, καὶ ὁ δοκῶν βραδὺς φθάνει καὶ τὸν ὠκύτατον, πᾶσα δ' ἰσχὺς μάταιον συνέσεως ἀμοιροῦσα. ἐκεῖνον γὰρ καὶ βλέπειν ἤθελον ἐν βασιλικαῖς ἀξίαις οἱ συλλαμβάνοντες, ὡς ἐντεῦθεν ἀναρρίψαντας κίνδυνον ὅλως ἐμπεδωθέντας ὅλαις ἐνεργεῖν προθυμίαις καὶ ἐπαποθνήσκειν τῇ P 149 ἐγχειρήσει βούλεσθαι. τὸ δ' ἦν ἐν ἀναβολαῖς τὸ τόλμημα, ὡς δοκεῖν διευλαβεῖσθαι καὶ ἀμφιγνωμονεῖν. καὶ τὸ μὲν παρὸν στέργων, πρὸς δὲ τὸ μέλλον ἀποσκοπῶν, ἐκείνους μὲν ἐθεράπευε παντοίως καὶ χάριν ἐδόκει εἰδέναι μὲν τῆς εἰς αὐτὸν σπουδῆς, ἑαυτὸν δὲ παρεξῆγε τῶν μεγίστων ὀνομάτων, οὐκ εὔελπις ἀραρότως ὢν ἐπὶ τῷ τέλει, ἀλλὰ καὶ λίαν δυσελπιστῶν. καὶ αὐτὸς μὲν οὕτω διττὰ στρέφων τὸν καιρὸν ἐζυγοστάτει, καὶ τὸν B μὲν παρόντα ὡς εἶχεν ἐξεθεράπευε, τὸν δὲ μέλλοντα ὑφωρᾶτο, καί γε ἀπολογίαν ὑπολελεῖφθαι, ἄν τι προσκρούσοι, προυνόει. τοῖς δέ γε Κρητικοῖς, καὶ μᾶλλον τῷ σφῶν ἐξηγουμένῳ Χορτάτζῃ,

9. τῷ? 11. δὲ om. P. 12. post σπουδῆς P iterum χάριν.

Lydiaeque universae ac ipsis Sardibus praepositus. quamquam hunc quidem sui opinione praetumidus contemnere solebat ac nihili ducere, non dubitans sperare sese illum instar lepusculi capturum. sed tam audacis consilii diversissimus eventus demonstravit quamlibet strenuos, cum horum deus coeptis adversatur, a tardis ac lentis etiam, qualis Libadarius Philanthropeno videbatur, facile capi praevertique, quod vis consilii expers mole ruat sua. atque istum quidem primum videre in acie cupiebant qui Philanthropeno auctores fuerant supremae potestatis arripiendae. periclitandum statim, et nulla mora interposita cum hoc imperatorio duce, qui prope staret oppositus, alcam praelii iaciendam contendebant. hinc omnino initium ducendum; promptosque se in id ad fortissime pugnandum ponendasque, si res posceret, in certamine animas ardentibus studiis ferebant. at tam alacres et impatientes otii militum impetus mira ducis cunctatio, variis praetextibus, frustrabatur; quae res acrem plerisque suspicionem movit, dubitare adhuc Philanthropenum, nec certum consilii opperiri si quid aurae afflaret ab aula prosperae, quae suae illic restituendae fortunae ansam commodam offerret. in eam partem interpretabantur in homine ambitionis notae tam pertinacem recusationem Augusti nominis, cuius vim ipsam ac potestatem invasisset. inde profecto apparere non plane depositam illi spem reconciliandae cum imperantibus gratiae, cuius intuitu pertimuisset nimis invidiosos titulos, et rem integram imminens tempori servare studuisset, suis rationibus, quantolibet sibi subiectorum detrimento, consulere certus, ubi occasio daretur. tali eum animo praesentia tenere, futuris inhiare; nec velle, si quid offenderit, plane sibi occlusum ad principis gratiam regressum. penitissime omnium in eam cum suis ingressus suspicionem est unus e praecipuis defectionis suasoribus, ductor Creten-

τοῦτ᾽ ἀσφαλὲς οὐκ ἐδόκει τέως· αὐτῷ γὰρ εἶναι καὶ ἐσαῦθις με-
ταγνόντι παραιτεῖσθαι πρὸς βασιλέα, καὶ ὑπ᾽ ἀσφαλείᾳ τῇ ἐοι-
C κυίᾳ, ἔστι δ᾽ οὗ καὶ ὑπὸ μεγίσταις χάρισιν, εἰς χεῖρας ἑαυτὸν
ἐγχειρίζειν τοῖς πρὸς τὸν βασιλέα ἀξιοῦσι, σφίσι δ᾽ εἶναι τὸν
κίνδυνον ἄφυκτον πάντως, οὐκ ἔχουσιν ὅπῃ ἂν τῶν τῆς ἀποφυ-
γῆς τόπων ἐκσταῖεν καὶ ἀπερείσαιντο.

Καὶ ταῦτα μὲν ὁρώντων τὰς τοῦ ἡγεμόνος ἀναβολὰς ὁ νοῦς
οὐκ ἔξω τῶν εἰκότων ἀπεσχεδίαζε, καὶ ἐν ὑπονοίαις μεγίσταις
P 151 ἐποίει εἶναι· (10) ἑτέρωθεν καὶ ὁ πρωτοβεστιαρίτης τὸ ξυμ-
πεσὸν παρὰ πᾶσαν ἐλπίδα μαθών, τῷ βασιλεῖ καθοσιούμενος
ὡς παρ᾽ αὐτοῦ τιμηθείς, ἐν φροντίσιν ἦν καὶ περὶ τοῖς ὅλοις ἐδε-
δίει. ποῦ γὰρ εἶχεν ἐκεῖνος ἀναρριφθέντος τοσούτου κινδύνου
πρὸς τόσον στρατιᾶς ἀντιστῆναι πλῆθος; εἰ δ᾽ οὖν ἀλλ᾽ εἰ καὶ
συμπλοκὰς ἐνενόει μόλις, ὁ γοῦν ἐντεῦθεν κίνδυνος οὔπω συστᾶ-
B σαν τὴν περὶ τούτων ἔννοιαν ἔλυε. χωρὶς γὰρ τῶν ἐκ τῆς Ῥω-
μαΐδος δυνάμεων, τὸ περὶ ἐκεῖνον Περσικὸν μόνον καὶ ξενικὸν
ἀποχρῶν εἶναι πρὸς τοὺς περὶ αὐτὸν εἰς ἀνταγώνισιν ᾤετο, ὥστε
μηδ᾽ ὑποστῆναι τούτους φανέντων ἐκείνων. ἄλλως τε δὲ καὶ
φοβερῶν τοιούτων ἁψαμένους ἐκείνους εἰκὸς εἶναι καὶ ὑπὲρ τὸ

sium Chortatzes. huic patria extorri, peregre precario, nnde nnllum pateret effugium, degenti, acrem admovebat curam uimis verisimile periculum extremi nec evitabilis exitii, si, qnod prouum factu erat et clam parari res ipsae monstrabant, Philanthropenus opera cognatorum multum in aula potentium crimen rebellionis excusatione uecessitatis, quasi vim eo propellentium ducum ac militnm exercitus nequivisset eluctari, apnd principes purgaret, veniamque ea scilicet conditione impetraret, si perfidiae suasores dederet. tum illum in maiori etiam quam antea gratia et potentia futurum, sibi miserrimis luendum omne scelus capite ac sanguine ultimaque pernicie relinqui.

His ille cogitationibus aestuans, quo mentem appelleret, anxie in omnem partem explorabundus inquirebat. (10) aliunde Libadarius casu inopinatissimo perculsus, et vehementer imperatori, a quo se honoratum gratus meminerat, saluti praeterea publicae ac summae rerum a tam potenti factione metnens, in magna tum solicitudine tum incertitudine consilii iactabatur, secum anxie disquirens nbi reperiret, unde aut quando colligeret, armaret, quantas praesens usus poscebat satis firmas et exercitatas copias, qnae tanto exercitui coniuratorum iam procincto ad praelium cum spe victoriae opponerentur. videns porro quam esset necesse perniciosis principiis sine mora obstare, aegre licet, tamen efferebatur in propositum occurrendi contra strenue acieque cum rebellibus decernendi. sed istam, antequam plene sideret, sententiam gravissimae undique in considerationem incurrentes rationes diluebant. reputabat enim apud se Philanthropenum, sepositis etiam, quas sub signis numeraret, plurimis et praevalidis Romanis copiis, cum solis qnos secum duceret auxiliaribus Persis caeteraque peregrina militia, facile posse repellere quosvis suorum ac suos impetus, quin et debellare, delereqne quantum ipse in expedito militum haberet, ita ut sui ne primum quidem conspectum comparatorum ex ad-

δέον ἀνδρίζεσθαι, ὡς τῆς ἥττης ἐχούσης καὶ κίνδυνον. δεῖν
δ' εἶναι καὶ τοὺς ἀντιπάλους τοιούτους, ὡς ἴσας ὑσμίνῃ τὰς κε-
φαλὰς γίνεσθαι· ἀλλὰ ξυμβαίνειν μὴ εἶναι τοιούτους ἐξ ἀναγ- C
καίων, καὶ μάλισθ' ὅτι πολέμοις ἐμφυλίοις ὁμόσε χωρεῖν οὐδ'
οἴδασι τὸ παράπαν. ἔγνω γοῦν ἄλλως τὰ πράγματα μετελθεῖν,
καὶ θράσει καὶ πλήθει καὶ παραλόγῳ φρονήματι ἓν ἀντιστῆσαι τὸ
μέγιστον σύνεσιν, ὡς ἴσως οὕτω καὶ ἐξανύσων κἂν οὐ τὸ σύμπαν
ἀλλά τι καὶ μερικόν. καὶ αὐτίκα στέλλει μὲν τοὺς ἀγγελοῦντας
τὸ συμβὰν πρὸς τὸν βασιλέα, στέλλει δ' ἐν ἀπορρήτοις καὶ πρός D
τινας τῶν Κρητικῶν, οὓς ᾔδει δοκοῦντας, ὧν ὁ Χορτάτζης
προέφερεν, ἀμνηστίαν τε κακῶν παρὰ τοῦ κρατοῦντος σφίσι γε-

2. ἴσως P. 6. ἀντιστῆναι P.

verso Philanthropenianorum, nedum vim atque incursum laturi viderentur. atque id, etiamsi numeri solius haberetur ratio, nec quidquam extraordinariae fortitudinis in iis cogitaretur, quos ultro aggredientes rem maxime formidolosam et arduam, hoc ipso supra modum audaces et in primo certamine totam exprompturos ferocitatem temerarii quo ruerent furoris, certo deberet expectari, utique cum esset ipsis perspectissimum quanto suo periculo primis congressibus vincerentur. itaque cum universim iuxta leges disciplinae militaris officium providi ducis sit nunquam obiicere in discrimen aleamque praelii exercitum numero et genere capitum non talem qui hostibus contra obiectis par futurus sustinendis verisimiliter speretur, manifestum esse quanta sua imprudentia ordinare in campo certaminique offerre quas ductaret copias auderet, quae nec multitudine pares nec animis ac pugnacitate comparabiles hosticis forent, et numero superioribus et rabie quadam ac desperationis instinctu extremam vincendi contentionem prima quavis occasione adhibituris. accedebat quod sui nunquam nisi in barbaros educti, usu nullo valerent civilis belli. esse autem in Philanthropeni castris praecipuum robur legionum Romanarum. quarum una cum Persis et aliis auxiliaribus caeteris ruentium in nostros, praeterquam pauciores, etiam inexercitatos ferendis incursibus pari secum armorum genere utentium, quis non videat ineluctabilem impetum fore, cladem que ac internecionem ultimam inde certo secuturam exercitos, quo uno niteretur spes tunc universa salutis imperii ac reipublicae? igitur aliam omnino a commissione armorum audaciaque confligendi ineundam sibi esse belli huius administrandi rationem. arte nempe ac prudentia grassandum: nam haec machina ferociae multitudini et temerario furori una utiliter opponitur. et quis scit an non stratagemate debellem quem Marte aperto frustra tentarem? atqui si minus debellavero, totamque istam formidandae coitionis molem uno velut ictu sic deiecero, sperare certe licet partem eius me carpturum, et deruendo aliquid de cumulo, quod supererit, debilius faciliusque superatu redditurum. ita subductis rationibus consilii duos expedit uno tempore fidos homines, alterum qui rebellionem Philanthropeni et irruptionem in Nymphaeum, res nondum in aula cognitas, Augustis nuntiet, alterum qui primores Cretensium Philanthropeno militantium et in his praecipuum ipsorum clam a se conveniat Chortatzen. illis indicet polliceri Libadarium et polliciti fidem sanctissimo iureiurando adstruere paratum, sese ipsis ab Augusto impetraturum

νέσθαι διομνύμενος καί γε προσφιλοτιμηθῆναι τὰ μέγιστα, ἤν που καὶ στραφέντες μεταβουλεύσαιντο καὶ εἰς συμπλοκὴν δῆθεν παραστάσει πολέμου παραδοῖεν τὸν ἀποστατήσαντα· δόξειν γὰρ ἐντεῦθεν καὶ ἀγαθοὺς καὶ πρὸς βασιλέα πιστούς, καὶ ἐς ὅ τι μὲν E καὶ πέπρακτο ἀκουσίως ἀναγκασθέντας καθυπαχθῆναι τῇ τοῦ καιροῦ ῥύμῃ, μὴ ἔχοντας ἀντιτείνειν καὶ τοσοῦτον πλῆθος εἰς μεταβολὰς παρακεκινημένον ἐπισχεῖν, τὸ δὲ παρὸν τέως ἐνστάντος καιροῦ, καὶ ἀνδρῶν φανέντων ἀντιστησομένων τοῖς γεγονόσι, καὶ αὐτοὺς ἑτοίμους μετακληθέντας τὴν ἀρχῆθεν πίστιν ἐμφαί- P 152 νειν τῷ συνεργεῖν τοῖς ἀνθισταμένοις εἰς ἅπαν. αὐτὸν δ' ἐκείνους ἀναδέχεσθαι μὴ ὅπως παθεῖν τι πρὸς βασιλέως τῶν ἀνηκέστων, ἀλλὰ καὶ εὐεργεσίας εὑρεῖν. ταῦτα τοὺς ἀμφὶ τὸν Χορτάτζην ἀκούσαντας ἐπὶ πλεῖστόν τε γνωσιμαχῆσαι, καὶ ἐς βουλὴν θέσθαι ἐς ὃ τὸ ἀκίνδυνον ἑαυτοῖς σφίσι περιποιεῖν. τὸ δ' ἦν ὡς εἰ μὲν βιασαμένων ἐκείνων τὸν στρατηγὸν αὐτὸς χωροίη καὶ ἐς τὰ μείζω, ὥστε καὶ ὀνόματι εἶξαι καὶ παρασήμοις συνή- B θεσι, τότε καὶ αὐτοὺς τὰ πιστὰ λαβόντας ὡς εἰς τέλος ἀνθεξο-

11. τῶν deerat.

non solum oblivionem et veniam delicti, sed praemia insuper ingentia, modo inducerent in animum, quod facile mox stantes in acie possent, comprehendere rebellionis auctorem sibique dedere. sic appariturum pertractos eos in defectionem aliena vi, quod soli tam multis in scelus incumbentibus obsistere nequivissent, etsi maxime cuperent. frigere quidem istam vulgo excusationem et pro tralatitia contemni, ubi ex reis auditur deprehensis in facinore, nisi eam irrefragabile testimonium fulciat facti opportuni. huius se ipsis facultatem occupandi praesidii offerre. movere se in Philanthropenum, et copiam ei quamprimum velle praelii facere. ordinatis in campo copiis, ante commissionem, circumsisterent ducem sibique prehensum traderent. documento id certissimo futurum minime assensos vera voluntate consiliis rebellionis Cretenses, utique qui cum primum potuerint, fidem in Augustum tam luculenter constantissimam perduelli prodendo monstraverint. istiusmodi perefficacis evincendae causae ipsorum argumenti si materiam sibi, quod in promptu haberent, subministrare non omitterent, sancte spondere sese, ac quovis pignore firmare religionem pacti ultro velle, victricem defensionem innocentiae ipsorum se peroraturum apud Augustos, et praeter purgationem suspicionis in eos omnis largissimas cunctis ipsis ac singulis a liberalissima principum gratia remunerationes procuraturum. his Chortatzes et primi Cretensium in arcano auditis seriam statim de re tota secum ipsis deliberationem sunt ingressi. multo illic pugnatum conflictu sententiarum, ut cunctis in fine appetendo salutis securitatisque communis egregie conspirantibus, ita quibus illas viis et utra in partium invicem infensarum certius constituerent, varia coniectura certantibus plerisque. tandem consensu omnium sedit, profunde dissimulato a Libadario iudicio, adire de novo Philanthropenum, magnopereque instare ut nomen et insignia sumat imperii. si persuaderi se sineret, tum fortunam eius ad extremum sequerentur: sin obstinaret in

μένῳ παρακινδυνεύειν· εἰ δὲ μὴ βούλοιτο ταῦτα πράττειν, αὐ-
τοὺς τὴν παρακινδύνευσιν παντὶ τρόπῳ διεκφυγεῖν πειρᾶσθαι,
ἐπ᾽ αὐτῷ καὶ μόνῳ τὰ τοῦ κινδύνου τρέψαντας. ὡς λέγοντες
τοίνυν οὐκ ἔπειθον, ἀλλ᾽ ἑώρων τοῦτον καταλαζονευόμενον τῶν
φανησομένων καὶ ὕβρεσι πλύνοντα τὸν πρὸς αὐτὸν ἀντιπαρατάτ-
τεσθαι ἀκουόμενον ὡς αὐτίκα κατ᾽ ἐκείνου λαφύξοντα (τούτοις
καὶ γὰρ παραθαρρύνειν ἐδόκει τὰς ἐκείνων ὁρμάς, οὐδὲν πλέον C
ἤθελεν ἀναδέχεσθαι), ὑπολαβόντες ἐκεῖνοι ἐν σκέψει γίνεσθαι
ταῦτα καὶ εἰς καιρὸν μεταγνώσεως ἀποκεῖσθαί οἱ βούλεσθαι, ὅ
γε καὶ αὐτῷ μὲν ἴσως ξυνοίσει, σφίσι δὲ περιστήσεται μόνοις εἰς
κίνδυνον, πρύμναν τε κρούονται, τὸ τοῦ λόγου, καὶ πρὸς τὸν
πρωτοβεστιαρίτην τὰς γνώμας ἀνταποκλίνουσι, καὶ πίστεις λα-
βόντες ἅμα καὶ δόντες ἐξ ὅρκων φρίκης μεστῶν καί γε καὶ ἀντι- D
δόσεσιν ἱερῶν ἐγκολπίων, ἦ μὴν παραδοῦναι τοῦτον ἐς χεῖρας

7. οὐδὲν δὲ κλ.?

renuendo constantiam, hoc ipso intellecturos machinari eum suam cum aula reconciliationem, quam pernicie sibi adhaerentium sauciturus sit, paciscenda pro spe illinc veniae opimarumque mercedum facili conditione deserendi condonandique ac pro se supponendorum irae ultionique principum illos ipsos miseros quos in culpae societatem ipse auctor sceleris traxerit; quare tunc minime debere dubitare, aut ulla religione cunctari, quo minus quam possint efficacissime praevertant exitiosissimum sibi facinus, suis illum artibus petendo, vertendaque strenue in caput ingratissimi deceptoris pernicie, quam in sibi stulte credulos surdis molitionibus cudebat. hanc summam consiliorum digressi a secreto colloquio proceres Cretensium statim in rem contulere. adorti primum Philanthropenum, allegarunt instante praelio videri opportunum firmandis animis suorum semel exuere ducem exercitus talis, quae adhuc ipsi residua haerere videretur, speciem nondum satis eiurati servitii. incitamento id cunctis qui eius auspiciis rem gererent efficacissimo ad quidvis perrumpendum futurum, quod se pro vero iam Augusto pugnare meminissent, segnius, si hoc forte absit, circumspectiusque dimicaturis. ad ea ille praecise negavit se quod peterent acturum. vetuit deinde, quod prae se tulerant, de praelii eventu esse solicitos. primo enim ipso conspectu sese difflaturum paucas illas et imbelles inertis imperitique adversarii copias, ipsum vero mordicus discerptum voraturum; quem proinde id ipsum metuere debentem nihil minus quam insanire appareret, dum sibi non dubitaret occurrere, ultro in perniciem incurrens. talia isti de se thrasonice iactanti indulgentique arrogantissimis minis, et aemulum probris conviciisque laceranti, vale dicto Chortatzes cum suis, prora, quod dici solet, inhibita, cursum in contrarium torserunt. protovestiariten clam adeunt. promptos se ostendunt pacisci quod petebat. in id fides utrimque iuramentis et imprecationibus, utri fallerent, horrificis firmatur. sacra quin etiam amuleta de collo cuique, ut mos est, in sinum pendula invicem permutant, ea pro certissimo habituri pignore irrevocabiliter fixae in promissorum exhibitione voluntatis. eiusmodi religione sese Cretenses obstrinxerunt ad comprehendendum in ipso primo procinctu praelii, ordinata iam utrimque acie, Philanthrope-

ἐκείνῳ ἀκονιτὶ φανέντι καὶ μόνον μετὰ τῶν συντάξεων (δέος γὰρ
μή τι καὶ παρακινδυνευθείη τοῦ Περσικοῦ, οἷς καὶ μᾶλλον ἐθάρ-
ρει, ἐπεισπεσόντος), ταῦτ' ἐν ἀπορρήτοις πράξαντες ἐκαρτέ-
ρουν, τὴν ὑποψίαν ἐξ ἅπαντος ὡς εἶχον ἐκκλίνοντες.

P 153 11. Ἀλλ' ἐπέστη καὶ ἡ κυρία· ἡ δ' ἦν ὑστεραία. καὶ
ὁ μὲν συνηθροικὼς τὰς περὶ αὐτὸν δυνάμεις ἐκ Λυδίας ἐφίσταται
τῷ Νυμφαίῳ, ὅπου καὶ οἱ ἀποστατοῦντες διῆγον· ὁ δὲ τὸν αὐ-
τόθι πύργον, ὃν ὁ πορφυρογέννητος τῇδε διάγων ᾠκοδομήσατο,
τοῦτον τοίνυν κατέχων καὶ γυναῖκα καὶ παῖδα καὶ πράγματα ἐκεῖ
B συγκλείσας τε καὶ ἀσφαλισάμενος, πρῶτον μὲν τὴν ἐκείνου
ἀκούων ἄφιξιν καὶ λίαν ἐν θαύματι τῷ μεγίστῳ ἐτίθει, πῶς ἂν
καὶ τολμῴη χωρεῖν ὁμόσε τοσούτοις τε καὶ τοιούτοις. ὅμως θαρ-
ρῶν ἐπὶ τοῖς ὅλοις, ὡς αὐτίκα φανεὶς τὸ πᾶν ἐργάσαιτο, παραγ-
γείλας καὶ τοὺς ἄλλους ὁπλίζεσθαι, αὐτὸς τὴν ταχίστην ἐξοπλι-
P 154 σθεὶς καὶ κατὰ τοῦ φανέντος τὰ πλεῖστα νεανιευσάμενος ἔξεισι.
καὶ δὴ ἀφ' ἑκατέρου μέρους σταθεισῶν τῶν δυνάμεων, καὶ ὅσον
οὔπω μελλουσῶν συμπλέκεσθαι, ὥστε καὶ ἀκροβολισμοὺς ἀμφο-
τέρωθεν γίνεσθαι, οἱ Κρητικοὶ τοῦ συνθήματος οὐκ ἠμέλουν,

num ducem suum, eumque Libadario tradendum. ea res condicebatur in id potissimum temporis momentum, nondum commissi sed solum parati certaminis, quod si alterius expectaretur, periculum erat ne Persae, qui plurimi et manu strenui Philanthropeno militabant, destinata eventu frustrarentur, iis se verisimiliter aggregaturo, quibus maxime fideret, duce, simul initium pugnandi factum esset. id quo praeverteretur, oportebat volitantem eum adhuc ante aciem, et singulos ordines ad rem bene gerendam adhortantem, ubi ad Cretenses quoque id acturus venisset, ab iis circumsisti abducique quam minimo tumultu, haud dum plane intelligente quid gereretur exercitu reliquo, ac propterea quieturo. horum sic stipulatorum in summa dissimulatione Cretenses occasionem exequendorum expectabant, solicite declinantes quidquid suspicionem rei quae parabatur movere vel minimam cuivis posset.

11. Condicta mox dies adfuit, postera eius ipsius qua fuerat in ea quae diximus conventum. Libadarius collectas in unum e Lydia universa secum copias ducens, recta Nymphaeum versus, ubi rebelles castra muniverant, movit. erat Nymphaei turris a Porphyrogenito, dum ibi degeret, exstructa. in eam Philanthropenus a se occupatam uxorem cum filio et pecunia inclusit, praesidio ad horum custodiam idoneo imposito. Libadarium porro audiens contra se tendere, primum aegre credebat, mox ingeminatis ad fidem iam non dubiam indiciis vehementer admirari se monstrabat temeritatem hominis, qui adversus tot ac tales apparere in armis ac cum minis vincendi ferre se obvium auderet. iussas tamen ad occursum expediri copias ipse armis strenue sumptis cataphractus et iuveniliter se ostentans prorsum agebat, ingenti fiducia successum iam nunc quasi certum animo praecipiens, et visu se primo debellaturum sperans. ecce autem directa hinc et inde acie, praelibari iam incipiente primoribus utrimque velitarinaculis pugna, non obliti promissorum Cretenses, simul

ἀλλὰ φανέντος τοῦ πρωτοβεστιαρίτου, δεδιότος καὶ ἔτι περὶ τοῖς ὅλοις, μή πως ἀπάτῃ καὶ δόλῳ χρήσαιντο οἱ τέως καθυπισχούμενοι προδιδόναι, οἱ ἀμφὶ τὸν Χορτάτζην αὐτίκα, οὕτως ὡς εἶχον ἔφιπποί τε καὶ ὡπλισμένοι, ἀθρόως ἄλλοθεν ἄλλος περιστάντες τὸν ἡγεμόνα, οἱ μὲν ῥυτῆρας οἱ δὲ καὶ σπάθην ἐπέχουσιν, B οἱ δ' ἐμβριθέστερον ἀποβαίνειν τοῦ ἵππου ἐκέλευον. ὁ δὲ γνοὺς τὴν ἐπιβουλὴν αὐτίκα, θαρρῶν τοῖς Πέρσαις ἐπεχείρει μὲν ἀμύνεσθαι, καταταχούμενος δὲ τὸ παράπαν ἀπηύδα, καὶ συσχεθέντα τοῖς ἀμφὶ τὸν πρωτοβεστιαρίτην ἕτοιμον θήραμα, ταπεινὸν τὸν σοβοῦντα πρὸ τοῦ καὶ ἄφωνον τὸν πολλὰ λέγοντα, παρεδίδουν. οἱ δ' ἐκδραμόντες ἐκ τοῦ ἐξαίφνης, ἐπεὶ τὸν ἀποστατοῦντα ἐν ἀφύκτοις εἶχον, τοὺς περὶ ἐκεῖνον διασκεδαννυμένους ἤδη καὶ μόνον ὅπῃ σωθήσεται ἕκαστος ἀφορῶντας ἀμεταστρεπτὶ C κατεδίωκον. τὸ δὲ Περσικὸν ἄρτι πρώτως μεταβολὴν πραγμάτων ἰδόν, καὶ τὸν ἕως τότε μέγαν δοκοῦντα καὶ φοβερὸν ἐν ἀφύκτοις ἐλεεινὸν δέσμιον, οὐκ εἶχον πῇ τράπωνται. ὅθεν μήτ' ἀνθίστασθαι μήτε φεύγειν οἷοί τ' ὄντες, μένοντες κατεκτείνοντο. ἄλλος δὲ τοῦτον ἄλλος ἐκεῖνον καὶ ἕτερος ἄλλον καταλαμβάνων, καθότι καὶ δόξειεν ἐκείνῳ ἑκάστῳ, ἔπραττον, κτείνοντες διασμεύοντες αἰκιζόμενοι ἐκτυφλοῦντες, τὰς οὐσίας δημεύοντες. D

protovestiarites apparuit e medio suorum eminens agmine, enxie ille quidem circumspectans, et dum instabilitate reputenda militiae venalis fraudum operta subveretur, baud sine cor vellicante acri metu fidem promissorum operiens, confestim Chortatzes cum suis, ermati ut erant in equis alius aliunde concurrentes, Philanthropenum circum undique funduntur, et ei extortis hi fraeni habenis, quidam ense detracto, imperiosius iam alii equo desilire iubent. sero tum sensit miser quid pararetur, et irritum expedivit impetum suorum se Persarum auxilio tuendi. nam oppressus in conatu proturbatusque summa vi despondit animum, et vinctum se raptari ad protovestiariten ingratiis est passus; cui humilis e prius tumido, mutus e modo iactabunde loquaci, velut fera in paratos compulsa casses inbianter expectanti venatori deditur. sic Philanthropeno in tutissimam dato custodiam, Cretenses iidem iuncti copiis Libadarii in eius exercitum casu perculsum inopinato incerteque primo titubantem, mox dispergi coeptum, vi tota irruunt, et irrevocabiliter incumbunt in persequendos passim consternatos, cursu verie intento, prout spes flexerat, latebras et casus extremi effugium anxie ceptantes. infelicissima conditio Persarum fuit. bi procul a patria, intercluso ad proprie regressu, insperato destituti praesidio ducis, cuius fiducia potentiae, ut crediderant, fundatissimae, in hosticum secure penetrarant, ubi eum cuius unice opibus altebantur, repente miserabilem, irreparabili oppressum clade, insolubilibus innodatum vinculis clarissime viderunt, diu inopes consilii quo se verterent non habebant. unde nec consistere nec fugere valentes, in vestigio trucidabantur. alius hoc, alius illo, elter alio prebenso, prout libuerat abutebatur, mactantes, captivos abducentes, vulnerantes, mutilantes, excaecantes, spoliantes, expilantes; quibus varie casibus magna parte absumpta, expedito tandem

ἐδόκει ἀσφαλὲς τοῖς Πέρσαις αὐτόθεν χωρεῖν πρὸς τὰ οἴκοι, καὶ
ἀπεδίδρασκόν τινες ὡς ἠδύναντο, τῶν λοιπῶν κτεινομένων. οἱ
δ' ἀμφὶ τὸν πρωτοβεστιαρίτην καὶ μᾶλλον ἕρμαιον τὴν ἀποχώ-
ρησιν λογιζόμενοι ἑκόντες ἠφίεσαν· οὐδὲ γὰρ εἶχον ἐλπίζειν ἐπὶ
τῷ προτερήματι, καὶ οὕτω προχωρησάντων σφίσι τῶν πραγμά-
των κατ' εὐτυχίαν μεγίστην, ἀλλὰ τὰ ἐν χερσὶν ἀπολλύειν, εἴ
E τινες παρακινηθεῖεν καὶ ἐξ ἀντιστροφῆς ἐπιπέσοιεν, ᾤοντο. τα-
ραχὰς ἦν βλέπειν ἐκεῖ φοβερὰς καὶ Πανικὰ δείματα, συσχεθέντων
τῶν ὅλων. ταῦτά τοι καὶ περὶ τοῖς ὅλοις δεδιὼς ὁ πρωτοβεστια-
ρίτης μή πως καὶ ἐκ χειρῶν αὐτῶν διαρπασθείη τὸ θήραμα (δει-
νὴ γὰρ τοὺς πολλοὺς ὥπλιζεν εὔνοια, καὶ τὰ καθ' αὑτοὺς ἀφέν-
τες ἐκεῖνον ἀπωλοφύροντο· τὸ Περσικὸν δὲ μάλιστα καὶ παρα-
κεκινῆσθαι ἐδόκει, ὥς τι πραξεῖεν γενναῖον) ἔγνω τὸν θέμεθλον
P 155 ὑποσπᾶν καὶ τὸ συνέχον ἐκποδὼν ποιεῖσθαι καὶ οὕτω τοὺς φόβους
λύειν οὓς ὕπαρ ὠνειροπόλει. τὸν γοῦν μυρίον πλοῦτον συλλέξας,

6. ἀπολύειν P.

fugae consilio Persae reliqui cursum domum versus, quibus viis potuere, tenuerunt. paucis sic contigit vitam tueri, reliquis occisis, quoniam protovestiaritae milites caedendo iam fessi in lucro ponendum censuere, hostes per sese ipsos, quas direpturi venerant terras, reditu ad sua liberas linquere. nam et victores metus subibat, in tam inopinati gaudio successus, subitae conversionis in peius rerum; et fortunae in vix sperabili felicitate vim celerrimam experti, lubricam eiusdem et in utrumvis ancipitem mobilitatem, ne quid repentinae catastrophes, qua erecti deprimerentur, facili et sibi solito rotae gyro convolveret, sapienter veriti, spatium et libertatem fugae miseris illis militiae Persicae reliquiis concedi debere putaverunt. talis quaedam reputatio periculorum a suspecta sortis instabilitate velocium, protovestiariten quoque ipsum ad cautius quam humanius de captivo protinus suo statuendum perpulit. cum enim in illa tumultuosa trepidatione confusarum rerum panicis unoquoque terriculis turbato ipse dux facti protovestiarites, quem et pro magistratus officio et pro suae ipsius studio salutis acrior incitabat solicitudo praecavendi ne qua vice alterna fluctuationis reciprocantis hinc quidem reponeretur in sicco naufraugus, inde ipse qui demerserat, e portu in gurgitem deiiceretur, semel defungendum ratus difficili custodia nobilissimi rei, subnixi clientelis et necessitudinibus multis validisque plurimorum, et horum quaestuosas spes ambitiosaque studia trahentis ad suam calamitatem miserandam, ut certa desperatione conatus averteret quiddam pro eius liberatione audere paratorum, cum plurium e Romanis suis alienisque nondum plane dissipatis, tum Persarum prorsus omnium, quorum adhuc integra stabat acies (nam eorum, quam occupavi memorare, concisio paulo post contigit), decrevit semel eruere fundamentum ipsum Philanthropenianae factionis, amolirique omne obstaculum publicae tranquillitatis, et quae se vigilantem inquietabant somniabilla quaedam spectra inanium terriculorum uno ictu disiicere. igitur occupato illo ingenti acervo pecuniarum ac gazae omnigenae, quem Philanthropenus ex longo congestum in turri de qua dixi condiderat, ipsum qua virtutis merito qua sortis dono varie partis opibus

καὶ τὰ τῆς ἀρετῆς δῶρα τύχης παίγνιον εἰρηκώς, τέλος Ἰουδαίοις ἐκτυφλοῦν παραδίδωσι. καὶ ὁ μὲν τετύφλωτο, πόλλ᾽ ἄττα δυσωπήσας καὶ περὶ θατέρου τῶν ὀφθαλμῶν, ἀλλ᾽ οὐ πείσας τὸ παράπαν. οἱ δὲ τῶν ἐκεῖθεν φόβων ἀπολυθέντες τοῖς λοιποῖς B ἐπεχείρουν, καὶ ἔδρων μὲν σὺν τοῖς μοναχοῖς καὶ ἄλλους τὰ ὅμοια, ἀπηνῶς φλοιδοῦντες τοὺς ὀφθαλμούς, τοὺς δὲ καὶ βίους ὅλους ἀφῃροῦντο, καὶ σχήματι ἐκδικήσεως τῆς πρὸς τοὺς κρατοῦντας ἑαυτοῖς ἐξεδίδουν τὰ χρήματα.

12. Ἐπράττετο μὲν οὖν ταῦτα μηνὸς Σκιρροφοριῶνος C περί που τὰς χριστουγεννίους ἡμέρας, Ἑκατομβαιῶνος δὲ πρώτῃ ἔφθασαν οἱ πρὸς τὸ ἀγγέλλειν πεμφθέντες, οἳ καὶ ὡς οὐδὲν πλέον εἰδότες οὐ κατάλυσιν ἀποστασίας ἀλλ᾽ ἀρχὴν μᾶλλον καὶ σύστασιν ἤγγελλον. καὶ θόρυβος ἦν αὐτίκα, καὶ θυμὸς καὶ ἀθυμία τὴν ἀγγελίαν ἐμεριζέτην. ἐθυμοῦντο μὲν γὰρ ὅτι νέος ὢν ἔτι καὶ παρ᾽ αὐτῶν ἀναχθεὶς τοιούτοις ἐπιτολμῆσαι ἠνέσχετο, τὰς D πρὸς τοὺς βασιλέας πίστεις παρ᾽ οὐδὲν τιθέμενος· ἠθύμουν δ᾽ αὖθις τὸ θερμουργὸν ἐκείνου καὶ νέον ὑποτοπάζοντες, καὶ ὡς ἔργον ἔσται τὸ μέγιστον, μὴ ὅτι γε καταλύειν εἰς τέλος μαχομένους, ἀλλὰ καὶ ἐξημεροῦν τέως μετιόντας ὑποποιήσεσιν. ὅθεν καὶ δοκούσης ἔτι τῆς ἀποστασίας συνίστασθαι δεινὰ ἐποίουν, καὶ P 156

exutum et ad meram redactum nuditatem, fortunae ludibrium, Iudaeis excaecandum tradidit. sic ille orbatus luminibus, postquam infelicissimus se demisisset ad infimas sed ad extremum irritas preces, alterius sibi saltem oculi donandi. tunc securi victores in rebellium caeteros liberius saevire. atque aliis quidem, etiam monachis quos memoravimus, suasoribus defectionis, pari feritate oculos eruerunt. aliis facultates et vitae subsidia ademerunt universa, sibique adiudicarunt, praeda per hunc modum opima potiti, et plausibili obtentu vindicandae iniuriae principum suae ipsorum avaritiae large gratificati.

12. Haec gesta sunt mense Decembris, circiter natalitias Christi ferias. kalendis vero insecuti Ianuarii missus, ut dictum est, a Libadario nuntius Constantinopolim pervenit. indicavit is non excisam iam, quod post eius discessum contigit, sed quod solum sciebat, modo conflatam et se incipientem exerere Philanthropeni rebellionem. ad eum nuntium primo statim tumultuatum auditu est, et principum animos ira et metus divisit. indignabantur hominem adhuc adolescentem, ab ipsis educatum, ipsorum beneficiis evectum, tam mature, tam ingrate, tantum audere sustinuisse, fidei quam deberet imperantibus nulla ratione habita: aliunde metuebant a fervida indole manu prompti iuvenis; et suis rem totam momentis aestimantes, facile providebant ardui fore negotii, praeferocem et bello hactenus felicem ducem, tanto succinctum exercitu, non dicam pugna frangere, tot ipsius internecione copiis delendis, sed vel mitigare conditionibus amplis offerendis et blanditiis ad gratiam revocare. quare valere tum adhuc et cum maxime flagrare seditionem illam opinantes, non solum quorsum erumperet verebantur, verum et factum imaginantes quod ne fie-

τὸ πᾶν ἐν ἐκείνοις κράτος καταλύεσθαι ᾤοντο, καὶ ὡς ἀφαιρεθέντες τὸ τῆς ἀρχῆς πλέον καὶ περὶ τοῦ λειπομένου ἐφρόντιζον, καὶ δεινή τις κατειλήφει κατήφεια τὰ ἀνάκτορα. καὶ δὴ φανέντος καὶ τἀδελφοῦ πρωτοσεβαστοῦ, τὸ πᾶν τοῦ θυμοῦ ἐπ' ἐκείνῳ δαψιλέστερον ἐξεκένουν, καὶ ἀπειλαῖς καὶ ὕβρεσιν ἔβαλλον, B ὥστε καὶ καθ' ὑποκειμένου τὰ τοῦ θυμοῦ καὶ τῆς ὀργῆς γίνεσθαι καὶ μὴ κενὰ τῷ ἀέρι δίδοσθαι. τέλος τὴν πρὸς ἐκεῖνον ἀπογνόντες μάχην, χρησταῖς ὁμολογίαις καὶ δεξιώσεσιν ὑποκατακλίνειν ἑαυτοῖς τὸν ἀποστατήσαντα ἐβουλεύοντο, καὶ σφίσιν ἐδόκει διαπρεσβεύεσθαι πρὸς ἐκεῖνον τὸ τάχος. καὶ πρὸς τὴν πρεσβείαν ἐξελέγοντο ὁ τυφλὸς Ῥαοὺλ Ἰσαάκιος καὶ ἡ πρωτοβεστιάρισσα C Θεοδώρα. ἦν δὲ σφίσι τὸ ἀνακείμενον, πλῷ χρησαμένους καὶ ἐπιστάντας συγγνώμην τὴν παρὰ βασιλέως ὑπισχνεῖσθαι καὶ τὸ τοῦ Καίσαρος ἀξίωμα ἐπαγγέλλεσθαι καὶ πρεπούσας οἰκονομίας τῷ ἀξιώματι, εἰ μόνον μεταπεισθείη πρὸς τὴν τοῦ βασιλέως εὔνοιαν καὶ τῇ ἐξ ἀρχῆς καθυπαχθείη δουλείᾳ.

D 13. Ἀλλ' ἐξ ἐκείνου οὔπω παρῆλθεν ἡ ἕκτη, καὶ ἀγαθαὶ ἀγγελίαι καταλαμβάνουσιν, ὡς τὰ τῶν ἀποστατούντων καὶ πρὸ ἡμερῶν διαπέπρακται. καὶ κατὰ λεπτὸν ἐρωτῶντες ἐμάνθανον τότε τὰ δεινὰ σφίσιν ἀγγέλλεσθαι ὅτε παῦλαν εἶχον τὰ

19. παρ' P.

ret horrebant, specie tristissima turbabantur erepti iam ipsis imperii, suique nunc Augustorum, mox etiam de vitae ac salutis, si quae deiectis solio forte superforent, miserrimis reliquiis ab extrema pernicie periclitantium. talium indiciis terrorum pictas per palatium facies videres, pallidas et moesto tetricas silentio, nisi quando novi perduellis tot malorum auctoris frater protosebastus appareret. in hunc enim, quasi nacti scopum dignum in quem arcanae rabiei non iam frustra in aêrem perdenda tela coniicerent, stomachosissime invehebantur, minis conviciisque debacchantes. tandem tamen experiri mitiora timore ignavo subigente, desperato Martis aperti praesidio, conditionum oblationibus amplarum et tractationibus blandis pellicere ad sese ac reconciliare conari rebellem opportunius duxere. consilium ergo inierunt destinandi quamprimum ad eum legatos. electi ad id caecus Raül Isaacius et protovestiarissa Theodora. his, correpto navigatione quam celerrima itinere, conferre se citissime ad Philanthropenum iussis datum in mandatis est offerre ipsi ab imperatore primum oblivionem ac veniam defectionis, tum etiam Caesaris dignitatem, et tanto sustinendo titulo congruas e fisco pensiones polliceri, modo ille vicissim ostenderet bona fide se resumpturum benevolum in Augustum animum, et ad id quod initio professus fuerat obsequium rediturum.

13. Verum a primo defectionis indicio nondum sexta dies tota effluxerat, cum ecce adveniunt felices nuntii, debellatum ab aliquot iam diebus totamque rebellium factionem funditus disiectam deletamque memorantes. ex his dum tempus percontabantur gestae quam narrabant rei, comperiebant ipso momento quo minax ipsos et tristis perculisset fama,

λυπηρά, καὶ ὅτ᾽ αὐτοὶ περὶ ἐκείνων ἐφρόντιζον τότ᾽ ἐκείνους ἐπιτετελεσμένῃ τῇ καταμύσει τῶν χαλεπῶν ἐνηδύνεσθαι. ὁ μέντοι γε βασιλεὺς τὸ πᾶν προσνέμειν δεῖν κρίνων τῇ θεομήτορι, καὶ E ὡς αὐτῆς βοηθοῦ πιστεύων φανείσης τὸ τῶν ἀποστατῶν οὕτως ἐν ἀκαρεῖ κατελύθη φρύαγμα, δεῖν ἔγνω καὶ μόνῃ ταύτῃ ἀπονέμειν τὰ χαριστήρια, καὶ ἅμα τῷ τὰς ἀγγελίας δέξασθαι καὶ πιστεῦσαι, αὐτόθεν ἐξ ἀνακτόρων πεζῇ τὴν ὁδὸν διεξεληλυθὼς ἅμα τῇ περὶ αὐτὸν τάξει τὴν τῶν Ὁδηγῶν καταλαμβάνει μονήν, καὶ P 157 κατέναντι τῆς σεβασμίας εἰκόνος σταθεὶς ἀπονέμει μὲν κατὰ τὸ εἰωθὸς τὴν προσκύνησιν, λιπαρὰν τὴν ἱκεσίαν ποιούμενος, ἀπονέμει δέ γε καὶ τὴν εὐχαριστίαν μετὰ θερμῆς ὑποπτώσεως, αὐτῇ γε μετὰ θεὸν λέγων καὶ βασιλείαν καὶ ἐκκλησίαν εἰς χέρας τιθέναι, καὶ παρ᾽ αὐτῆς καὶ μόνης ἐλπίζειν ἀξίαν γε τὴν διοίκησιν καὶ ἐπ᾽ ἀμφοτέραις. ταῦτα ποτνιασάμενος καὶ τὰ εἰκότα εὐχαριστήσας, ἐπιβὰς ἵππου ἐπανεζεύγνυ πρὸς τὰ ἀνάκτορα. τῷ δέ γε B πρωτοβεστιαρίτῃ πρόσταγμα χαριστήριον σχεδιάζεται, καὶ τιμῆς ὑπερτάτης ἐπὶ πολλοῖς ἄλλοις φέρον ὑπόσχεσιν. ὃ δὴ καὶ μετ᾽ οὐ πολὺ ἀπεπλήρου τῇ Κωνσταντίνου ἐπιδημήσαντι, μέγαν στρατοπεδάρχην ἐτίμα, καὶ τιμαῖς τῆς ὑπὲρ ἑαυτοῦ σπουδῆς χάριν ἤγαλλεν.

15. ὑπανεζεύγνυ P. 18. μέγαν] οἷς ὅτι μέγαν?

ab Augusto magni habitus, iussi ab eo sunt egredi et foris interrogare logariasten de iis quae dixerat imperator. factum id est; et logariastes suo testimonio prolixe fidem adstruxit sincerae veritatis allegatis ab Augusto; exequens etiam circumstantias numeri dierum et morbi ac modi mortis eius qui sic obiisse dictus esset, aiens videlicet quarto die postquam vapulaverat hunc efflasse animam, nec aliam ei fuisse mortis causam quam fluxum sanguinis e plagarum inflictione secutum. hinc iam ad tertiam patriarchae de imperatore querelam neglectarum suarum pro clientibus precum processit oratio. ibi postquam imperator verbis plurimis ostendit propensissimam suam non in plerisque solum sed plane in omnibus erga patriarcham indulgentiam, distinxit genera supplicationum quae sibi offerri contingeret. alias enim necessitatem habere iuris stricti, et ea poscere quae sine iniustitia negari haud possent. has a se negligi nefas esse ultro confiteri propter debitam aequitati a principe reverentiam. verum alterius quoque generis preces esse minime debita beneficii nomine rogantes. in his, ut benigne annuentis liberalitatem principis eius imputari gratiae par est, ita recusatio libertate utentis in renuendo sua nullam videtur offerre iustam dolendi aut conquerendi causam non assecuto quod optarat. confundere porro patriarcham et in unum haec miscere, non minori alioquin ab invicem intervallo dissita quam quo Mysorum, ut dici solet, Lydorumque fines distant. ac propterea aegre ferre si quando minus morigerum ad omnia quae postulat experiatur imperatorem; in quo plus aequo sibi arrogare ipsum, ac ultra quam recta ratio sineret appetendo provehi, affirmavit Andronicus et multis evincere contendit. subiunxit nihilominus promissionem facilioris in posterum exorabilitatis, ostendens plane sibi esse decretum et benigne audire patriarcham quoties dein-

τὴν λύπην ἠξίου καὶ μικροψυχίας πάσης ἀπαλλαγέντα τῆς τιμῆς ἔχεσθαι. ταῦτ᾽ οὖν ἐκεῖνος λιπαρῶς ἠξίου, καὶ τοὺς ἄλ- D λους εἶχε ξυναξιοῦντάς τε καὶ συμπείθοντας. κἀντεῦθεν ὁ γηραιὸς ἐκεῖνος μαλακισθεὶς (ἦν γὰρ ταῖς ἀληθείαις καὶ τὴν γνώμην εὐένδοτος), παροτρυνθεὶς εἰς τοῦτο καὶ παρὰ τῶν ἰδίων κατανεύει, καὶ βασιλεῖ ἀξιοῦντι πείθεται, καὶ καθυπισχνεῖται αὐτίκα ἐκεῖ μόνον μείναντα ὑπ᾽ αὐγὰς τὰς πρώτας τὸ πατριαρχεῖον καταλαβεῖν. γέγονε τοῦτο, καὶ ἡ τῆς ὑπαπαντῆς ἑορτὴ τὸν πατριάρχην ἐπὶ τῆς ἐκκλησίας ὁρᾷ.

Ἀλλ᾽ οὐκ ἦν καὶ ἐσαῦθις τὸν τοῦ Τελχῖνος ἠρεμεῖν φθόνον, P 205 (10) ἀλλ᾽ ἔαρος ἐνστάντος ἐντεῦθεν καὶ τῶν πασχαλίων διελθουσῶν ὁ περὶ τοῦ Ἐφέσου Ἰωάννου λόγος κινεῖται. καὶ βασιλεὺς μὲν αὐτὸς ὁμολογῶν εἰς αὐτὸν ἁμαρτεῖν, — μηδὲ γὰρ εἶναι ἄλλον τὸν καθαιρήσοντα, ἀλλὰ μόνον τὸ σφέτερον θέλημα διὰ τὸ ἐπὶ τοῦ Γρηγορίου σκάνδαλον, μὴ τοῖς ἄλλοις κἀκείνου συμ- B βαίνοντος ἐφ᾽ ᾧπερ ὁμολογεῖν εἶναι ἐκεῖνον παῤῥησίᾳ μηδὲν σφαλέντα ἐπὶ τοῖς δόγμασιν, ἔπειτα δὲ τὴν ἐκείνου παραίτησιν δέχεσθαι. καὶ διὰ τοῦτο ὑψίθρονον ὄντα βασιλεὺς ἐπίτηδες ὑπεχάλα καὶ τῇ κέλλῃ παρέβυεν. αὐτὸς γοῦν ἀναλαμβάνων τὴν τι-

ceps se adiret, et ei gratificari efficiendo quae vellet. tantum oravit, ut laxata contractione animi, et omni aegrimonia suspiciosaque tristitia deposita, resumeret exercitium suae potestatis, et honoribus tali sacerdotio debitis coli se sineret. haec laetus renidensque imperator cum diceret, adiuvantibus pro se quoque cunctis qui aderant, et communi assensu eadem rogantibus, emollitus denique senex est: erat enim re vera flexibilis ad suasiones amicorum, vir haud praefractae mentis, nec praeindicatorum pertinax sensuum. sed et hanc hominis ad aequis acquiescendum pronitatem familiares tunc eius promoverunt, ipsum, ut persuaderi sibi pateretur quod omnes optabant, adhortantes. annuit ergo postulatis imperatoris, et ei promisit se non plus in quo erat haesurum loco, quam quantum nox tum intempesta cogeret; primo diluculo in oedes patriarchales remigraturum. nec pollicitis fides abfuit: nam postridianam Hypapantes festum patriarcham ministeriis sacris redditum rursus vidit in ecclesia.

Quamquam ne perpetuum sic restituti officio praesulis gaudium foret, haud abstitit invidi daemonis malignitas denuo conari. (10) caeterum vere inde consecuto et Paschalibus feriis elapsis, causa Ioannis Ephesii retractari coepta est. ac imperator quidem ultro poenitens fatebatur inique ab se cum illo actum, quippe qui eius falso insimulati participationis scandali Gregoriani, eoque adacti ad renuntiandam dignitatem, volens abdicationem recepisset, thronoque sic deiectum cella inclusisset. quam suam iniustitiam ut quamprimum agnoscebat emendaret, profiteri se nunc palam Ioannem Ephesinum minime assensisse caeteris in pace inita cum Gregorio, neque quidquam erroris contra dogma conscivisse. tum quod erat tali declarationi consequens, idem Augustus retexere male orsa et restituere in integrum dignitatique reddere quem perperam evertisset vo-

μὴν ἐκείνῳ ἤθελεν ἀνορθοῦν, ἐκεῖνο διδοὺς ὃ καὶ ὠργισμένος
προσαφῃρεῖτο, τὴν εὐμένειαν. ἀρχιερεῖς δέ, πλὴν τοῦ Φιλα- C
δελφείας καὶ τοῦ Σμύρνης, οὐκ οἶδα εἰ καὶ τρίτου ἑτέρου, βα-
σιλέως λύοντος τὴν ὀργὴν ἐπὶ τῆς οἰκείας ἔκρινον ἔχειν ἐκεῖνον τι- P 206
μῆς, τό τε δίκαιον δυσωπούμενοι, καὶ ἀνδρὸς ὄντος ἐκείνου τὴν
ἀρετὴν καὶ τὸν λόγον οὐχ ἥκιστα ἱκανοῦ καὶ χρειώδους ἐπὶ τῆς
ἐκκλησίας τὰ μέγιστα· μηδὲ γὰρ ὅλως ἰσχῦσαι τὰ κατ' ἐκείνου
ἐπ' Ἀθανασίου πατριαρχοῦντος κεκινημένα, ἀλλ' ἡμιτέλεστον
μεῖναι τὴν κρίσιν διὰ τὴν τῶν ἀρχιερέων ἐπὶ τοῖς ἀνισχύρως κι-
νουμένοις ἀμφιγνωμόνησιν. καὶ οἱ μὲν οὕτως ἐδικαίουν τὸν B
ἄνδρα, πατριάρχης δὲ καὶ ὁ Φιλαδελφείας (ὁ γὰρ τρίτος ὁ Σμύρ-
νης ἐγκλήματι καθοσιώσεως ὑπαχθεὶς ὡς εὐλογήσας τὸν Μαλά-
κην — Μαλάκης δ' ἦν ὁ ἐπὶ τοῦ Φιλανθρωπηνοῦ τὴν Σμύρνην
ἐκείνῳ κατέχων, ὃς δὴ καὶ πεφόνευτο ὕστερον — ἐκινδύνευε καὶ
ἀργὸς ἦν) τέως ἄμφω πατριάρχης τε καὶ ὁ Φιλαδελφείας ἀντέτει-
νον, καὶ ἕν τι τῶν ἀδυνάτων εἶχον τὸν Ἰωάννην ἀποκαθιστᾶν. C
ὅθεν καὶ μεταξὺ τούτων μεγίστη φιλονεικία ἤρξατο ἀναφύεσθαι,
ὥστε καὶ ἀπειρηκότα τὸν πατριάρχην ἀποχωρῆσαι καὶ πάλιν εἰς
τὴν τῆς Παμμακαρίστου μονὴν τὸν τῆς συνόδου ὄχλον εἰς τοῦτο.

luit, ultro ei concedens quod iratus abstulerat, suam videlicet benevolam gratiam. porro antistites (exceptis Philadelphiensi, Smyrnensi et tertio forte quodam alio) nihil causae putabant superesse quominus Ephesinus, reconciliato iam ipsi Augusto, protinus honorem amissum rite ac iure suo resumeret, ad quod cum aequitate ipsa rei movebantur, tum viri reverentia, virtute ac doctrina insignis, maximeque utilis iis dotibus ad res, et tum erant, ecclesiae componendas vel stabiliendas. neque enim rata esse aut omnino valere, quae Athanasio patriarchatum gerente adversus eum fuissent mota, sed imperfectum et dilata sententia pendens adhuc manere iudicium, idcirco quod antistitum suffragia, ob invalidas obiectorum ipsi criminum probationes in incerto haerentium, haud umquam legitimo numero ad eius damnationem concurrissent. atque hi quidem sic Ephesinum omni crimine liberum, et hoc ipso restituendum sedi suae videri debere contendebant. at patriarcha et Philadelphiensis vehementer obsistebant. erat et tertius Ioanni contrarius Smyrnensis: sed parum poterat, ipse sacerdotio suspensus et laesae maiestatis citatus reus, ac nondum purgato crimine periclitans. accersitus autem fuerat perduellionis ob impertitum ecclesiastica benedictione Malacam quendam participem et ministrum rebellionis Philanthropeni, cuius nomine Smyrnam occupatam tenuerat, postea interfectus. praecipui ergo et efficaciores oppugnatores Ephesini erant patriarcha et Philadelphiensis. hi omnino negabant fieri posse ut is reponeretur in throno. ardescebatque maiorem in modum inter hos aliosque ea de re contentio, adeo quidem ut offensus inrgio et pertaesus synodalium rixarum iterum patriarcha secederet in Pammacaristi monasterium, imperatore mollius agente pro Ioanne, metu offendendi

ὁ γὰρ βασιλεὺς μαλακῶς ἀντείχετο καὶ πατριάρχην κατὰ τὸ εἰκὸς ἐφυλάττετο, ὡς εἶχεν ἀποκρουόμενος.

D 11. Ἐκείνου γοῦν ἰδιάσαντος καί γε τὴν θύραν ἀποκεκλεικότος τοῦ μή τινα εἰσιέναι τῶν ἔξωθεν κατὰ χρείαν δῆθεν ἀναφορᾶς ἢ καὶ κρίσεως, οἱ ἀμφιγνωμονοῦντες ἐκείνῳ ἀρχιερεῖς δόξαντές τι ποιεῖν ἱκανὸν ἐπ᾽ ἐκεῖνον, καὶ τοῦ Ἐφέσου συνεργοῦντος σφίσι πλαγίως, τόμον συντάττουσι μέμψεως καὶ βασιλεῖ
E ἐγχειρίζουσι, τὴν βασιλέως ἐντεῦθεν ὑποχαλᾶν καὶ ἐκλύειν πρὸς ἐκεῖνον πειρῶντες διάθεσιν. αἱ δὲ μέμψεις, ὅτι εὐταξίας ἀπαιτουμένης, εἴπερ ἐν ἄλλοις, κἀν τοῖς τῆς ἐκκλησίας πράγμασι (ταύτην γὰρ καὶ τοὺς πατέρας διὰ τῶν οἰκείων συνιστᾶν κανό-
P 207 νων), κατ᾽ οὐδὲν ὅλως τῷ πατριαρχεύοντι μεμέληκε ταύτης. κρίσεις μὲν γὰρ ἃς αὐτοὶ συνοδικῶς ἀποκαθιστῶσιν, ἐκεῖνος μόνος ἐξαλλάττει, καὶ δι᾽ οἰκείας γραφῆς τὰ τοῖς δόξασιν ἐναντία διακελεύεται, καὶ ἐκκλησίας κεχηρωμένας τῶν προεστώτων, αὐτὸς ἐξεπίτηδες τὰς ἐπ᾽ ἐκείνας ψήφους ὑπερτιθέμενος, πέμπων σφετερίζεται τἀκείνων, καὶ τὰ μὲν ὡς βούλεται διατίθεται, τὰ δὲ καὶ δίδωσι τοῖς ἐπ᾽ ἐκείνοις καταστᾶσι. τὰ δέ γε τῆς οἰκείας
B ἐκκλησίας τῷ σφετέρῳ υἱεῖ ἐγχειρίσας Ἐφραὶμ ὕλην δίδωσι τούτῳ κακίας τοῖς ἐκεῖθεν λήμμασι, μὴ οἰκονόμον κατὰ τὸ σύνηθες κα-

10. κἀν τοῖς] χαὐτοῖς P.

patriarchae, quem observare perseverabat, cavens irritare hominem, sed eius tamen impetus in Ephesinum quam poterat moderatissime retundens.

11. Patriarcha igitur privatim agente, ac obseratis pertinaciter valvis neminem eorum admittente qui aut petendae interventionis aut iudicii causa aditum ad eum poscerent, antistites contrariae ipsi factionis aliquid ad rem quam promovebant utile se acturos rati, cooperante oblique Ephesino, libellum conscribunt querelarum in patriarcham, eumque Augustis porrigunt, ita se quod conabantur, non sine spe successus tentaturos arbitrati, aut extinguere penitus aut aliquantum debilitare patriarchae apud Augustum seniorem gratiam. "capita haec erant querelarum, quod cum bene ordinata dispositio ministeriorum ac functionum unice requireretur non minus in aliis quam in ecclesiasticis negotiis, unde hanc patres propriis canonibus commendassent, eam tamen patriarcha funditus negligat. quae enim ipsi synodice legitimo suffragiorum concursu decreverint, ipse solus immutat, et proprio rescripto communiter statutis contraria imperat. praeterea ecclesias pastoribus viduatas, dilatis de industria canonicis per suffragia electionibus praesulum substituendorum defunctis, ipse sibi usurpat, missis qui nomine suo proventus earum tollant; et partem bonorum pro libitu absumit, partim iis condonat quos istis administrationibus praefecit. quin et res ecclesiae propriae dispensandas pro arbitrio permittens filio suo Ephraimo, ansam ei et materiam ad male agendum praebet, occasione lucrorum quae inde sibi congerit, cum pro more debuisset eiusmodi procurationem oeconomo ad id lecto commendasse, viro idoneo, cuius fideli

θιστῶν, παρ' οὗ δὴ καὶ τὰ τῆς ἐκκλησίας διεξάγοιτ' ἂν πράγματα. καὶ πόλλ' ἄττα τοιαῦτα γράφοντες ὑπαίτιον δεικνύειν ἤθελον τὸν τέως σφᾶς ἀποπροσποιούμενον. ταῦτα βασιλεῖ δεξαμένῳ τὸ πολὺ ἐπῄει καθυφιέναι τῆς διαθέσεως, οὐ μὴν δὲ ὥστε καὶ ἀπολύειν παντάπασιν ἔγνω, ἀλλ' ἐκείνῳ μὲν ὑφιέναι καὶ ἐνδιδόναι, ἢν πως ἀνακάμπτειν βούλοιτο, μὴ μέντοι γε ὡς C τὰ πρῶτα λιπαρῶς ἀξιοῦν καὶ καταναγκάζειν· ἢν δ' ἐπανήκοι, δέχεσθαί τε καὶ οἱ τοὺς ἀρχιερεῖς ὁμονοεῖν πείθειν ἅμα καὶ τῷ τὰ αἰτιάματα θεραπεύειν κελεύειν. τὰ γὰρ τοῦ Ἀθανασίου κέντρα τὴν οὐλὴν ὑπέκνιζε· μηδὲ γὰρ ἔχειν ὅλως αὐτὸν εἰρηνεύειν καὶ τὰς ἀρὰς λύειν, ἃς οὕτως ἐμπερισκέπτως καθίστη καὶ φρικτῶς ἀφώριζε, μὴ τὸν θρόνον καὶ αὖθις ἀπολαβόντα, καὶ ταῦτα D μηδὲ τῷ παρ' αὐτοῦ τῆς λύσεως γράμματι τὸ ἅγιος προστιθέντα κατὰ τὸ σύνηθες τῷ τοῦ βασιλέως ὀνόματι, ὅτι οὐδ' ἐκεῖνος ἠρέμει ἐν τοιούτοις καιροῖς τοῦ σκανδάλου, ἀλλὰ τὰς θύρας

et prudenti indicio administratio bonorum ecclesiae recte ac prout decet gereretur." haec et mnlta eiusmodi libellus episcoporum continebat, quibus studebant reum ant saltem suspectum apud Imperatorem reddere patriarcham, a quo se participatione consiliorum exclusos et quasi abdicatos dolebant. ea cum accepisset Imperator, remisit ille quidem mnltum de illo vehementi affectu quo prius patriarcham amplectebatur, non tamen nt deiicere illum throno plane decerneret: quin potius statuit benigna tractatione ipsum et indulgentia pellicere, si posset, ad resumendum exercitium patriarchalis potestatis, certus tamen non descendere amplius, uti antea fecerat, usque ad preces humiles et declarationes quae possent reluctantem cogere, obfirmatae ad impetrandnm voluntatis; satis existimans nunc fore, si post benignam invitationem reverti quo vocabatur ultro annuentem beuevole susciperet, eique conciliare adversos antistites studeret suadenda iis cum illo concordia, dandaque opera ut obiecta ei crimina iustis purgationibus dilnerentur. ne ultra haec conari nunc qnidem curaret, neve abhorreret nimium a mutatione praesulis, faciebant infixi dudum eius animo et necdum evulsi penitus scrupnli ex illa fulminatione dirarum atque anathematum qnam Athanasius chartis abstrusis indiderat. coaluerant quidem utcumque vulnera formidinum illarum, non tamen ita ut non interdum cura inde superstitioso principi supervacanea renascens obductas quasi refricaret cicatrices, solicitaretqne reputantem haud videri vere umqnam expatriarcham illum solutnrum quod ligaverat, et horribiles illas execrationes rite legitimeque remissurum, nisi reponeretur in sede potestatemque reciperet eandem qua tunc erat praeditus cum illa scriberet. nam declarationem istam, qua sedatae tunc conscientiae multorum essent, apparere convicio expressam ab invito, nec periculum abesse quin uti vi extorta, cassa effectn et nullius esset roboris. pellucere quin etiam, si quis introspicist attentius, signa male dissimulatae talis in ipso Athanasio sententiae arcanae. cur enim ille literis de hoc editis omisisset Imperatoris nomini consuetum sancti adiunctum apponere, nisi vellet subindicare haud opinari se illnm rite per has ac vere intortorum in ipsum per priores anathematum feralibus vinculis solutnm. quid quae nunc agere diceretur, an non idem ipsum innuebant? audiebatur enim, ex quo erant istae

ὑπανοιγνὺς τῆς μονῆς πολλοῖς ἐπήρκει πενομένοις ἐκ τῶν τυχόν-
των. ἦν δὲ ἄρα ταῦτα τοῦ μέλλοντος προκεντήματα, καὶ ἡ
E παλίμπους ἐφήδρευε δίκη μηδὲν ἐπαΐουσι. τότε δ' ἦν ταῦτα,
οὐ μὴν δὲ καὶ ἐς ἅπαν τῷ πατριάρχῃ ἠγνόητο τὰ τοῖς ἀρχιερεῦσι
πραττόμενα. διὰ ταῦτα καὶ τὰ τῆς τιμῆς περιποιούμενος ἑαυτῷ
αὐθορμήτως ἔγνω πρὸς βασιλέα παραγίνεσθαι, καὶ προσώπῳ
P 208 γνησίῳ ἐντυγχάνοντα εὐμενίζειν τῷ αἰδῷ προσβαλεῖν. (12) ταῦτα
διανοηθεὶς ἐπιβὰς ἵππου πρὸς ἑσπέραν εἰκοστῆς πέμπτης μηνὸς
Ἐλαφηβολιῶνος βασιλεῖ πρόσεισιν. ὁ δὲ καὶ δέχεται τοῦτον
ἀσμένως, καὶ τὴν κεφαλὴν ὑποκλίνει πρὸς εὐλογίαν, καὶ καιρὸν
οἰηθεὶς ἐκεῖνον εἶναι τῆς σφῶν καὶ ἀμφοτέρων πρὸς τὴν τῶν Πα-
λαιολόγων μονὴν ἀφίξεως τῆς ἑορτῆς ἕνεκα, συμπαραλαβών,
B συνέρχονται καὶ ἀμφότεροι. εἶτ' ἐκεῖθεν, ἐπεὶ τρίτη τῆς ἑβδο-
μάδος ἦν καί γ' ἐξ ἀνάγκης ἐκ πολλοῦ τῷ βασιλεῖ ἦν τῇ τῶν Ὀδη-
γῶν μονῇ κατὰ ταύτην τὴν ἡμέραν παραβάλλειν προσκυνήσεως
ἕνεκα, συνιόντες ἅμα, αὐτὸς μὲν τὴν ἀναγκαίαν ὁδὸν ἐξήνυεν,
πατριάρχης δὲ τὸ πατριαρχεῖον καταλαμβάνει, διαδοθέντος λό-
γου, ὡς καὶ αὐτὸς ὕστερον ἐν οἷς πρὸς βασιλέα ἔγραφε καὶ τοῦτ'

de patriarcha qui nunc rerum potiretur controversiae motae, suae prius clausae cellulae fores hiare passum esse; admisisse quinetiam clanculum et subsidiis opportunis populariter demeruisse inopes e plebe quospiam: quae indicia essent minime acquiescentis fortunae praesenti, et thronum unde excidisset respectantis. tales curae intime versantes mentem nimium facilis ad sensum religionis omnem Andronici Augusti senioris quasi praeludia erant certaminis instantis et primae commotiones in proximo insidiantis sine ullo sui sensu vindictae, at mox erupturae in nihil minus opinantes, ad restituendum qui ceciderat. haec tunc erant: quid secutum sit, dicetur. quod nunc instat, haud prorsus latuere patriarcham quae ab episcopis in ipsum cudebantur. quare curam ingressus retinendi asserendique sibi patriarchatus, praevertere decrevit adireque protinus Augustum, ultroque offerendo sui conspectu, citra suspiciosa internuntiorum tentamenta, propria coram fucie verecundoque diluere congressu quidquid malevolae delationes animo principis in se forte offensionis allevissent. (12) ab his sic apud se decretis, equo conscenso, sub vesperam diei vicesimae quintae mensis Octobris ad imperatorem se confert, qui et eum benevole excepit, et caput ipsi ad benedictionem inclinavit; ratusque tempus illud esse quo conveniret ambos ipsos ad Palaeologorum monasterium simul proficisci celebrandi illic festi gratia, eo re ipsa sociati invicem iverunt. ac quoniam feria numerabatur tertia, quali die ex longo usu necesse erat imperatorem proficisci ad Hodegorum monasterium venerationis causa, quadam inde viae parte communiter confecta digredientes, imperator quidem necessarium, uti consueverat, iter peregit, patriarcha vero patriarchali domicilio se reddidit, didita iam tum fama visi cuiusdam divinitus oblati patriarchae, quo is motus fuisset ad resumendam, contra quam prius decrevisset, cum habitationem tum administrationem eius dignitatis propriam. iactatum quippe vulgo est (et id postea ipse Ioannes

ἐδήλου, ὅτι καθήμενος μόνος ἰδίᾳ ὕπαρ σχεδόν, οὐκ ὄναρ, φω- C νῆς ἀκούοι παιδὸς ἐπιστάντος, ὡς ἔδοξεν, "εἰ φιλεῖς με, Πέτρε, ποίμαινε τὰ ἀρνία μου." παρ' ἣν αἰτίαν καὶ ἐλθεῖν αὐθωρὶ καὶ βεβαιοῦν ἔτι μὴ ἂν ἐξελθεῖν ἐντεῦθεν, εἴ τι καὶ γένοιτο. τότε δὴ καὶ τῶν ἀρχιερέων οἱ μὲν ἐδέχοντο τοῦτον, οἱ δ' ἀφηνίαζον ἐπ' αἰτίαις ταῖς οὐ τυχούσαις τιθέντες τὸ μὴ συμφωνεῖν ἐπὶ πολλοῖς σφίσιν ἐθέλειν τοῦτον, ἀλλ' οἷον μένειν αὐτόνομον. D ὑπεκρούοντο δὲ ταῦτα λέγοντες τὸ κατὰ τὸν Ἐφέσου Ἰωάννην τοῦ παντός γε μᾶλλον· μηδὲ γὰρ συμφωνεῖν ἐθέλειν, ὅ τι καὶ πράττοιεν, ὑπὲρ τούτου. βασιλεὺς τοίνυν τὸ πρὸς τὸν πατριάρχην τιμητικὸν συντηρεῖν καὶ αὖθις ἐθέλων συχνάς τε προσόδους P 209 πρὸς αὐτὸν ἐποιεῖτο, καὶ τοὺς ἀρχιερέας μεταπεμπόμενος τὴν τῆς γνώμης σφῶν ἀνοίδησιν ἐξωμάλιζε πολυτρόπως, οἷς δὴ πολυωρεῖν εἶχε τὴν τοῦ πατριάρχου σύστασιν· προσυπίσχετο δὲ καὶ ταῦτα γίνεσθαι μετ' εἰρήνης καὶ διορθοῦσθαι τὸ πλημμελούμενον. καὶ οἱ μὲν ἑκόντες ἄκοντες, τοῦτο μὲν τῇ παρὰ βασιλέως βίᾳ τοῦτο δὲ καὶ τῷ ἀπαραιτήτῳ τοῦ πράγματος, ὑπεκλίνοντο,

Cosmas scriptis ad imperatorem literis affirmavit) ipsi suo in secessu considenti, palam per vigiliam, non autem in somnio, auditam clare vocem pueri superne adstantis, ut videbatur, verba ista proferentem "si amas me, Petre, pasce agnos meos," qua ille manifesto auditu percepta, intellectoque quid iuberet, eadem hora omisso secessu prodiisse petiisseque patriarchales aedes, ac plane statuisse numquam inde amplius, quidquid demum accideret, recedere. tunc porro episcoporum alii quidem patriarcham ad exercitium potestatis redeuntem consueta submissione exceperunt, aliis subiicere se illi ac communicare praefracte recusantibus; cuius suae rebellionis causas, ut ipsis videbatur, non aspernandas allegabant, quod nempe in multis convenire cum ipsis Ioannes nollet, sed velut sui iuris, pro arbitrio cuncta gerendi sibi et arrogaret et assereret libertatem. innuebant haec dicentes negotium Ioannis Ephesini, in quo videlicet potissimum ista independentis usurpatio auctoritatis ab eo affectata emineret: recusare quippe illum irrevocabili obfirmatione animi assentiri episcopis in eo quod de isto antistite agendum statuendumve censerent. at imperator reconciliatae cum patriarcha gratiae fidem exhibere significatione constantis in eum reverentiae cum maxime nunc studens, frequens ad illum itabat, et crebro episcopos accersens lenire tumentes ipsorum iras et reducere ad benevolentiam infensos ab eo abhorrentium affectus omni cura satagebat, pollicens, quae ipsi vellent, efficacius placidis officiis quam turbulento peragenda impetu. crederent sibi solum, et subiici patriarchae sustinerent: restitutum iri cuncta in integrum; et si quid peccatum esset, ex voto eorum emendandum. per haec illi partim volentes, partim vi quadam imperialis verecundiae obnixas in contrarium eluctante voluntates inflexi, vel re vera inclinabantur ad obsequium, vel quem recusare summae rogantis auctoritati nequirent assensum simulabant, tacitis tamen destinationibus tempus aliud designantes, quo inchoata resumerent,

καιρὸν δ' ἐτίθουν καὶ αὖθις ἀνακινεῖν τὰ μεταξὺ κείμενα καὶ ζητεῖν διόρθωσιν.

B 13. Ἐν τούτῳ δὲ καὶ Μιχαὴλ ὁ δεσπότης τὴν συνοικοῦσαν πρὸ χρόνων ἀποβαλὼν (ἡ δ' ἦν ἡ τοῦ βασιλέως αὐταδέλφη) τῇ τοῦ Τερτερῆ κεχηρωμένῃ ἤδη τοῦ κράλη Σερβίας ἐποφθαλμίζει, καὶ θέλων θέλουσαν ἄγεται, ἐφιέντος μὲν βασιλέως, ἐφιεί-
C σης δὲ καὶ ἐκκλησίας ἐν ὑστέρῳ τῶν γενομένων. ἣν δὴ καὶ ἁρμοσάμενος ἑαυτῷ, τὸ τῆς δεσποτείας ἀξίωμα ἔχων καὶ ἔτι, συμμετεδίδου τῆς ἀξίας καὶ τῇ συνῳκημένῃ ἐκ κραλαίνης, ἐξ ἧς καὶ παῖδας ἀποτετόκει. καί γε δῆλος ἦν τῇ τοῦ Τερτερῆ συνοικῶν ὡς γνησίᾳ.

D 14. Καὶ τότε ἀστὴρ κομήτης ἀφ' ἑσπέρας ἐξέλαμπεν, περὶ οὗ καὶ ἐν τοῖς κατ' ἐμαυτὸν δι' ἐπῶν ὑπέμνησα, οὕτω γράφων.

ἤδη μὲν φθινοπωρὶς ἰσημερινὴ ἐπέλαυνεν,
P 210 ἠέλιος δ' ἔχε παρθενικῆς ἐρατεινὰ πρόσωπα.
καὶ τότε δὴ φαιδρὸς λάμπε Θρήκηθε κομήτης,
ἐκταδίην τε κόμην ἔχεν ἀντολίηνδε ῥέπουσαν,
ἑσπέριος δ' ηὔγαζ' ἐπὶ τόσσον νυκτὸς ἰούσης,
B αἰὲν ἀπαινύμενος τὸ πλέον νῦν ἢ τὸ πάροιθεν,
ὅσσον ἀνωτερίεσσι διαλλάξεσσιν ἔφωσκεν.

5. ἀποφθαλμίζει P. 6. ὑφιέντος P. 17. δὴ deerat 21. ἀνωτερίῃσι?

et quae perperam acta prius causati nunc principis gratia tolerare prae se ferrent, utique refingi ac corrigi quaererent.

13. Inter haec Michael, amissa dudum coniuge priore, quae imperatoris soror fuerat, ad filiam Terteris, separatam, ut diximus, a crale Serbiae, adiecit oculos, et volens volentem duxit, nihil obstante imperatore, ecclesia vero postmodum factum comprobante. quin et aliquanto posterius quam hanc connubio sibi iunxerat, cum iam liberos ex ea suscepisset, despotica illam, qua erat ipse iampridem insignitus, potestate impertiit; habuitque ex cralaena despotam Terteris filiam uxorem, nullis prorsus honorum, qui legitimae necessitudini verae coniugis deberentur, significationibus exclusam.

14. Tunc stella crinita ab occasu resplenduit; circa quam versibus alias a me scriptis, opere adhuc apud me condito *), sic ludere memini.

Autumnus luci ac tenebris aequaverat horas,
osque sacrum Erigones Sol annuus hospes habebat,
cum laetum rutilans e Thracum parte cometes
caesariem in tractus extendere coepit Eoos,
limite ab Occiduo procedens ipse, sed usque
imparibus gyris, dum noctis semper omittit
amplius hesterno spatium, quo surgit in alta

*) immo *in vita mea versibus conscripta.*

οὐ γὰρ ἕν᾽ ἀπλανέων κατὰ μοῖραν χῶρον ἔτετμεν.
ἀλλά γ᾽ ἑκάστης νυκτὸς ἀνώτερα εἶχε κέλευθα,
μέσφα ὑπερπόδισ᾽ αἰὲν ἀνώτερος ἀμφαναβαίνων,
ἔνθα οἱ ἄκραι τὰ πρῶτα τρίχες ἐμπεφύασιν, C
ἧκα μαραινόμενος μείουρος, καὶ τότε λῆξε.

περὶ τούτου ἄλλοι μὲν ἄλλως ἀπεφαίνοντο καὶ ὡς εἶχον γνώσεως ἔλεγον, οἱ πλείους δ᾽ εἰς κακὸν κοινὸν τὴν ἐπιτολὴν ἐκείνου ἐφοίβαζον· οὐδεὶς γὰρ κομήτης ὅστις οὐ φύσει κακός, φασίν. ἐμοὶ δὲ τῇ τῶν ὅλων προσανέχοντι φύσει, καὶ μᾶλλον οἷς ὁ Σταγειρόθεν φιλοσοφεῖ, ἐκεῖνα ἐπῄει λέγειν περί τε τῆς κινούσης αἰτίας D *καὶ αὖθις τῆς τελικῆς καὶ ὧν προεφωσφόρει ἀποβησομένων, ὅσα δὴ καὶ τὰ μὲν προυγεγόνεισαν τὰ δ᾽ ἔμελλον ἐπιγεγονέναι. ἐξ ἔαρος γὰρ καὶ ἐς τότε αὐχμὸς παιπαλόεν τὸ πέδον δεικνὺς ἀμφεῖχε τὴν περὶ ἡμᾶς οἰκουμένην, ὡς μηδὲν μὲν ἐκβλαστάνειν ἰσχύειν ὅσα καὶ θέρους εἰώθει βλαστάνειν, πάντα δὲ φρέατα καὶ πάσας πηγὰς ἀποσβῆναι. εἶτα δὲ καὶ ἐκνεφίαι ξηροί τε καὶ ἀπηνεῖς·* E *λειμῶνες ἐπὶ ὅλῳ μηνὶ καὶ πρόωροι ξυμβεβήκασι. καὶ ταῦτα μὲν ὁ συγγράφων, τὸν νοῦν ἐπερείδων τοῖς φυσικοῖς· ἠγνόει δὲ ἄρα καὶ ὡς μεγάλων ἐκεῖνος κατάρχει κακῶν, οὐ τῷδε ἢ τῷδε μέρει τῶν κατ᾽ ἀνατολὴν ἐπεισφρησάντων τόπων, ἀλλὰ*

ocyus, et propior summo sese admovet axi.
nam nullius iter fixi comes institit astri,
nocte sed unsquaque viam in sublime supinat.
illo iterum, primaevo ubi fulsit crine, reversus,
marcuit hic canda mutilus, deslitque videri.

de hoc non me fugit alios aliter prodidisse: ego pront cognovi, bactenus expressi. caeterum plerique, vulgare secuti praeiudicium trito illo versiculo celebratum, nullus cometa non sua indole est malus, huius exortum stellae ad significationem infaustorum in commune eventuum male ominando detorserunt. mihi vero attendenti ad naturam universi, sequentique praesertim disserendi methodum a Stagirita philosopho traditam, ea solum de isto phaenomeno consignanda literis visa sunt, quae ad principium unde est ortum, ad locum modumque ac tempus quo desiit pertinent, non omissis iis quae vel praecessere vel secuta sunt eius apparitionem. a verna igitur proxime exacta tempestate usque ad aequinoctium autumuale, quo coepit videri, siccitas coelum nostrum insolita torruit, squallentes late ac pulverulentos amplectens campos. unde factum est ut nihil eorum quae germinare per aestatem terra solet, producere illo anno potuerit, perennes vero putei et vivae scaturigines fontium omnes defecerint. venti deinde crebri, aridi, procellosi, auram afflantes aegre spirabilem, sunt orti. prata toto mense citius floruerunt, ac maturuerunt foena. talia historicus ex praesenti naturalium eventuum inspectione tradere memoriae potuit. ignorabat autem tunc, quod rerum eum deinde secutarum tristis experientia docuit, fuisse istud initium ingentium malorum, quae non hanc aut illam proprie partem Orientalium regionum, sed aeque

πᾶσαν ἐπιληψόντων τὴν καθ' ἡμᾶς οἰκουμένην ἐκ τῆς τῶν Περσῶν ἐπιθέσεως.

P 211 15. *Τοῦ δ' αὐτοῦ ἔτους, μηνὸς ἐνεστῶτος Ἰαννουαρίου,*
ὃν οἱ τὸν Ἄσκρηθεν ποιητὴν ἐξηγούμενοι Ληναιῶνα κατ' Ἀθη-
ναίους ἔλεγον, οὐκ ὀρθῶς, οἶμαι, εἰ καὶ ἡμεῖς ἐν τοῖς καθ' αὐ-
τοὺς ἐποποιοῦντες τῇ ἐκείνων ἠκολουθήκειμεν ἐξηγήσει (ἀκριβῶς
γὰρ Ἀθηναῖοι τὸν κατὰ Ῥωμαίους Ἰαννουάριον Ἑκατομβαιῶνα
B *λέγουσι), κατὰ τοῦτον οὖν θεμέλιον πρῶτον τῆς σελήνης ἐχού-*
σης ἔκλειψις ταύτης ξυμπίπτει, τῶν τῆς ἐπιστήμης ξυνετῶν
τῷ βασιλεῖ προειπόντων. καὶ ἡμεῖς οὕτω πως ἐν τοῖς ἡμετέροις
γεγράφαμεν.

μηνὶ δὲ Ληναιῷ πρώτη βάσις ἵστατο μήνης,
ἢ διχόμηνος ἔην, καὶ δὴ φθίνε καλὰ πρόσωπα,
C *καὶ τότε νυκτὸς ἐνὶ τριτάτῃ σχεδὸν ἑσπερίηθεν*
λάμπ' ἐπιδίφριος, αἴφνης δὲ σκοτόεσσα τέτυκτο,
ἀρξαμένη τὰ πρῶτ' ἐκλείπειν ἀντολίηθεν,
μέσφ' ὅλη ἐξαπόλωλεν, ἐφ' ὥρῃ μηδὲν ἐοῦσα.
ὥρης δὲ τρίτον ἔσβη. ἀτὰρ ἀπήρχετο φώσκειν,
D *καὶ πάλιν ἀντολίηθεν ἐς ὥρην ἔμπλειος ὦπτο.*
τόρρα καὶ ἐς μετέωρα ἐειδώς τις ἔειπε,
καί γε ἰδὼν θηήσατο, ὅς γε προμάνθαν' ἀκούσας.

4. *τὸν* deerat. 12. *μῆνα* P. 18. *ἀτὰρ τότ'?*

universam, quam late extenditur, continentem hanc nostram oppresserunt, undique ingruentia, ex Persarum in boc imperium irruptioue.

15. Eodem anno, mense curreute Ianuario, quem enarratores Ascraei poetae Lenaeona dictum Atheniensibus tradunt, non recte, ut opinor, etsi nos, cum apud ipsos carmen pangeremus *), eorum expositioni adhaeserimus (re vera enim, quem Romani Ianuarium vocant, Athenienses Hecatombaeonem appellant), cum igitur primus lunae a novilunio progressus cum hoc mense incepisset, ea plenilunio in deliquium incidit, prout imperatori praedixerant astronomicarum periti rationum. id nos deliquium nostris hisce versiculis descripsimus.

prima viam signant primo vestigia mense
lunae orientis adhuc facieque bicornis hiulca.
crevit ubi, et noctis fere tertia volvitur hora,
splendente invectam curru caligo repente
inficit, ortiva paulatim a parte subintrans,
continuam, quoad interiit, sensim hausta, per horam.
atque triente horae nigra perstitit. inde resumens
Eoo a limbo lucem, tota eluit hora
noctem de vultu, et pleno rursum emicat ore,
astra prout speculans praedixerat ante magister.
spectavitque oculus quod ab illo audiverat auris.

*) immo: *nos in vita nostra.*

16. Ταῦτα μὲν τοῦ ἔτους ἐκείνου γεγόνει· Ἀλανῶν δὲ E μεγάθυμον ἔθνος ὡσεὶ δέκα καὶ ἓξ χιλιάδας ποσούμενον, ὧν τὸ ὑπὲρ ἥμισυ μάχιμον ἦν, ἀπολυθὲν Νογᾶ καὶ τῆς ὑπ' ἐκείνῳ δουλείας ἐν πολέμῳ ἀπολωλότος, ἐζήτουν προσχωρεῖν βασιλεῖ, καὶ τῷ ἀρχιερεῖ προσελθόντες Βιτζίνης ἱκέτευον δι' αὐτοῦ βασιλέα P 212 σφᾶς δέχεσθαι. ἐνόσουν γοῦν καὶ δεινῶς εἶχον τότε τὰ κατὰ ἀνατολήν, καὶ τοῦ Βιτζίνης τὴν σφῶν ἀγγέλλοντος ἱκετείαν ἕρμαιον ἐλογίζοντο ὡς καιρόνδ' ἐπιστάντων· αὐτοὺς γὰρ εἶναι καὶ τοὺς τῷ Νογᾷ παρασπίζοντας, καὶ δι' ὧν ἐκεῖνος τὰ μεγάλα κατώρθου. καὶ διὰ τοῦτο τὴν σφῶν ἄφιξιν θεόθεν τινὰ μηχανὴν ἡγοῦντο εὐκαίρως σχεδιασθεῖσαν εἰς ἀρωγήν. γράμματά τε παρ' αὐτοὺς βασιλικὰ κατεπέμποντο, καὶ παμπληθεὶ ἐφ' ἁμαξῶν καὶ B λαμπήναις προσηυτομόλουν. καὶ βασιλεὺς ὅτι πλείστην ἐκ χωρῶν Θρᾳκικῶν τε καὶ Μακεδονικῶν τὴν ἐκείνων παρεσκευάκει σίτησιν. τοὺς δέ γε μεγιστᾶνας ἐκείνων εἰσαγαγὼν καὶ φιλοφρόνως δεξιωσάμενος, ἐκ συνδοσιῶν κοινῶν τὰ ἐκείνων ἑτοιμάσας ὀψώνια, ἔτι δὲ καὶ ἵπποις ἱκανώσας ἐκ τῶν ἰδίων στρατιωτῶν μάλιστα, τοῖς ἱκανῶς ἔχειν σφίσι δοκοῦσι παραδοὺς διασωσταῖς Ῥω- C

2. ὡς εἰς?

16. Ea quidem anno illo contigerunt. Alanorum vero magnanima gens, capitum numero fere sedecim millium, quorum plus dimidio bellis apti et exercitati erant, destituti a Noga et ab huius iam servitio liberi, postquam is in praelio ceciderat, quaerebant in imperatoris militiam transire; et adito episcopo Bitzines, supplicabant eius opera persuaderi Andronico ut ipsos admitteret. favebat istiusmodi petitioni praesens status rerum imperii: nam graviter tunc laborabant Orientales tractus. quare Bitzinensi quid Alani peterent referenti cupide Augusti et qui eis erant a consilio annuerunt, tanquam occursu rei faustissimae gaudentes, offerri ultro tam opportune nullo satis studio quaeri et pretio emi dignum malorum urgentium remedium. reputabant fuisse hos quasi triarios aut etiam praetorianos, Nogae, praecipuum robur exercitus ipsius, quorum vi ac forti fidelique opera tot illa tantaque perfecisset, quibus esset eius nomen inclytum redditum. tales ergo tali tempore sponte in Romanae rei labantis occurrentes auxilium cum gratulatione accipiendos, sic tamquam (quod dici solet) deum e machina, censebant: dei enim profecto benefica providentia tam opportune advenientes expediri subsidium qui non intelligeret, hebetem utique ingratumque videri debere. statim igitur prolixe ac perhonorifice imperialibus invitati literis, et ipsi sine mora cum familiis ac sarcinis, curruum plaustrorumque numero ingenti huc transmigrant. nec omisit imperator abunde providere novorum hospitum victui: corrogata enim e Thraciae ac Macedoniae regionibus magna frumenti vi, copiosam populo universo ac plebi etiam Alanorum infimae annonam praebuit. proceres vero ac summates gentis ad se humanissime admissos omni benevolentiae significatione delinivit, auctoramenta insuper eis decernens annuarum pensionum ex collatitia pecunia. sed et qui eorum apti equestri militiae apparerent, iis equos attribuit propriis militibus ademptos; iisdem-

μαίοις, ἐπ' ἀνατολῆς ὥρμα. ἦν δὲ καὶ προστεταγμένον πρὸς βασιλέως αὐτοὺς κατοικίζειν τῇδε. καὶ ἦν ὁ σκοπὸς τῷ κρατοῦντι καὶ λίαν εὔελπις· εὐάγωγον γὰρ ἐμάνθανεν εἶναι τὸ ἔθνος καὶ εὐπειθές, πρὸς δὲ πολέμους καὶ λίαν ἀρεϊκόν τε καὶ μάχιμον. καὶ διὰ ταῦτα κατωλιγώρει σχεδὸν τῶν Ῥωμαίων ὡς γυναικισθέντων ἄντικρυς καὶ ἐξ ἀνάγκης μὲν τὰ πολλὰ καταμαλακισθέντων, οὐχ ἧττον δὲ καὶ ἀπὸ κακοθελοῦς γνώμης καὶ προαιρέσεως. D τοῖς δὲ καὶ μᾶλλον ἐθάρρει ἄρτι πρώτως φανεῖσι καὶ ἀποδυομένοις εἰς Περσικοὺς πολέμους, τὸ ἱκανὸν παρὰ βασιλέως ἔχουσιν. ἐκεῖνοι μέν, ὡς εἴθιστο πάλαι σφίσι σὺν Νογᾷ πολεμοῦσιν, οὕτως κἀνταῦθα στρατεύειν ἐζήτουν, πανσυδίην δηλαδή, ὡς ἀλλήλοις ἀρήγοιεν κατὰ πόλεμον. τὰ δέ γε κατὰ τὴν Ῥωμαΐδα πανταχόθεν πράγματα μερίζεσθαι τούτους ἐποίει, ὡς μήτ' αἰδῶ παρ' ἀλλήλων εἶναι σφίσι μήτε συνασπισμὸν ὑπὲρ ἀλλήλων τὸν E πρέποντα. τῷ τοι καὶ τοὺς μὲν πλείστους κατ' ἀνατολὴν ἔπεμπεν, ἄλλους δέ γε τῷ Μουζάλωνι Ἀλιζώνων ἡγεμονεύοντι παρε-

que inservire nihilominus iussit pedites inermes Romani generis, qui recepto pridem castrorum usu praesto adesse praeliantibus equitibus debebant, illorumque vulneribus curandis ac caeteris periculis prepulsandis curam operamque impendere strenuam. atque hos sic auctoratos in Orientales tractus misit, dato ministris ad id idoneis mandato ut ipsis illic domes agrosque assignarent. destinabat enim talis generis coloniis istum tueri ac firmare limitem, indulgens spei prolixa fiducia prosperrimi successus. duabus enim quibusdam fande celebratis et facile creditis gentis istius dotibus magnopere ad optime sperandum nitebatur, docilitate obtemperandi et pugnandi fortitudine. indeque iam Romani generis fere militiam spernebat, effeminatam illam et cum otii ac luxus assuetudine corruptam, tum malevolo in principes affectu infidisque depravatam sensibus criminans; praecipuum vero, quin et totum fundamentum securitatis salutisque publicae in tunc primum visis necdum usu probatis barbari populi copiis praefestinata credulitate constituens. hos unos intueri, unis niti; in horum, modo sufficienter alerentur, unice idoneorum debellandae potentiae Persicae, stipendia congrua rectissime impendendas imperii opes ducere. ad haec illi vicissim operam spondentes, unum exceperunt circa belli rationem, velle se, uti sub Noga consueverant, in campo et iusta acie rem gerere, quo sibi opitulari invicem possent, non aut clausos arcibus aut sparsim discerptos per manus modicas pugnare. qua conditione imperator pro caetero favore facile accepta, partiri eos sibi provincias imperii laborantes iussit, ita ut idoneo ubique numero militarent, ne aut stimulo carerent mutuae aemulationis in oculis commilitonum quisque praeliantes, aut in certaminum casibus destituerentur subsidio suorum, in eadem scilicet acie stantium et facto cuneo ad propugnationem occurrere paratorum, quam in partem discrimen ex aestu forte reciprocante Martis varii aut belli quaedam offensio vocaret. cum ista cautione trifariam Alanes divisit imperator. plerosque videlicet eorum protinus in Orientem misit; alios minori numero Muzaloni Halizonum praefecto tradidit. mul-

δίδου. πολλοὺς δὲ καὶ τοὺς κρείττους προσετοιμάσας τῷ υἱεῖ συνεξώρμα καὶ βασιλεῖ· ἐδέησε γὰρ καὶ βασιλέως ἐπιστασίας τοῖς κατ᾽ ἀνατολὴν πράγμασιν. ἀλλ᾽ οἱ μὲν προεξεληλακότες ἐπ᾽ ἀνατολῆς ὡς ἤδη καὶ μόνον τὸν κατὰ τὴν Καλλίου πόρον ἐπεραιοῦντο, εὐθὺς ἐχρῶντο τοῖς αὐτῶν ἤθεσι, καὶ τῶν ἀγόντων κατολιγωροῦντες μεγάλα διετίθουν κακὰ Ῥωμαίους, λῃστῶν ἐπιόντες τρόπον, τοῖς μὲν παροικοῦσι τὰς χώρας κακὸν ἀπρόοπτον P 213 *ἐφιστάμενοι, τοῖς δὲ συναντῶσι δεινὸν ἀπάντημα γνωριζόμενοι, οἷς δὲ καὶ συνεσκήνουν, χαλεπὸν γειτόνημα ὄντες, οἷς βοηθεῖν ἀπεστέλλοντο. εὑρόντες δὲ χώρας παντοίων πληθούσας καλῶν, ἐνευπάθουν ἐκείνοις ἁρπάζοντες. μόλις δ᾽ ἀποσωθέντες, πολλῶν ἀποναμένων τῶν δυσχερῶν οἷς τ᾽ ἐπεστάτησαν οἷς τε συνήντησαν, ἐμέμνηντο καὶ τῶν συγκειμένων, πλὴν οὐχ ὡς ἔδοξαν ἀπεφάνησαν, ἀλλ᾽ ὑπερηφάνουν μὲν ἡγεμόνων, καθ᾽ αὑτοὺς δὲ ὅσα καὶ βάρβαροι συνιστάμενοι Ῥωμαίοις πλέον ἢ πολεμίοις ἐπήεσαν.* B *ἐνίοτε δὲ καὶ δουλαγωγηθέντες ἐκ μεγάλης καὶ προμηθοῦς*

tos antem eosqne lectissimos et praestare cunctis visos apud se retinuit, reservaus in expeditionem qnam parabat in eas partes Michaëlis inniora Angusti: uam praesentiam imperatoris exercitnm per se ductantis status praesens Orientalium rernm flagitare videbatur. caeterum ii quos praemissos in Orientem diximus, cito mores barbaros uudarunt, statim fere a freti ad Callipolim traiectu spretis ducnm mandatis, mala Romaniae populis magna inferentes. ritu qnippe latronum licentissime incursabant cuncta, miseris colonis, per quas transibant, regionnm improvisnm apportantes infortunium, obviis tristem occursum, in propinquo vero degentibus gravem undequaque infestamque viciniam. adeo nullo respectu socialium foederum palam omni hostilis grassationis immanitate agebant ferebant, quibus opitulaturos se venire simularant. irritabat scilicet praesens copia rapacitatem avidorum, transitu per opimas terras, villas passim domosque vario spoliorum et praedae genere refertas cernentium, in quae laxatis cupiditati habenis nulla iuris aequique verecundia irruebant, extorqnentes quae placerent, et raptornm intemperantissimo abusu gulae ac libidini litantes. non negarim tamen eos novo primulum in Romaniam appulsu, recenti memoria miseriarum quibus essent modo plurimis et gravissimis defuncti, partim ingruentium in familiares prius eorum sedes domiciliaque a Noga data, partim in fnga, qua inde extrusi per infesta aegre salvi loca transierant, donec tutum in imperatoris protectione receptum reperirent, quadam brevi constrictos verecnndia hospitalis fidei visos esse pactorum meminisse. sed cito ad feritatem redeuntes, opinionem modestiae ipsorum et fiduciam auxilii ex ipsis, dira iniuriarum experientia, populis se deceptos sentientibus excusserunt. statim enim contumaciter in ductores insurrexerunt; et magis memores communis olim secum barbariei cum Persis quam contractae nuper societatis cum Romanis, saepius saeviusqne in nostros qnam in hostes vi et armis usi sunt. fuit tamen cum magnis perque blandis inducti delinimentis ad conspirandnm cum Romanis, coniuncta nostris opera, communem de hoste victo-

δεξιώσεως συνελθόντες κατὰ τόπον τὴν Χῆναν σὺν Ῥωμαίοις προσβάλλουσι, καὶ ἀνδραγαθοῦσι τὰ μάλιστα, ἀπαγωγὴν ἱκανὴν καὶ λείαν περιβαλλόμενοι. ἐδόκουν δὲ λῆμα μὲν πολεμικὸν ἔχοντες, ἤθεσι δ' ἀνυποτάκτοις ὡς βάρβαροι χρώμενοι, ἕξοντες δὲ κατὰ τρόπον, ἐπεὶ τῶν ἄλλων κατωλιγώρουν, ἢν ὑπὸ βασιλεῖ στρατηγοῦντι γένοιντο.

P 214 17. Ὁ μὲν οὖν βασιλεὺς Μιχαὴλ ταῖς ἀληθείαις μὲν πο-
λέμοις οὐκ ἐσχολάκει καὶ μάχαις ἐς τότε, ὅμως δ' εἶχε καὶ φρό-
νημα ἐμβριθὲς καὶ λῆμα γενναῖον καὶ ζῆλον ὑπὲρ τῶν κακουμέ-
νων Ῥωμαίων οὐχ ἥκιστα, καὶ ταῖς προθυμίαις, ὡς τοὺς εἰδό-
τας λέγειν, ἐσφάδαζεν. ἐπεὶ δὲ καὶ καιρὸς ἐφειστήκει ὁ τότε κα-
λῶν αὐτὸν στρατεύειν ἐπὶ τῆς ἀνατολῆς, ἕτοιμος ἦν αὐτίκα. καὶ
ἅμ' ὁ πατὴρ καὶ βασιλεὺς προσέταττε, καὶ αὐτὸς ἐδίδου τὰς
προθυμίας οὐκ ἀγεννεῖς. ἅμα γοῦν ἦρι περί που τὰς Πασχα-
B λίους ἡμέρας ἐξώρμα, πολὺ μὲν βαρβαρικὸν ἐκ τῶν Ἀλανῶν
ἐπαγόμενος, οὐκ ὀλίγῳ δὲ καὶ Ῥωμαϊκῷ ἐντυχεῖν ἐλπίζων, τῷ
μὲν καὶ συνειλεγμένῳ ἐντεῦθεν ἤδη, τῷ δὲ καὶ ἐπὶ τὴν ἐκεῖ στρα-

3. προβαλλόμενοι P.

riam ad locum Chenam dictum reportarent, in qua sane non vulgaris enituit ipsorum virtus fortibus factis probata, non sine praemio: nam et non paucos ea occasione abduxere captivos, et praedae haud parum congessere. cuius fama eventus ad aulam perlata valuit ad minuendam infamiam ingratae gentis patientismque infidae societatis quodam nonnullius utilitatis illicio firmandam, eam inde opinionem Augustis ingressis, infraenes quidem ferisque moribus Alanos esse vitio barbarae qua originis qua educationis, at negari non posso quin iidem magnis praediti animis et bello fortes sint. caeterum spem ostendi mitigandae contumaciae ipsorum, si pro minoribus quos contemnunt ducibus, alter ipsis Augustorum exercitum per se ductans imponatur, cuius veriti praesentem maiestatem iussa obituri sine recusatione videantur, obedientia quae nostris satisfaciat, fortitudine quae hostibus noceat.

17. Erat imperator Michaël non ille quidem hactenus, ut verum fatear, exercitatus bellis aut tritus usu praeliorum: habuit tamen acrem animum generosamque audaciam, nec his minorem zelum misericordia succensum patientium tunc extrema Romanorum; quo in genere praeclara hodieque conscii memorant de impetu, quo alacer et ardens in rei gerendae occasionibus erumpere soleret, adversus quantumvis formidolosa intrepidissime prosiliens. tunc ergo condicta instante ad prodeundum die, tempestateque invitante idonea ad rem illis regionibus gerendam, expedivit se mature, promptumque ad iter Orientem versus se obtulit, ac simul pater eius Augustus senior proficiscendi signum dedit, alacritate minime degeneri ad id bellum se accinxit. cum primo igitur vere circa Paschales ferias egressus urbe est, exercitum ductans maxima ex parte barbaricae Alanorum militiae constantem, sed et non paucis simul Romanis copiis, sperans autem sibi obiter occursuras unaque iungendas conflatas nuper cohortes aliquot delectibus hic paulo ante habitis, veteres praeterea le-

τείαν διάγοντι. ἐξῄει μὲν οὖν ἐν ἐλπίσι μείζοσιν, ὡς ἐννοεῖν πολλοὺς ἦν, καὶ διὰ ταχέων τοῖς τῆς ἀνατολῆς ἐφίστατο μέρεσι, Μαγνησίᾳ δὲ τῇ κατὰ τὸν Ἕρμον προσοικήσας ἐκεῖθεν κατὰ τῶν ἐχθρῶν συνέταττε τὰς δυνάμεις ὡς πολεμησειούσας αὐτίκα ἥν που φανεῖεν. τέως δέ γε καὶ ἀποστολὰς ἐποιεῖτο, καὶ προσβάλ- C λοντες κατὰ λόχους ᾐχμαλώτιζον, καὶ σκύλοις τῶν πολεμίων οἱ ἡμέτεροι ἐνετρύφων. τὸ δὲ προφανῶς εἰσβαλεῖν οὔτ' αὐτοῖς ἦν ἀσφαλές, χρωμένων τοῖς ὀχυρώμασι τῶν ἐχθρῶν, οὔτ' ἐκεῖνοι παρεῖχον, ἅπαξ κατὰ φήμην τὴν βασιλέως ἀνασταλέντες καί γε τοῖς ἐρυμνοτάτοις τῶν ὀρέων ἐνδύντες. βασιλεὺς δὲ καιρὸν ἐζήτει τὸν εἰς τόλμην σφᾶς ἐπάξοντα, ὥστε καὶ τῶν μυχῶν ἀνακύψαι καὶ προσβαλεῖν ἐθέλειν. καὶ μόλις ἐφειστήκει, (18) ὅτε P 215 δὴ καὶ ἅμα κατ' αὐτὸν οἱ πολέμιοι γεγονότες, καὶ συνταχθέντες εἰς πλῆθος ἄπειρον, ἐθάρρουν καὶ αὐτοῖς τοῖς περὶ τὸν βασιλέα σὺν μεγάλῳ καὶ ἐμβριθεῖ ἐπιέναι φρονήματι. ἀγγελθὲν δὲ βασιλεῖ ὅτι τε κατὰ πλῆθος συνέστησαν οἱ πολέμιοι καὶ ὅτι μήπω θαρροῦντες προσβάλλειν γνωσιμαχοῦντες μένουσι, βουλὴν βουλεύεται ἐφ' ᾧ μὴ ἀναμένειν τοὺς ἐπιόντας, ἀλλ' αὐτοὺς ἐπιέναι B σφίσι καὶ ἐμπεσεῖν μή πω θαρροῦσι τὴν συμπλοκήν, ὡς ἂν ἅμα μὲν καταπλήξαντες ἅμα δὲ καὶ τὴν τῶν θαρρούντων ἑαυτοῖς

giones in illis ad quas tendebat provinciis militantes. nnde confidens numeroso coactis omnibus et praevalido se praefuturum exercitui, spe plenus optima pergebat, ac sic celeritate magua Orientales tractus attigit. stativis autem delectis apud Magnesiam ad Hermnm sitam, inde instruxit in hostem copias, cupidas quidem, ut apparebat, manus conserendae, sicubi Persae apparerent. at illi fama perculsi novi magnique exercitus, quem imperator praesens dnctaret, continebant sa intra munitiones nec pugnae faciebant copiam. Michaël ut eos eliceret, validas hnc illucque missitabat manus; quae et interceptos ex insidiis subinde quosdam hostium captivos abducebant. alebaturqne modicis hisce successibus et gustn spoliorum ac praedae sic partae alacritas nostrorum, augescente pariter terrore hostium, adeo ut non parum remissa, metu imperatoris, fiducia priore, intimis se latebris abruptissimorum conderent montium, inhiante frustra interim Michaële occasioni praelii, voventeqne ut aliqnando prodire latibulis auderent et campo ad aequnm certamen se credere; id quod illi vix tandem contigit, (18) quando scilicet nltro ad ipsum hostes accedentes, digestoque in aciem innumerabili exercitu, magnis animis et minaci confidentia prae se iam ferebant hand dubitaturos in ipsum quantisvis succinctum copiis imperatorem irruere. audito per exploratores Michaël convenisse quidem hostes numero ingenti, nondum expedire tamen impetum; quin apparere cunctari rursum illos et sibi diffidere inceptique horrore titubare, consilium momento expedit sane generosum, non expectandi dum priores ad sese venirent Persae, sed praeoccupandi streune deliberabundos adhuc dubiosque sententiae; quo statu tanto magis citiusque percellendi viderentur improvisa audacia exercitus in ipsos undique vi summa incurrentis, cui pares sustinendo non futuros verisimillima spes

ὑπόνοιαν θέμενοι πράξωσί τι γενναῖον. ταῦτ' ἔλεγε, καὶ μόλις
τοὺς ὑφ' ἑαυτῷ ἡγεμόνας ἔπειθε. καὶ γὰρ ἔτι ἦν καὶ τὸ Ἀλανι-
κὸν ἀκμάζον, καὶ ἐν ἐλπίσι τοῦ εὖ σχήσειν ἦσαν, καὶ προεθυ-
C μοῦντο μεῖζον ἢ ὥστε δύνασθαι. ἑτέρωθεν δὲ καὶ τὸ Ῥωμαϊκὸν
πολὺ ἦν, καὶ οὐχ ἧττον καὶ τοῦτο τὰς ὁρμὰς παρεθήγετο ὑπὸ
νέῳ βασιλεῖ στρατηγούμενον. καὶ ἦν ἐλπὶς τοῖς ὁρῶσι μεγάλων
κατορθωμάτων καὶ παντὸς ἐπέκεινα σφάλματος. ἐπεὶ τοίνυν
οὕτω βασιλεὺς μὲν ὥρμα στρατὸς δὲ ξυνώρμα, καὶ ἤδη ἐξιόντες
προσέβαλλον μείζονι καὶ αἰεὶ νέῳ καθάπαξ τῷ λήματι χρώμενοι,
καὶ ἤδη οὐ παρ' αὐτοῖς ἀλλ' ἐν αὐτοῖς ἦσαν τοῖς πολεμίοις καὶ
D προσβαλεῖν ἔμελλον, αὐτίκα, ὀστράκου φασὶ μεταπεσόντος, γνω-
σιμαχοῦσιν ἐκ δέους οἱ ἡγεμόνες καὶ ἐν ὑπονοίαις ἐγένοντο, οὐ
δεδιότες ἐχθρούς, ὡς ἔφασκον, ἀλλ' ὑπὲρ βασιλέως φροντίζον-
τες δῆθεν. αὐτοὺς μὲν γὰρ καὶ μόνους λειφθῆναι μάχης οὐ τόσον
δεινόν, βασιλεῖ δὲ συγκινδυνεύειν τὰ πράγματα καὶ λίαν παγχά-
λεπον εἶναι. μηδὲ γὰρ ἀραρότως καὶ ἀσφαλῶς τῶν ἐλπίδων πε-
E ριγενέσθαι, ἀλλ' ἤδη καὶ ἡττηθῆναι. πλῆθος γὰρ κἂν τοῖς

2. ἐφ' P.

affulgeret; adeoqua magnae rei fortiter ac feliciter gerendae pretiosam in primis offerri occasionem. haec loquens aegre probavit ducibus Romanis quos secum habebat. cesserunt illi tamen variti exercitus consensum cum imperatoris voluntata conspirantem. nam Alani magna spa successus sibi prosperrimi vigebant, ausuriqua ac conaturi etiam supra vires videbantur. aliunde Romanse copiaa et conscientia multitudinis et praesentia imperatoris, eiusque florentis aevo iuveniliqua robora, incredibiliter animabantur ad fortissime pugnandum eius ductu. nec spectantes dubitabant quin praeclaraa victoriae opportunitas, citra quodvis periculum offensionis belli, sa offerret. cum eo sic imparator, sic ei consentiens exercitus, genaroso impetu ferrentur, iamque omnes a vallo egressi procedarent, crescenteque, ut fit, obiter audacia quo propius admovebantur discrimini, animis et alacritata ferociori minarentur, emensi quin atiam velociter intervallum medium non propinqui sed iuncti ac tantum non mixti hostibus forent, in proximo ipso denique procinctu ac quasi prima libatione praelii, ecce velut (quod aiunt) tegulaa interlapsu inopinatissima conversio. metu correpti duces exercitus deliberara denuo et certara sententiis coeperunt. verari eventum sa aiebant nimis ancipitis negotii, nec sua scilicet causa formidara, sed consternari horroro discriminis, quo vitam ac caput imperatoris periclitari exitialiter cernerent. sui quidem ipsorum, utcumque in certam perniciem ruerent, tolerabilem putare iacturam; sa solis praelio peremptis stare nihilominus posse rempublicam: imperatore simul absumpto summam rei statumqua imparii pari casu videri prolapsura. insanum ergo essa tantam aleam temere iacere, uno illiciu perincertae spei, cui contrarius fundatissimus metus non relinquat locum. "quid enim victoriam somniemus, tantum non iam victi? non videmus infinitam multitudinem aciei hostilis? num ignoramus et fortissimos et exercitatissimos bellis illic stare milites? quin et exploratam ipsis no-

ἐναντίοις εἶναι καὶ μάχης ἔμπειρον, καὶ οὐκ ἂν ἄλλως θαρρῆσαν φανεροὺς ἐπιέναι, εἴπερ οὐκ ἤλπιζον τὰ μεγάλα. ἀνάπυστον δὲ καὶ τὴν βασιλέως φήμην σφίσι γεγενῆσθαι, δι' ἣν καὶ μᾶλλον ἓν δυοῖν εἰκὸς εἶναι ξυμβῆναι, ἢ φοβηθέντας ἐξ ἀσθενείας ἀναχωρεῖν ἢ θαρροῦντας ἐξ ἐλπίδος μεγίστης φαίνεσθαι. ὃ καὶ φοβητέον ἂν μᾶλλον εἶναι σὺν βασιλεῖ καὶ μὴ μόνοις καθ' αὑτοὺς P 216
ἐπιοῦσι. ταῦτα λέγοντες αὐτοὶ μὲν τῆς ὁρμῆς καθυφίεσαν πάντη, ὑπέκλων δὲ καὶ τὰς τοῦ βασιλέως ὁρμάς, καὶ ὅμα δεύτερος ἐπὶ πρώτῳ καὶ τρίτος ἐπὶ τούτῳ καὶ ἐφεξῆς, φόβους λέγοντες καὶ ὑπονοίας εἰδωλοποιούμενοι φοβεράς, ὑποστρέφειν ἔπειθον, ὡς μήτε σὺν βασιλεῖ προσβάλλειν φαινόμενον ἀσφαλές, μήτ' αὐτούς γε μόνους καταθαρρεῖν τὸν πόλεμον· πάντα γὰρ δεύτερα ἐλογίζοντο τοῦ βασιλέα τε καὶ στρατὸν τόσον ἐν ἀσφαλεῖ γε περι- B
ποιήσασθαι. γίνεται τοιγαροῦν καὶ μὴ θέλων ὁ βασιλεὺς τῆς ἐκείνων βουλῆς, καὶ στρατὸς οὕτως ἔχων πλήθους τε καὶ παρασκευῆς μηδέν τι πράξας ὑπέστρεφεν. οὐ μὴν δὲ καὶ ἀκίνδυνα ἦσαν ἐντεῦθεν τοῖς τοῦ βασιλέως λαοῖς. ἅμα γὰρ ἀγγελθὲν τοῖς

stram perspicuamque ciadem, si nos illis commiserimus, ista eorum ipsa quam videmus audacia loquitur. nunquam qui prius latuerant tam fidenter prodirent, nisi certa spe magni successus incitarentur. nihil ipsos latet rerum nostrarum. de imperatore qui contra ipsos veniat, eiusque copiis ac potentia cuncta distinctissime novere. talis indicio famae plenissime edoctos et suarum vicissim conscios virium alterum duorum oportuit facere, aut intellecta ex comparatione infirmitate propria conflictum declinare, aut indidem concepta minime dubia fiducia magnae cladis nostrae ingentisque victoriae ipsorum alacres ad certum praemium, prout faciunt, accurrere, eventu eo iustius nobis formidando, quo, ut dictum est, caput ipsum et Augustam personam imperatoris, eidem nobiscum periculo captivitatis aut necis implicitam cernimus." talia memorantes cum suum ipsi cursum in hostem inhibuere, tum incitatam Augusti Michaëlis generose in praelium ruentis alacritatem sufflaminarunt. ubi enim secundus super primum, et duobus tertius, hisque invicem supervenientes plures eadem illa tristia terrorum spectra mouentes et revocantes obiectarent, concusso proposito princeps iunior recedendi secumque retro exercitum trahendi obtrudi sibi consilium passus est; ignavis praesertim, minus iam dissimulata turpi formidine, palam profitentibus nec se una cum imperatore pugnare velle propter eius periculum, nec solos illo subducto, quoniam se impares potentiae hostium nossent, et reipublicae interesse scirent non modo Augustum ipsum sed Romanum etiam exercitum supremo exitio subtrahere; quae utraque res, pro sui gravissimo momento cunctis praevertenda, confici aliter nequiret quam imperatore se ac universas pariter Romanas copias in tutum recipiente. his importunissima inculcatis instantia suasionibus, iuvenis imperator, utcumque invitus, cessit; et exercitus numero et apparatu nulli non quantumvis arduae aggressioni par inglorius omni re infecta castris est redditus. luerunt statim atrocibus suis damnis eius militaris flagitii perniciem omnes imperio subiecti populi, sublata inde securitate omni diris cladibus expositi. simul enim nuntia-

Πέρσαις ὡς ὑποστρέψαι ὁ βασιλεύς, καὶ θάρρος λαβόντες μεῖζον
πᾶσαν ἐκείνην τὴν γῆν κατατρέχουσι, καὶ εἰς αὐτὸν τὸν τοῦ Μαι-
C νομένου κάμπον ἐκθέουσι. καὶ πολλὰ μὲν τοὺς ἐκεῖ δρώσαντες
χαλεπά, πολλὴν δὲ λείαν περιβαλόμενοι, ἐν τροπαίοις Ῥωμαίοις
ὑπέστρεφον. οὐ μὴν δὲ ὥστε καὶ καθυφεικέναι τοῦ θράσους ἐν-
τεῦθεν, ἀλλὰ καὶ μᾶλλον κατολιγωρήσαντες τῶν περὶ τὸν βασι-
λέα πραγμάτων φανερῶς ἐπὶ τῆς τῶν Ῥωμαίων ἐστρατοπεδεύοντο.
D καὶ βασιλεὺς μὲν ἐπὶ Μαγνησίας ἐγκέκλειστο, οἱ δὲ πολέμιοι ὁση-
μέραι περιερχόμενοι τὰ μέγιστα ἔπραττον. καὶ ὁ λαὸς ὁ μὲν κα-
τεσφάττετο ὁ δ' ἀπανίσταυτο φθάνων, καὶ οἱ μὲν πρὸς νήσους
τὰς ἐγγιζούσας οἱ δὲ πρὸς τὴν δύσιν διαπεραιούμενοι διεσώζοντο.
ἦν δ' ἐντεῦθεν Πέρσαις καὶ ἡ ἐπὶ τὰ ἐντὸς προσχώρησις εὐμα-
ρής, προοδοποιουμένοις οἷον ταῖς τῶν προσχώρων ἀναχωρήσεσιν,
ἔχουσι δὲ καὶ τῶν ἐπιτηδείων αὐτάρκως ἐκ τῆς τῶν ἀναχωρούν-
των περιουσίας.

P 217 19. Τότε καὶ οἱ περὶ τὸν βασιλέα Ἀλανοὶ νόστου ἐμέ-
μνηντο, καὶ ἀπολύειν σφᾶς βασιλέα πρῶτον μὲν ἱκέτευον, ἔπειτα
δὲ καὶ κατήπειγον. ἐπὶ χρόνον γὰρ καὶ προσταλαιπωρεῖσθαι,
ὥστε δεῖν αὐτοῖς καὶ ἀνέσεως ἀήθεσιν οὖσι πολέμων ἐπὶ τοσοῦτον
πολυημέρων· αὐτοὺς γὰρ Νογᾷ συστρατεύοντας, κατὰ πόδας
B τοῖς ἀντιπάλοις συμπλεκομένους, ἐπ' ὀλίγον μάχεσθαι, καὶ τὰ

τὸν ἐξ ἐκείνου Μέλανα ὑπεδέχετο, οὐ τόσον ὄντα, ἀλλ' ἱκανὸν P 228 *τέως καὶ τοῦτον ἐκ βάθους αὐτάρκους τὴν τῶν ἐχθρῶν ἀποκωλύειν ἔφοδον. τότε τοίνυν ἐξ ὄμβρων ὁ Σαγγάριος πλημμυρήσας τῆς ἰδίας μεταίρει καὶ αὖθις κοίτης, ἧς ἐκ παλαιοῦ ποτ' ἐκκοιτισθεὶς ἐπελάβετο, καὶ πρὸς τὴν προτέραν ἀνέτρεχε, καὶ οὗ μὲν ἀπέστη, περαιοῦσθαι καὶ τῷ τυχόντι παρεῖχεν, οὗ δ' ἐπελάβετο πλημμυρῶν, μὴ ὅ γ' ἐκ τῆς πλημμύρας βάθος ἐδίδου τῷ ῥεύματι, ἀλλὰ καὶ χοῦν ἐκ μιλτοπαρῄων ὀρέων κατάγων καὶ χέρα-* B *δος ἱκανὸν προσέχων καὶ πόρον ἐτίθει τῷ περᾶν θέλοντι. τῷ τοι καὶ οἱ ἐν τοῖς πέραν φρουρίοις συνῳκηκότες, τὴν ξένην ἰδόντες μετάστασιν καὶ γνόντες ἐν χρῷ κινδύνου γενόμενοι, ἀπανίσταντο. οὐ μὴν δ' αὖθις ἐπὶ πολὺ τὸ σχῆμα τοῦτο τῷ ποταμῷ ἦν, ἀλλ' ἐς μῆνα προσχώσας μόνον ὑπέστρεφε. καὶ ἦν ἡ ἐκ τοῦ παλαιοῦ ἀποχώρησις καὶ τῶν ἐν τοῖς φρουρίοις φυγῆς καὶ τῆς τῶν ἐχθρῶν διαπεραιώσεως προφανὴς αἰτία, τῷ περᾶν ἀνέδην τοὺς βουλομένους· ἡ δ' ἐξ ὑπογέου ἐσαῦθις ἀνυποστροφὴ τοῖς κἂν τούτῳ* C *περῶσιν εὐθέτησε, τῷ περᾶν διὰ τῆς προσχώσεως. ταῦτα γεγόνει ἐκ παραδόξου, καὶ βασιλεῖ ἠγγέλλετο ὅτι πλῆρες ἐχθρῶν*

9. *προσεχώννυε?*

Sangari Melas alter fluvius successerat, non iile quidem moie aquarum par priori, caeterum satis babens altitudiuis ad impediendos incursus bostium. tunc igitur ex multo imbre redundans Sangaris cubile iterum mutavit, ex eo quod diu manu deductus occupaverat, in prius recurrens; et eum quidem unde migravit alveum, aquae pauperem et vado cuivis meabiiem reliquit, eum qnem inundans repetiit haudquaquam adeo complevit, ut ea transitum excinderet. etsi enim illuc traxit agmen ingens aquarum, non iis tamen dedit sufficientem profunditatem traiectui peditum et equitum arcendo. causa eius rei fuit, quod simul limi piurimum et terrae rubrae ex argillosis derasae montibus invexit. quae materia subsidens aquis late superstagnantibus non alte depressum substravit fundum, qua volenti cuilibet transire pedibus licebat. hac animadversa mira mutatione qui ulteriores arces praesidio tenebant, territi, quod se fossa destitutos invadabilis amnis, obiectos deinceps incursionibus hostium haud pari ad resistendum uumero, certissimo capitis periculo, viderent, stationibus relictis abierunt. non tamen diu in eo statu Saugaris mansit, sed cum per mensem inuudasset magna terrae ac luti vi alveos obiimans, recepit se in enm unde uuper migrarat alveum, quasi ad hoc tantum se movisset, ut praesidiariis terrorem, quo ad fugam raperentur, incuteret, hostibns contra et fiduciam et facultatem intra nostrum irrumpendi limitem daret. nam harum duarum rerum una illa causa fuit flnminis motio, commoditatem cuivis obviam praebens vado transeundi. sed nec eius in priorem alveum regressus malo medicinam fecit. oblimatum enim utrumque ac pedibus meabilem reliquit fluvium magnitudine aggeris ac materiae per eiuviem invectae. his inopinatissime sic gestis, repente imperatori

τὸ μεσόγαιον, εἰ καὶ Ἀλῆς Ἀμούριος εἰρήνην καὶ ἐς τόδε σχηματιζόμενος ἐφησύχαζε τέως. ἀλλὰ τὰ τῷ Ἀτμὰν τὰ περὶ τὴν Νίκαιαν κατατρέχοντι ἐσύστερον ἀριστουργηθέντα καὶ τοῦτον ἐπῆρεν, ἱκανὴν φιλοφροσύνην δόξαντα καταπράττειν τῷ βασιλεῖ, εἴπερ εἰρηνεύοι μὴ εἰσβαλλόντων ἄλλων· εἰ δ' οὖν, ἀλλὰ καὶ
D αὐτὸς ἁρπάζοι τὰ τοῖς πολλοῖς ἀπαγόμενα. Ἀτμὰν τοίνυν τῶν ἀμφὶ τὴν Νίκαιαν τόπων ἀπάρας (τὸ γὰρ συμβὰν πρότερον τῷ Μουζάλωνι σφάλμα καὶ πλέον ὤγκωσε τοῦτον), τοὺς ὀρεινοὺς διελθὼν σίφωνας ἕτοιμος ἦν καταθέειν Ἁλιζώνων. ἀλλὰ πρὶν αὐτὸν εἰσβαλεῖν, πλῆθος ἐχθρῶν συναχθέν, εἰς ἑκατὸν ποσωθὲν καὶ μόνους, περί που τὴν Τελεμαίαν καταδαρθεῖσι τοῖς περὶ τὸν
E Μουζάλωνα ἐπιστὰν ἐξ ἀπροόπτου, ἐκείνοις μὲν ὡς εἰκὸς ταραχὴν ἐμβάλλουσι τὴν μεγίστην, πολλὰ δὲ λαβόντες, καὶ αὐτοὺς ἐν σαυρωτῆρσιν ὑσσούς, ὑποστρέφουσιν. ὡς δὲ συστάντες Ῥωμαῖοι τοὺς ἐπιόντας ἐδίωκον, ἐκεῖνοι τὰ ὀρεινὰ προκαταλαβόντες καὶ τὸ ἀσφαλὲς ἐντεῦθεν ἔχοντες, στάντες ἔβαλλον ὀϊστοῖς καὶ κυκλώσαντες ἐτοξάζοντο, καὶ τῶν διωκόντων τοσοῦτον περιγεγόνεισαν ὥστε καὶ αὐτὸν κατασχεῖν τὸν σφῶν ἐξηγούμενον· κἂν
P 229 ἀπήγαγον, ἢν μή τις τῶν τῆς Ῥωμαϊκῆς φάλαγγος λῆμα γενναῖον φέρων, στερρῶς ἐμπεσὼν καὶ περιγεγονὼς τῶν ἀγόντων, τοῦ ἵππου μόνου τρωθέντος ἐκεῖνον ἐξείλετο. τοῦτο γεγονός τε καὶ

nuntiatur plena esse mediterranea bostlum. nam utcumque Hales Amurius in simulatione quadam pacis se bactenus coutineus quiescebat, tamen efferri brevi coepit aemulatione paulo post secutorum successuum Atmanis, viciulam Nicaeae prospere incursautis, non parvum se imperatori beneficium contulisse reputans, si se in pacis observautia teneret quandiu alii iu terras imperii uou irrumperent. illud vero exigi a se baud aequum esse, ut praedae multorum impune aliorum rapinis abactae partem ipse sibi non arriperet aliquam. Atman igitur e locis circa Nicaeam movens (nam quae prius Muzaloui contigerat offensio animos illi augebat), transgressus montanos Siphones, paratus erat ad incursandos Halizones. sed priusquam in illos irrueret, collecta manus bostium, centum solorum capitum non excedens numerum, circa Telemaeam sopitis ex improviso superveniens Muzaloni cum suis, his quidem, ut par fuit tali statu deprehensis, perturbationem iniecit maximam, qua barbari adiuti cum alia multa tum hastas ipsas decussatis impositas in valli cratem stipitibus auferunt. ut autem receptis e subita consternatione animis Romani manu facta insecuti fugientes sunt, illi nota ipsis montium iuga tenuerunt, indeque securo iam in loco stabiliti sagittis nostros impetebant, undique per circuitum superne iaculantes; tantumque circumventis iis qui se insequebantur praevaluerunt, ut et ipsum borum ducem comprebenderent abegissentque, nisi quispiam e Romana pbalange generoso evectus impetu vehementem fecisset impressiouem in barbaros, tam fortiter rem gerens ut disiectis iis, suo tantum equo sanciato, ipse incolumis liberum captivum re-

ἀκουσθὲν ἐπὶ πλέον παρώτρυνε τὸν Ἀτμάν, καὶ ὑπερηφάνει ὁ βάρβαρος· ἐς τόσον γὰρ τὸ περὶ αὐτὸν στράτευμα ἐπληθύνετο, ὥστε καὶ Πέρσας ἄλλους ἐκ τῶν περὶ Μαίανδρον παραγεγονότας συμμάχους ἔχειν καὶ πρὸς τὴν καταδρομὴν συλλήπτορας ἱκανούς. τοῦτο δ' ἦν καὶ τὸ τὸν Ἀμούριον ἐπηρκὸς καὶ πεῖσαν παρασπονδεῖν, ζητολυποῦντα τέως εἰ ὧν αὐτὸς κατὰ τὴν πρὸς βασιλέα χά- B ριν ἀπείχετο, ταῦτα μακρόθεν ἐσβάλλοντες ἄλλοι παρακερδαίνοιεν. ἀλλὰ τὰ μὲν τούτῳ πεπραγμένα μικρὸν ἦσαν, κἂν αὐτὸς οὐκ ἀφίστατο πράττων· τότε δ' Ἀτμὰν ἐπιστάς, καὶ ἄγων μὲν τοὺς ἰδίους, ἄγων δὲ καὶ πολλοὺς κατὰ συμμαχίαν ἑτέρους ἐξωρμημένους κατὰ λύσσαν πάλαι τῶν κατὰ Παφλαγονίαν μερῶν, ἑτοίμους ἐξαλείφειν τε καὶ ἀπάγειν τὰ πρὸς ποσὶν ἐκ πολλῆς ἰταμότητος, ἐκεῖ που πάντας συνῆγεν. οἱ δ' ἀμφὶ τὸν Μουζάλωνα, C ὅσον Ῥωμαϊκὸν καὶ ὅσον Ἀλανικόν, ὅσον ἰθαγενὲς καὶ ὅσον ἔξωθεν, μόλις που περὶ δύο χιλιάδας συνίστατο. ὅμως γε μέντοι τὸ ἐπὶ τῆς οἰκείας μάχεσθαι πολλὴν σφίσι ῥοπὴν ἐπὶ τῷ τολμᾶν πρὸς πλείστους ὀλίγοις ἐδίδου. κἂν καὶ περιγενέσθαι σφᾶς ξυμβεβήκοι, εἴπερ γνησίαις καρδίαις, ὡς πολλοῖς ἐλέγετο, ὥρμων

duxerit. hoc ita gestum et late celebratum magis magisque incitavit Atmanem, barbarumque in fastum extulit: adeo enim iam eius copiae auctae numero erant, ut et Persas alios e regionibus vicinis ad se ultro coëuntes socios haberet et ad iucursionem quolibet promovendam adiutores idoneos. hoc et Amurio superbiam adiecit. hoc illi persuasit foedus frangere, aemulatione instincto avara, qua ei videbatur intolerabile se quidem promissae imperatori fidei religione vinctum abstinere manus a praeda Romana, interim dum illam alii longius profecti totam in sua lucra verterent. sed quamvis haud sane sibi Amurius parcebat quin quam maxima posset rapacitate grassaretur, tamen exigua videri poterant damna quae rei Romanae inferebat, si compararentur cum longe gravioribus a potentiori Atmano illatis. hic enim inceptum urgens et accinctus praesens operi, succinctus etiam novis auxiliis ferocissimorum latronum, qui saeva dudum in nos instincti rabie e partibus Paphlagoniae recens ad ipsum convenerant, parati animis delere desolareque obvia cuncta, nihilque facere reliqui extremae crudelitati diripiendis abducendisque in servitutem plane universis incolis illorum tractuum. hos ille cum suis veteribus aggregasset copiis, universum illic exercitum una secum habebat. oppositus illi stabat unica tutela Romani limitis Muzalo; qui recensitis suis, collatoque in unum quantum supererat Romanarum copiarum quantum Alanicarum, vix numeratis simul indigenis simul exteris duo millia militum explebat. extremum tamen Muzalonis oculis et animo obversans periculum Romanae rei audaciam ei atque impetum pro aris focisque decertandi contra plures dabat, haud abhorrentibus a ducis sententia plerisque militum, licet suae conscii paucitatis. et habuisset ista fiducia successum, vicissentque, ut plurimi affirmant, si aut plane omnes conspirassent in generosum hoc propositum, aut in eo concordes perseverassent unanimique fortitudine totis viribus et animis in istud praelium ruis-

καὶ τῆς μάχης ἀντελαμβάνοντο. νῦν δ' ἀλλ' ἐρραθυμηκότες
οἷον καὶ νάρκην παθόντες, οὐχ ἧττον ἐκ δυσνοίας ἢ ἀβουλίας,
D ἀφῃρημένοι ἐξ ὑπογύου καὶ ἵππους καὶ χρήματα διὰ τὴν ἐπισυμ-
βᾶσαν τῶν Ἀλανῶν ἕνεκα ἐξ ἁπάντων συντέλειαν, τὰς ὁρμάς
τ' ἐπεκλῶντο καὶ ἀτολμότερον συνερρήγνυντο. ὃ καὶ τοῖς Πέρ-
σαις μεγάλην ῥοπὴν ἐνεποίει, καὶ μᾶλλον ἐτόλμων κατ' ὀλίγων
πλεῖστοι. οὕτω δὲ τῆς μάχης ἀνισουμένης καὶ πλήθει καὶ γνώ-
μῃ, πίπτουσι μὲν οὐκ ὀλίγοι, φεύγουσι δ' οἱ πλείους, καὶ τῇ
Νικομηδείᾳ ἐγγύθεν οὔσῃ μετὰ περιφανοῦς τῆς τροπῆς διεκπαίον-
τες συνεισβάλλουσιν ἀκλεῶς. ἔδοξαν δὲ τότε καὶ ἐς πολὺ χρήσι-
E μοι Ἀλανοὶ πεσόντες πλείους ὑπὲρ Ῥωμαίων· τῷ γὰρ πεζῷ πολλῷ
γε ὄντι διδόντες ἄνεσιν εἰς τὸ φεύγειν κλινάσης ἤδη τῆς μάχης,
αὐτοὶ μὲν περικυκλοῦντες τοὺς πολεμίους καὶ ὑπὸ πόδα χωροῦντες
καὶ λέχριοί πως ἐπιτιθέμενοι, περιαργοῦντες ἐπίτηδες, ὀϊστοῖς
ἔβαλλον καὶ πεζοὺς τοὺς τέως ἱππότας ἐδείκνυον. πεζῶν δὲ νέφος
ἐκείνων συνειλούμενον σφίσι καὶ διεκπαῖον τὰ πρόσω ἀπεσώζετο.
P 230 ἐκεῖνοι δὲ τῆς αὐτῶν σωτηρίας τοὺς καθ' αὑτοὺς προβαλλόμενοι
κινδύνους συνεχεῖς ἔπιπτον. καὶ οὐδὲν ἦν τὸ λοιπὸν καὶ τὸ νικᾶν

18. καὶ τὸ] ἢ τὸ?

sent. nunc multi ex ipsis, vel innatae indulgentes ignaviae, vel refrigerato, si quem coucepisse visi fuerant, ardore strenue dimicandi, segnes ancipitesque torpebant. in his erant quos adhuc urebat dolor contumeliae, ut putabant, iniuriaeque acceptae, cum equi nummique ipsis erepti Alanis attributi fuerant, quo Romanam militiam periisse funditus querebantur, taediique inde ac livoris pleni nec consentiebant caeteris, nec impetum expediebant quidquam aggrediendi viris dignum; parque frigus in pugnam protrusi in ipsa acie monstrarunt. id quod Persis animadversum addebat videlicet illis animos, magnumque facultatem pauciores, eosque timidos, obterendi tribuebat. ita male comparato inter hinc paucos sibi diffidentes et debiles, illinc plurimos optime animatos fortesque certamine, praelium commissum est, eo qui expectari debuit eventu, ut nostrorum nimirum non pauci caderent, plurimi fugerent, et in urbem vicinam Nicomediam plane fusi nec dissimulanter victi, cladis pleni dedecorisque confugerent. demonstrarunt se occasione ista valde utiles Romanis Alani; quorum utique multi pro salute nostrorum occubuerint. videntes quippe inclinatam irrevocabiliter ad fugam aciem pedestrem, quae maxime numerosa erat, spatium ipsi ad vitam in tuto locandam suo magno periculo ultro adeundo praebuere, siquidem desilientes ex equis, et magno animo ad persequendum consternatos erumpentibus circumfusi hostibus, eosdemque oblique a lateribus procella telorum impetentes, stare quamlibet invitos coëgerunt, plerisque ipsorum equorum caede ex equitibus in peditum ordinem redactis. unde contigit agmen illud peditum nostrorum loco motum, et si equitatus incurrisset, plane periturum, otium suae saluti prospiciendi nancisci, empta ipsi commoditate ista pretio sanguinis et vitae Alanorum; quorum permulti corpora tegendae nostrorum fugae obtendentes transfossi ciciderunt. caeterum Persae adeo strenue

Πέρσας καὶ διασπαρέντας ἄλλον ἀλλαχοῦ κατατρέχειν τὰ πρόσ-
χωρα, τῶν πολλῶν ἐντεῦθεν εἰς ῥᾳδίαν προνομὴν κειμένων κατὰ
πολλὴν ἐρημίαν τῶν κωλυόντων. ἦρξε τοίνυν ταῦτα μεγάλων
κακῶν ἁπάσῃ τῇ χώρᾳ, ἐπὶ καιροῖς ἀναγκαίοις, τοῖς τῶν καρ- B
πῶν συλλογῆς, τῶν μὲν ἀπαγομένων τῶν δὲ σφαττομένων, ἔστι
δ' ὧν καὶ φευγόντων, εἴ τις καὶ προυπανίστατο τῶν δεινῶν καὶ
φρουρίῳ τινὶ τὰ καθ' αὑτὸν ἐπίστευεν.

26. Εἶδες δὲ τότε καὶ τοὺς ἐνδοτέρω σκευαγωγοῦντας, P 231
καὶ οἰκτρὰν θέαν περαιουμένους εἰς πόλιν, ἀπογνόντας ἤδη τὴν
τῶν ἰδίων σωτηρίαν. καὶ ὁ πορθμὸς οὗτος ἑκάστης μυρμηκιὰν
ἀνθρώπων καὶ ζώων ἐδέχετο, οὐκ ἄνευ συμφορῶν τῶν μεγίστων
ἀπαλλαγέντων· οὐδὲ γὰρ ἦν ὅστις οὐ τῶν ἰδίων ἀπεθρήνει τὴν
στέρησιν, τῆς μὲν ἀνακαλουμένης τὸν ἄνδρα, τῆς δὲ τὸν υἱὸν
ἢ μὴν τὴν θυγατέρα, ἄλλης ἀδελφόν τε καὶ ἀδελφήν, καὶ ἄλλης B
ἄλλο τι συγγενείας ὄνομα, πάντων δὲ ἐλεεινῶς προκειμένων, τῶν
μὲν ἐντὸς πόλεως, τῶν δὲ καὶ ἐκτὸς παρ' αἰγιαλὸν εἰκαίως κατα-
σποδουμένων, λείψανα φερόντων καὶ ζωῆς καὶ βίου. νήπια δὲ
καὶ γυναῖκες καὶ οἰκτροὶ πρεσβῦται προκείμενοι ταῖς ὁδοῖς ἀλγεῖν
ἐποίει καὶ τὸν μόνον ἀκούοντα. πλὴν ἐντεῦθεν στρατὸς μὲν τὸ

usi victoria sunt, ut medium nullum intercederet spatium inter cladem nostri exercitus et distributionem illorum in manus varias, quae diverse in multas simul partes Romanae ditionis irrumperent. et sufficiebat vel exiguus numerus rei ubique ex ipsorum sententia gerendae, propter debilitatem et destitutionem in illo limite interiusque extremam omnium, nemine iam prorsus uspiam comparente qui subditos imperio Romano tueretur. quare omnes et omnia parata illic praeda quibusvis tollere curantibus iacebant. ingentium haec igitur fuerunt initia malorum, geminante etiam incommodum importunitate temporis, quod haec Muzalonis clades incidit in aestivam messem, qua tempestate cuncti erant intenti collectioni et importationi frugum in horrea, vice cuius hi quidem abducebantur, illi trucidabantur, nisi si qui mala ista fuga matura praevertissent arcique alicui obvise se ac sua credidissent.

26. Vidisses tunc citeriores Nicomedia ruris incolas convasata supellectile trepide in urbem accurrentes, et miserabile spectaculum obviis offerentes luctu et planctibus, quibus uti desperata salute se miseri cruciabant; cernebaturque quotidie in traiectu illo, velut densum formicarum agmen sese trudens terrore, multitudo mixtim hominum et bestiarum. nec quisquam ea ibat non eiulans ac plorans, quod maximis iacturis aegre vitam redemisset, nemine fere non cuiuspiam ex intimis amissionem lamentante. haec quidem virum abactum aut occisum flens inclamabat, illa filium aut filiam, alia nomen aliud affectus et cognationis proximae. cuncti autem miserabiliter in publico iacentes procumbebant, quidam intra urbem, alii extra per maris littus, in pulvere versantes miseras reliquias vitae ac spei. parvuli autem et mulieres senesque miserandi strati temere per vias non solum videntes horrendo spectaculo, sed et audientes immedicabili cordolio vulnerabant. caeterum indidem, hoc est Nicomedia,

C μὲν ξενικὸν περαιούμενον ἀκλεῶς ὑπέστρεφε, τὸ δ' ἰθαγενὲς καὶ αὐτόχθον, καὶ αὐτῶν οἰκιῶν ἐκκεχωρηκὸς τοῖς ἐχθροῖς, ἐξ ἀναγκαίου ἐζήτει ὅπῃ γε καὶ ἀποφυγὸν σωθήσεται. ἐχθροὶ δὲ τέως πολλῶν ἐμπλησθέντες τῶν ἀνωτέρω ἀνέδην ἐκείνοις ἐνεσπατάλων, ἀπάγοντες μὲν αἰχμαλώτους, ἀπάγοντες δὲ καὶ ζῶα καὶ λείαν πᾶσαν καὶ αὐτὸν δὴ τὸν καρπὸν τῆς γῆς τὸν ἐπέτειον, ζώοις τοῖς ἐκ τῆς λείας διευθετούμενοι, καὶ ὅ τι καὶ ἔδοξεν ἀσφαλὲς μετα-

D φέροντες. οὐ μὴν δὲ καὶ τῶν κατωτέρων Νικομηδείας ἥπτοντο, οὔπω θαρροῦντες ἴσως τὴν εἰσβολήν· ἐπῄει γὰρ ἐκείνοις φοβεῖσθαι τὴν ἐξ ἐγγίονος ἔφοδον, καὶ ὡς ἱερῶν ἀθίκτων ἔτι τῶν τῆς πόλεως προαστείων ἀπείχοντο, εἰ καὶ τοῖς τῇδε τῶν δεινῶν προσδοκωμένων ἀναστολῆς ἔδει, καὶ ὡς ἦν ἀνεστέλλοντο. οὐ γὰρ ἐνταῦθα μόνον ἦν τὸ δεινόν, ἀλλὰ τὰ μὲν κατ' ἀνατολὴν μέχρι καὶ Ἀτραμυτίου, ὅπου καὶ βασιλεὺς ἐπεχωρίαζε, τὰ ἀνωτέρω

E πάντα δίχα τῶν ὀχυρωτάτων φρουρίων τοῖς ἐχθροῖς εἰς προνομὴν ἔκειντο, τὰ δὲ προσωτέρω περί που τὴν Ἀχυράους καὶ Κύζικον καὶ Πηγὰς καὶ Λοφάδιον ὀλίγῳ τινὶ διαστήματι τῷ ἀπὸ θαλάσσης ἐλεύθερον περιῆν. Προύσῃ δὲ καὶ Νικαίᾳ ταῖς πύλαις

P 232 ἐπέχραε τὰ δεινά, ἁπάντων τῶν ἔξω προνομευθέντων, καὶ δει-

9. ἐποίει P.

post cladem memoratam militia quidem extera inglorie revertebatur: indigenae vero milites, qui domos suas occupatas iam ab hoste scirent, ubi deinceps perfugium ad salutem captarent, varie quisque aestusns necessario quaerebat. at hostes corrasis hactenus omnium ulteriorum regionum praedis, iis se incubantes ingurgitabant, raptis intemperanter abutentes, trahentes captivorum hominum catervas, captivi pecoris greges armenta mandras, una cum omnis generis praeda, praesertim autem fructu segetum, quss anni tempestate maturas collegerant, ex iisque larga mano, quae multa undique praedando congesserant, iumenta pascebant; denique summa securitate, quidquid ipsis placuerat, quo vellent cumque transferentes. non tamen adhuc citeriores Nicomedia tractus attingebant, nondum, ut est verisimile, tuto se illuc irrupturos opinantes. metuebant videlicet ne, si proveherentur, ex urbe retro relicta eruptio in ipsos fieret. eademque formidine continebantur, ne suburbia civitatis tamquam sacra contingere auderent. etsi parum ea res illic degentibus remissionis afferret, continuo utique terrore solicitis, et quae nondum patiebantur, sibi tamquam praesentia fingentibus, fruebantur tamen miseri, ut poterant, quiete qualicumque per istam ita suspensae incursionis hostilis moram, ac comparatione pariter infelicium multorum sese consolabantur. neque enim erat melior conditio securiorve status reliquorum per totum Orientem Atramytium usque, ubi diversabatur imperator: ulteriora quippe universa, praeter arces munitissimas, hostibus in praedam exposita iacebant. longinquiora modo quaedam circum Achyraos et Cyzicum ac Pegas Lophadiumque, exiguo a mari intervallo, libera supererant. Prusae quidem ac Nicaeae bellum et clades sub ipsas admotae portas erant, omnibus

νὸν τὸ πάθος καὶ ἀπαραμύθητον τὸ συμβάν, ἁπάντων ὀλίγων ἐξαπολωλότων μηνῶν. καὶ ὥσπερ θείας ὀργῆς καὶ μηνίματος δαιμονίου τὸ πάσχειν, οὕτω καὶ θείας ἀντιλήψεως μόνης καὶ συμπαθείας τοῦ κρείττονος τὸ τὰ δεινὰ στῆναι εἰκὸς ἦν ἐννοεῖν.

27. Ἀλλὰ ταῦτα μὲν ἐς τοσοῦτον. οὐκ ἦν δὲ ἄρα καὶ B ἀρχιερεῖς ἡσυχάζειν καὶ μὴ δι' ὄχλου μεγίστου τῷ πατριάρχῃ γίνεσθαι τοῦ τῆς Ἐφέσου καὶ πάλιν Ἰωάννου καὶ τῆς ἐκείνου ἀνορθώσεως ἕνεκα. εἷς δέ τις αὐτῶν (ὁ Σηλυβρίας οὗτος ἦν Ἱλαρίων) καὶ μέγα τι κατὰ τοῦ πατριαρχοῦντος ἐφθέγξατο, οὐ τότε πρώτως, ἀλλ' ὅτε δὴ πατριάρχης ἐπὶ τῇ τῆς Παμμακαρίστου μονῇ ἀναχωρῶν τῶν φροντίδων καθῆστο, οὐκ αὐτὸς ἰδὼν ἀλλὰ παρ' ἰδόντος ἀκούσας, ὡς ἔλεγεν. ἀπῆν δὲ τῶν ζώντων ὁ φήσας, C ἀνάγωγος καὶ ἄλλως ὢν ἐκεῖνος καὶ ἐπὶ διαβολαῖς γνώριμος. ἀλλὰ καὶ τὸ ἔγκλημα ἀπᾷδον ὅλως καὶ ψευδολόγημα ἄντικρυς. ὅμως ὁ Σηλυβρίας οὐ πάνυ τι καὶ αὐτὸς πιστεύων, ὡς ἐῴκει λέγων, τὸ τοῦ πράγματος ἄτοπον ἐν ἀπορρήτοις παραλαβών, βασιλεῖ πιστεύει τὸν λόγον. τῷ δὲ μέγα μὲν ἀκούσαντι ἔδοξε, καὶ βαρέως ἤνεγκε τὸ λεχθέν· ὅμως δὲ μέντοι καὶ μὴ πιστεύσαντι D ἐπῄει φροντίζειν τοῦ ἐν ἀπορρήτοις διακεῖσθαι τὸν λόγον, ὡς

3. οὕτω bis ponit P.

quae circum urbes illas fuerant undique direptis ac vastatis. dira calamitas nec consolatione levabilis ulla cuncta late occupaverat, universis illis populis paucorum spatio mensium funditus perditis. ac sicut divinae fuit irae iustaeque superum in scelera nostra animadversionis, nos pati talia, sic uni coelesti clementiae ac misericordiae numinis imputari par fuit indutias illas malorum qualescumque, quae barbaris progredi ulterius verentibus Romanae plebi, licet nullo protectae praesidio adversus eos, si venirent, contingebant, aliquod in extrema clade solatium.

27. Et haec quidem in hunc modum se habebant, ut hactenus diximus: episcopi autem perstare quieti non poterant, nec absistere a facessendo gravem patriarchae molestiam, Ioannis rursus Ephesii et eius restitutionis causa. unus autem ipsorum Selybriensis, cui nomen erat Hilarion, grave quodpiam a patriarcha peccatum retulit, non recens illud quidem, sed tunc patratum quando patriarcha idem in Pammacaristi monasterio sepositis curis considebat; idque aiebat haud visum a se, sed ab alio qui vidisset auditum. verum qui memorabatur auctor, iam erat mortuus; fueratque, dum viveret, homo contumeliosus et calumniator notus. crimen porro erat prorsus abhorrens a verisimilitudine omni merumque mendacium. prae se ferebat quinetiam Selybriensis ipse, cum id alterius testimonio referret, sese haud credere: putasse tamen rem qualicumque fide arcano ad se delatam imperatori, prout fecit, indicare se debere. imperator hoc audito momenti permagni temere moveri negotium iudicavit, graviterque tulit id ad se delatum. ac nullam licet fidem delationi adhibens, sibi enixe curandum existimavit ne ad plures dicti notitia manaret,

ἄλλως καὶ ἀπρεπῆ ὄντα οὐ μᾶλλον ἢ ψευδῆ. διαφυλάττεσθαι
γὰρ καὶ τὰς τῶν πολλῶν ὑπονοίας ἄξιον ἐκεκρίκει. πλὴν καὶ τοῦ
προσανενέγκαντος κατεγνώκει, ὡς τὸ τέλος ἔδειξεν, ὅτι καὶ ὅλως
ἐπὶ τοιούτῳ καὶ παρὰ τοιούτου πιστεύσειε λέγοντος. ἦν ταῦτα,
καὶ οἱ μὲν ἀρχιερεῖς καὶ αὖθις διὰ τὸ τοῦ πατριάρχου πρὸς αὐ-
P 233 τοὺς ἀμφίγνωμον περὶ τῶν κατὰ τὸν Ἐφέσου πραγμάτων πα-
τριάρχῃ ἐπεῖχον καὶ οὐ καθαρῶς εἰρήνευον. ἦσαν δ' οἵτινες
τούτων καὶ ὡμογνωμόνουν τῷ πατριάρχῃ καὶ πρὸς τοὺς λοιποὺς
διεφέροντο. βασιλεῖ δὲ πάντα τρόπον τὰ τῆς εἰρήνης στέργοντι
οὐκ ἦν ἠρεμεῖν, ἀλλὰ τὸ μὲν τὸν Ἐφέσου ἀποκαταστῆναι καὶ
προσαπεδέχετο καὶ συνήργει τοῖς βουλομένοις, τὸ δ' αὖθις ἐκεί-
νου χάριν πατριάρχην προσαναγκάζειν οὔ οἱ τῶν δεόντων ἐδόκει.
B ὅθεν κἂν καὶ τοὺς ὑπὲρ τοῦ Ἐφέσου λέγοντας ἀπεδέχετο, ἀλλὰ
τό γε σχίζεσθαι διὰ ταῦτα σφᾶς πατριάρχου καὶ λίαν διὰ βάρους
ἦγε καὶ προσωνείδιζε, καί τισιν ἐμβριθέστερον προσεφέρετο.
σκοπῶ δὲ μὴ Πάτροκλος ἦν ὁ Ἐφέσου καὶ τὸ τοῦ Αἰνείου ἐσχε-
διάζετο εἴδωλον, τῆς βασιλικῆς γνώμης ἤδη κλινούσης πρὸς Ἀθα-
νάσιον τῷ τὸν Ἰωάννην ἀποπροσποιεῖσθαι, εἰ καὶ ἐν ἀφανεῖ

praeterquam indecentis et mentioue ipsa infandi, etiam, nt se dabant indicia, mendacis. praeverti enim oportere suspiciones multorum aequum censuit. sed et, prout ex consecutis ad extremum apparuit, succensuit delatori, quod e tam levi tamque sublestae fidei auctore cognitam rem tantam non modo non contempsisset, ut debuerat, verum etiam, ut deferendo monstraverat, credidisset. dum haec ita se haberent, interim episcopi, quod sibi adversari patriarcham scirent in negotio Ioannis Ephesii, haud cessabant instare circa hoc illi, uec corde sincero cum eo communicabant. nou tamen ex eorum numero deerant qui partes patriarchae sequerentur et ab aliis ea causa dissentirent. quae cernens imperator, pro suo antiquo proposito pacis ecclesiasticorum omni ratioue procurandae, baud sibi cessandum in hac pacanda discordia putavit; in quo restitutioni quidem Ephesii, quam multi urgebant, uou modo asseutiri se moustrabat, sed ei ultro promovendae paratam exhibebat operam. tamen idem eius rei gratia vim inferri patriarchae haud decere indicabat. uude, quamquam libenter audiret quaecumque pro Ephesio allegabantur, molestissime ferebat omnem mentionem discessiouis a sacrorum principe; et quos audiret eam minari episcopos, graviter iucrepabat, etiam exprobratione non abstinens. uon dissimulabo hic tamen speculationem quandam meam. quis scit an capessenti sic imperatori causam Ephesii, cui sciret adversari patriarcham, non aliud occultius in mente fuerit? quis, inquam, praestet non hoc illi praetextum fuisse merum, et velut illud e fabulis ad vanam speciem obiectum inane Aeneae simulacrum, ad usum indulgendi conceptae iam tum arcanae voluntati reponendi Athanasium in thronnm, quam ad rem sibi videbat fore utilem factionem multorum antistitum a Ioanne nunc pontifice aversorum ob Ephesii negatam ab eo restitutionem. sed haec omittamus, quae si iam

ταῦτ᾽ ἦσαν ἔτι. ὡς δέ που καὶ τὸ ὑπ᾽ ὀδόντα κεῖσθαι δοκοῦν
ἀνύπυστον ἤδη ἤρξατο γίνεσθαι, καί τινες ἀφωσιωμένως πως
καὶ ἐπιπολαίως τὰ περὶ ἐκείνου ᾐνίσσοντο, τὸ ἐκείνου σχίζεσθαι C
ἑαυτοῖς εὐπροσωπότερον καθιστάντες, τότε βασιλεὺς τὸν πρώτως ὑπομνήσαντα περὶ τούτου ὑπώπτευεν, ὡς καὶ ἄλλοις εἴποι τὸν λόγον, κἂν αὐτὸν μὴ σκανδαλίσειεν ὑπειπών, ἄλλοις ἴσως εἰπὼν μῶμον προστρίψειε. διὰ τοῦτο, καὶ τῇ τοῦ πατριάρχου θαρρῶν σεμνότητι, ἐκφαυλίζει τὸν λόγον, καὶ τὸν πρώτως εἰπόντα δῆλον καθίστησιν. ἄρρητον μὲν γὰρ εἶναι καὶ ἄπιστον, καὶ λίαν ὠρέγετο, ὡς ἐῴκει· ὑπολαλουμένου δὲ καὶ παρ᾽ ἄλλων, αὐτὸς ἀναγκασθεὶς φανερὰν καθίστησι τὴν κατηγορίαν, καὶ ὡς
ὑβριστὴν οὐκ αἰτίας ἀνίει τὸν φάμενον. ἀκούει ταῦτα καὶ πα- D
τριάρχης, καὶ ὡς εἰκὸς δεινοπαθήσας, ἐπεὶ οὐ περιῆν ὁ πρώτως ἐπειπών, ὡς ἐλέγετο, αὐτῷ δὴ Σηλυβρίας τὴν συκοφαντίαν ἐπέτριβε, καὶ συνόδῳ ἐπεγκαλεῖ ζητῶν τὴν ἐκδίκησιν ἑαυτῷ, κἂν ἐκεῖνος ὡς εἶχεν ἐπειλύων τὸν λόγον ἄλλως ἔλεγεν ἐξειπεῖν.
(28) παρ᾽ ἣν αἰτίαν καὶ βασιλεὺς (οὐδὲ γὰρ ἦν ψεύδους γρά- P 234
φεσθαι βασιλέα γε ὄντα) ἐπὶ τοῖς τοιούτοις συκοφαντοῦντα διελέγχειν ἀναγκαζόμενος, ὃ τέως ἀνέκφορον ἠβούλετο μένειν, ἐπὶ

tum erant, in occulto certe tenebantur. tunc autem evenit ut, cuius meminimus, Ioannis patriarchae crimen clam olim immurmuratum enotescere inciperet, et a quibusdam verecunde quidem ac quasi aliud agendo, tamen sic oblique innueretur ut qui rem compererant agnoscerent; quod infensi Ioanni episcopi magna arte faciebant, sic sibi plausibiliorem praeparantes obtentum ab eo sese discindendi. istam propalationem rei a se tanto studio celatae imperator sentiens, eum qui sibi primus illam indicasset, Selybriensem violati arcani suspectum habuit; et in eam incubuit partem ut crederet illum indulgentem prurigini malignae aliis quoque manifestasse, quod frustra ei fuisset a se impense commendatum ne omnino mortalium cuiquam aperiret. et hunc quidem ipsum coram redarguere levitatis illius haud voluit, ue sine operae pretio eum irritaret: illum tamen eo nomine apud alios vituperavit, ac fretus gravitate notaque patriarchae innocentia non dubitavit crimen id totum falsae calumniae adscribere, conquerendo de eo qui primus vulgaverat, quod luce indignissimum premi tenebris semper oportuisset. sic imperator id ipsum quod summe, ut videri voluit, cupiverat indictum immemoratumque perpetuo sileri, cum susurrari ab aliis intellexisset, publicare ipse coactus est, palam incusans Selybriensem, qui prodiderat primus, ut contumeliosum et sycophantam. audiit haec patriarcha, et prout par fuit, indignatus, postquam in vivis non supererat qui falsi criminis auctor allegabatur, ipsi Selybriensi calumniae dicam impegit, questusque de illo apud synodum petiit canonice rem cognosci vindicarique tantum scelus, excusante illo quantum poterat, haud se malo animo enuntiasse sub arcano quod ex alio rescisset.
(28) haec ipsa expostulatio patriarchae querelaque apud synod.im cum curam imperatori adiecisset, ne cuipiam mi ius plene de re tota edocto suspicio forte in ipsum oboriretur, tamquam quod audivisse ex alio aie-

πολλῶν ἐξέφερεν, ὅπως καὶ ὅτε καὶ τί προσελθὼν εἴπειεν ὁ εἰ-
πών. τέως δὲ πολὺς προσετρίβετο ἐντεῦθεν μῶμος, ἀμφοτέρω-
θεν ἀντιδιατεινομένων. καὶ διὰ ταῦτα πατριάρχης δεινῶς ὑβριο-
παθῶν ἦν, καὶ οὔτε βασιλέα προσαπεδέχετο κινοῦντα τὸν λόγον,
B ἀλλὰ καὶ τῷ πρώτως εἰπόντι κακῶς εἶχε, καὶ συνόδου ἐζήτει ἐκ-
δίκησιν, εἰ πιστεύειν θέλοιεν ὡς καὶ αὐτοὶ συκοφαντίαν τὸν λό-
γον, ὡς λέγουσι, κρίνουσι. τῷ τοι καὶ τῷ μὲν ζητεῖν πατριάρ-
χην δίκαια ξύμπαντες ὡμολόγουν, πρὸς δὲ τὸ καταδικάζειν τὸν
λέξαντα διαμφιγνωμονοῦντες ἦσαν· μηδὲ γὰρ κἀκεῖνον αὐτόθεν
ἐκφῆναι τὸν λόγον, μηδ᾽ ὡς κατηγορίαν συνθεῖναι, ἀλλὰ βασι-
λεῖ πιστεῦσαι, ὥστε μεῖναι καὶ ἐν ἀπορρήτοις οἴεσθαι. ὡς δὲ
πολλάκις ὁ μὲν πατριάρχης συνιστᾶν βουλόμενος σύνοδον ἐπὶ τού-
C τοις τοὺς ἀρχιερεῖς μετεπέμπετο, ἐκεῖνοι δὲ οἱ μὲν συνήγοντο καὶ
ἕτοιμοι ἦσαν κρῖναι καὶ καταδικάζειν τὸν φάμενον ὡς οὐκ εὔσχη-
μον ὂν οὐδ᾽ ἄλλως εὐπρεπὲς πρὸς βασιλέα λέγειν τοιαῦτα, οἱ

bat per se ipse confinxisset, causa fuit diligentius asseverandi delutionem ad se factam, eoque magis ac magis divulgaudi quod enixe in arcano manere studuerat, dum scilicet multia solicite iuculcat, quis, quando, qua ratione ad se accedens illud putriarchae crimen detulerit; ac scilicet Selybriensem delatorem graviter incussans, qui vicissim dum se apud plerosque purgare satagit, postquam erat contestatus bono se animo et sine ulla calumniandi voluutate Augusto sub fide arcani declarasse quod ipsum non latere publice interesse putaverat, erumpebat in mutuam vituperationem ipsius, qui videlicet secreti religione violata reu clam auditam palam enuntiasset. per bas contentioues latius sparsum sermone celebrabatur patriarchae crimeu, non sine gravi eius infamia; qua ille acriter commotus nec imperatoris excusationem admittebat, coactum se aieutis ad proferendum quod tenere occultum debuisset, et in eum maxime qui falsam ei calumuiam primus indicasset infenso erat animo, vindicarique scelus buius severo syuodi iudicio poscebat; utebuturque ad tanto efficacius id iudicium urgendum professione sibi facta multorum e patribus, siugillatim affirmantium non dubitare se quin falsum et calumnioae affictum totum id crimen esset; quod qui dicerent, eos patriarcha conteudebat sensus istius sui veritatem debere saucire puniendo, ut merebatur, illo qui temere primus effutiisset id quod ipsi nibil aliud quam atrox falsissimumque maledictum esse iudicarent. uc iuste quidem commoveri patriarcham et suae famam innocentiae suffragiis synodi stabiliri velle uon immerito fatebantur passim omues: damnari, prout petebat, poenisque subiici primum denuntiatorem falsi licet eius criminis, haudquaquam omues pari consensu censebant aequum. erant euim qui reum venia prosequendum contendereut, quoniam nou ipse a se tamquam sibi compertum patriarchae delictum primus auctor detulisset, ueque eius accusationem instituisset, sed rem urcano sibi cognitam imperatori credidisset, sub fidi silentii custodia tenendam, ut quidem existimabat. cum autem uihilo secius patriarcha incumberet in propositum synodalis iudicii adversus Selybriensem urgendi, couvocaretque saepius ea de causa synodum et uomiustim episcopos accerseret, borum aliqui conveniebaut, promptosque se praebebant ad iudicandum coudemnandumque Hilarionem, quod contra quam conveniens ac decens fue-

δὲ αἰτίας τῆς ἀποφυγῆς πλαττόμενοι τὴν ἄφιξιν ὑπερετίθεντο καὶ τῷ Σηλυβρίας ἀγαθὰς ὑπερέτεινον τὰς ἐλπίδας, ταῦτα δ' ἐποίουν πολλάκις ἔννοιαν διδόντες ὡς ἐπαλγοῖεν καὶ οὗτοι μὴ καὶ πατριάρχου σφίσιν ὁμογνωμονοῦντος ἐπὶ τοῖς τοῦ Ἐφέσου πράγμασιν, ὥστε καὶ κινδυνεύειν σχίζεσθαι, τότε πατριάρχης ἀπαλγῶν τοῖς D τελουμένοις, ἐπεί γε συνοδικῶς προκαθήμενος μέχρις ὀψὲ τῆς ἡμέρας τὴν ἐκείνων περιέμενεν ἄφιξιν, αὐτίκα συντόνῳ ψυχῆς καταστήματι καὶ ἱκανῶς ἐνθέρμῳ ἐκ λύπης ἀποχωρεῖ, τελευταῖον εἰπὼν εἰς τοὺς τότ' ἀρχιερεῖς ἦ μὴν τοῦ λοιποῦ μὴ εἶναι μέσον αὐτῶν, κἂν ὅ τι ποιοῖεν, καὶ ὅρκον ἐπιπροσθεὶς, ὥς τινες ἤκουσαν. ὁ δ' ὅρκος ἰδιωτικῶς πως οὕτως ἐξενεχθεὶς "νὰ P 235 ἦμαι δοῦλος τοῦ Χριστοῦ, οὐ μὴν εἰμὶ μεθ' ὑμῶν, εἰ μὴ τὰ γένοιτο." τὸ δ' ἦν, εἰ μὴ ὁ Σηλυβρίας κολάζοιτο. πέμπτην μὲν οὖν ἦγε τότε μὴν Ἀνθεστηριών, ἡμέρα δ' ἦν ἡ πρὸ τοῦ σαββάτου παρασκευή, καὶ μικρὸν ἐφησυχάσας τῇ κέλλῃ πρὸς ἑσπέραν σὺν τοῖς ἰδίοις μεταχωρεῖ, καὶ πρὸς τὴν τῆς Παμμακαρίστου μονήν, ὅπου καὶ εἴθιστο καταμένειν, γίνεται, ἀφεὶς ἕνα τῶν αὐτοῦ ἢ καὶ δεύτερον τὰ τοῦ πατριαρχείου κατέχειν καὶ διοικεῖν. καὶ ταῦτα μὲν ἐκεῖνος ἔπραττεν, οὐ μὴν δ' ὥστε οἱ καὶ B καθάπαξ ἀπαλλάττειν ἔγνωστο, ἀλλ' ὡς πολλάκις εἴθιστο πράτ-

rat, talia imperatori dixisset: alii fictis praetextibus accessum ad synodum excusabaut, eo ipso Selybriensi addentes animum spemque iudicii declinaudi facientes. quod isti cum saepius agerent, facile intelligendum non imperitis rerum dabant ulcisci eos in hoc proprium dolorem, et occasionem arripere vicissim aegre faciendi patriarchae, in odium eius duritiei qua ipsis asseutiri recusaret in restitutione Ioannis Ephesini; qua re tantum offendebantur, ut facile appareret non procul abesse illos a consilio abscindendi se ab eo. istas horum tergiversationes ferebat patriarcha molestissime, adeoque die quadam, cum collectae sibi morigerorum antistitum syuodo praesidens aliorum adventum usque ad vesperam frustra expectasset, repente concitato impetu aegri animi, magna irae doloriaque significatione exurgens abiit, extremum ad praesentes episcopos prolocutus de caetero se uumquam amplius medium inter ipsos consessurum, quidquid ad se revocandum molireutur; adiecitque, ut quidam audivere, iuramentum vulgaribus hisce conceptum verbis "per quantum servus Christi sum, non ero deinceps vobiscum, ui haec fiant," hoc est uisi Salybriensis puuiatur. dies erat quinta Iulii mensis, eademque feria sexta hebdomadis sive parasceue sabbati, quaudo sic se proripiens e synodo Ioannes patriarcha, inda paululum iu cella commoratus, sub noctem cum familiaribus domo excessit et in Pammacaristi monasterium, ubi solitus erat diversari patriarchio digrediens, migravit, uuo dumtaxat alterove suorum iu patriarchalibus relicto aedibus, qui eas servarent et res patriarchatus procurarent. atque haec quidem ille fecit, haud eo animo ut penitus et irrevocabiliter patriarchatu cederet: sed, prout iam saepius usu venerat, sperans rogatum se iri, et a solicite urgentibus ut redire vel-

τειν, οὕτω καὶ πάλιν ὑπελαμβάνετο. αὐτὸς δὲ μεθ' ἡμέρας καὶ παραίτησιν σχεδιάσας πέμπει πρὸς βασιλέα οὕτως ἔχουσαν ἐπὶ λέξεων.

C 29. "Δέσποτά μου ἅγιε βασιλεῦ, καὶ ὑμεῖς δεσπόται μου ἅγιοι ἀρχιερεῖς, ἐγὼ τὸ πρῶτον ἁμαρτωλὸν εἰδὼς ἐμαυτὸν πάντα ἔπραττον ὑπὲρ τοῦ τῆς ἁμαρτίας ῥυσθῆναί με. μᾶλλον δὲ ἔπραττον μὲν ὀλίγα, τὸ πλέον δ' ἐθάρρουν εἰς τὸ ἀνεξάντλητον πέλαγος τῆς τοῦ θεοῦ φιλανθρωπίας, ὅπερ πλουσίως ἐξέχεέ τε καὶ διηνεκῶς ἐκχέει πρός τε δικαίους καὶ ἁμαρτωλοὺς καὶ πρὸς πᾶσαν τὴν ὑπ' αὐτὸν κτίσιν. καὶ τούτῳ μόνῳ θαρρῶν διήνυον P 236 ἡδέως τὸν ἐμὸν βίον. εἶτα ἀναγκασθεὶς ὅσα οἶδε θεός, κρίμασιν οἷς οἶδεν αὐτός, ἀνήχθην εἰς τὸν πατριαρχικὸν θρόνον. ὑβρίσθην μετὰ ταῦτα ὅσα οἶδε πᾶς ὁ ἐνταῦθα καὶ ἐκτὸς λαός. ἐλυπήθην διὰ ταῦτα πολλά, οὐχὶ διὰ τὴν ἐμὴν ὑπόστασιν, οἶδε θεός, ἀλλὰ διὰ τὸ τῆς ἐκκλησίας ἅπαν πλήρωμα, ἧς Χριστὸς καὶ διὰ τῆς χάριτος ἐκείνου ἐγὼ κεφαλή. εἰδὼς τοίνυν ὡς οὐ τῶν πρεπόντων, οὐ τῶν δικαίων ὄν, οὕτως ὑβρισμένον ἀποφέ- B ρεσθαι πατριάρχου ἀξίωμα, ἀναγκασθεὶς ὤμοσα τὴν αὐτοῦ ἀποβολήν. καὶ ἵστημι τοῦ φυλάξαι τοὺς λόγους μου, καὶ ἀποδίδωμι ἰδοὺ τὰς εὐχάς μου, ἃς διέστειλαν τὰ χείλη μου ἐν τῇ θλίψει μου. παραιτοῦμαι γὰρ τὸν πατριαρχικὸν θρόνον· ὡς ἂν δὲ

let, ubi non alia conditione assensurum se monstraret quam si quae optabat fierent, fore ut voti compos resumeret usum potestatis. in hac tamen simulatione recusandae sedis uno gradu nunc longius quam antea progressus, post dies aliquot abdicationis formulam conscriptam ad imperatorem misit, his plane conceptam verbis.

29. "Domine mi sancte imperator, vosque domini mei ac sancti antistites, ego primum peccatorem me sciens nihil non egi quo liberarem me peccato, aut potius, cum ad hoc multa pro mea imbecillitate egerim, pro rei merito ac difficultate pauca egi. praecipuam vero fiduciam constituens in pelago inexhausto divinae benignitatis, quod liberaliter et effudit hactenus et effundit indesinenter deus in peccatores pariter ac iustos, adeoque in universas indiscriminatim creaturas suas, hac fretus sola vitam suaviter meam exegi. deinde coactus, prout deus novit, iudiciis quae ipse scit, evectus sum in patriarchalem thronum. iniuriis posthaec ac contumeliis sum affectus notis universo, qui intra quique extra urbem est, populo. ex quibus magno dolore sum afflictus, non privatae meae iacturae aut ignominiae causa (deus novit), sed propter damna inde redundantia in universum ecclesiae corpus, cuius primum Christus, deinde per eius gratiam ego caput sum. sciens igitur nec decens nec iustum esse sic deformatam contumeliis circumferre patriarchae dignitatem, coactus iuravi me illam abdicaturum. et praesto sum paratus exequi quod dixi; reddoque en vota mea, quae distinxerunt labia mea in tribulatione mea. abdico enim patriarchalem thronum; et ne praetextum in posterum ullum

καὶ μὴ πρόφασις εἰς τὸ ἑξῆς δόξω σκανδάλου, σὺν αὐτῷ καὶ τὴν ἐμὴν παραιτοῦμαι ἱερωσύνην, τὸ μέγα ὄντως ἐμοὶ χρῆμα καὶ τοῦ παντὸς ἀντάξιον. ταῦτα τίθημι γνώριμα τῇ ἐκ θεοῦ βασιλείᾳ σου καὶ τοῖς δεσπόταις μου τοῖς ἀρχιερεῦσι Χριστοῦ διὰ τῆς παραιτήσεως ταύτης, δι' ἧς καὶ τελείαν νέμω συγχώρησιν τοῖς τε ὑβρίσασι τοῖς τε εἰς τοῦτο συνεργήσασι καὶ τοῖς προαχθεῖσι τούτοις πιστεῦσαι, καὶ ἵλεως αὐτοῖς εἴη διὰ τοῦτο θεός. ἂν δέ τι συμβῇ εἰς τὰ ψυχικὰ καὶ εἰς τὰ σωματικὰ εἰς τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν ἢ εἰς τὸν λαὸν τοῦ θεοῦ, ἀθῷός εἰμι τῇ χάριτι τοῦ Χριστοῦ μου." εἶχε καὶ ὑπογραφὴν τήνδε "Ἰωάννης μοναχὸς ὁ χρηματίσας πατριάρχης Κωνσταντινουπόλεως."

Ταῦτα γράψας τε καὶ ὑπογράψας καὶ τῷ βασιλεῖ ἀποστείλας, καὶ αὐτὰ τὰ τῆς ἀρχιερωσύνης ἀπαμφιασάμενος, ἀφησύχαζε τοῖς ἐγνωσμένοις ἐμμένων. βασιλεὺς δὲ δεξάμενος τὴν παραίτησιν οὐδ' ἤθελεν ἀναπτύσσειν ἐξ εὐλαβείας ἀλλὰ πυρὶ διδόναι, ἐπεὶ καὶ ἄλλοτε ταῦτ' ἔπραττεν. ἐπεὶ δ' ἀναγνωσθέντος τὸν πατριάρχην ἤκουε λέγοντα ὡς ὀμόσοι, ἐν φροντίδι μεγίστῃ ἦν, καὶ ὅ τι περὶ τούτων ἀρχιερεῖς ἀποφήναιντο διεσκόπει. τὸ μὲν οὖν ἅμα δεικνύναι καὶ ἐξετάζειν ἐφιέναι τὰ ἐφεστῶτα τῇ Ῥωμαΐδι κακὰ οὐ παρεῖχεν. ἡμέρας γὰρ ἑκάστης ἠγγέλλοντο τὰ

19. *τὰ* deerat.

praebere videar scandali, meum quoque abdico sacerdotium, magnum mihi re vera et quantivis decus pretii. haec nota facio divinitus electae maiestati tuae et dominis meis episcopis Christi per hanc rite consignatam abdicationis formulam; per quam et plenam impertior veniam tam iis qui me laeserunt, quam qui cooperati eis in me laedendo sunt quique abduci se passi sunt ad his fidem adhibendam. quibus cunctis, opto, propitius condonet hanc culpam deus. unde si quid ex ea perniciem inferens animabus aut corporibus in ecclesiam dei sanctam aut in dei populum evenire contingat, innocens huius ego per Christi mei gratiam sum." hactenus abdicatio; quae et habuit subscriptionem talem "Ioannes monachus, qui eram patriarcha Constantinopolis."

His scriptis et subscriptis atque ad imperatorem missis, ipsis praeterea sponte exutus patriarchatus insignibus, quiescebat in semel decretis perstans. hoc scriptum accipienti imperatori impetum iniecit religio quaedam animi non admittendi nec legendi, sed prout alias in re simili fecerat, inexplicatum igni tradendi. tandem tamen ad id audiendum dum legeretur indoctus, ubi audivit dicentem patriarcham se iurasse, in solicitudine fuit maxima, et rei iudicium permittere sententiis episcoporum cogitabat. sed simul etiam recurrebat animo haud esse nunc tempus opportunum inchoandae rei tantae, malis undique ingentibus in rem Romanam ingruentibus. quorsum enim communicanda episcopis et eorum deliberationibus committenda abdicatione ista novo se ac permolesto intricaret negotio, cum undecumque obrueretur trepidis quotidie nuntiis indicantibus

δεινά, καὶ οὐ καθ᾽ ἕν τι μέρος ἀλλὰ πανταχόθεν καὶ πανταχῇ συρρέοντα, οὐ κατὰ γῆν μόνον ἀλλ᾽ ἤδη καὶ κατὰ θάλασσαν. πρότερον μὲν γὰρ πειραταὶ καταλαβόντες Τένεδον νῆσον ὡς ἰδίαν εἶχον, καὶ ὁρμητηρίῳ ἐχρῶντο, κἀκεῖθεν ἀναπλέοντες καὶ πόλλ᾽ ἄττα τῶν δεινῶν πράττοντες ἐν ταύτῃ καὶ αὖθις προσώκελλον ὑποστρέφοντες. τότε δ᾽ ἀλλ᾽ ἐκείνων καὶ ἑκόντων κατὰ φόβον P 237 ἀπαλλαξάντων, τὸ Περσικὸν ὅσον ἦν ἐνδοτέρω ναυπηγησάμενον ταῖς Κυκλάσιν ἐπέχραον καὶ κακῶς ἐποίουν, καὶ τοῦτο μὲν Χίῳ τοῦτο δὲ Σάμῳ καὶ Καρπάθῳ καὶ αὐτῇ Ῥόδῳ καὶ πολλαῖς σὺν αὐταῖς ἑτέραις οὐκ ὀλίγαις προσβάλλοντες ταῖς ναυσὶ τὰς τέως ἐνῳκισμένας σχεδὸν ἀοικήτους εἰργάζοντο. οὐκ ἦν δ᾽ ὅλως οὐδὲ τοῖς ἐν τῇ γῇ τε καὶ ἠπειρώταις ἀναπνέειν τῶν μόχθων οὐδ᾽ ἐς βραχύ· ὅσον γὰρ ὅσον καὶ δίκην ἀγρίου πυρός, τὰ ἐντὸς κα- B τεβόσκοντο, καὶ καθ᾽ ἡμέραν νέαι δύαι ἠγγέλλοντο καὶ βασιλέα πρὸς ἑαυτὰς ἀντέσπων, καὶ ἀτελεῖς μετήλλαττον τὰς φροντίδας φροντίδες ἕτεραι. τὸ μὲν οὖν τὰ τοῦ πατριάρχου ζητεῖν αὐτόθεν δυσχερὲς ἦν, καὶ ὁ καιρὸς οὐκ ἐνεδίδου· τέως δὲ καιρὸν ἐζήτει τὸν εὔθετον καὶ ἁρμόδιον.

non unam aliquam imperii partem gravissime laborare, sed quantum terrae ac maris ditione amplectebatur, totum uno tempore perire. iam enim continente universa in praedam data, mare ipsum infestari latrociniis coeperat, Tenedo paulo ante a piratis occupata, qui inde erumpentes, et eo tutum receptum habentes, per continuas grassationes nihil securum illo pelago navigantibus et orae undequaque maritimae accolis sinebant. ac quamquam hi latrones deinde veriti ne non satis ad extremum tuta ipsis ea statio foret, inde sponte recesserant, tamen bis modo successerat malum in eodem genere gravius. etenim quantum Persicarum copiarum in interiora terrarum imperii penetraverat, aedificatis armatisque navibus Cyclades insulas incursabant maleque vexabant; et modo Chio, mox Samo et Carpatho, ipsi quinetiam Rhodo, multisque praeter has aliis, cum navibus non paucis infesti appellentes, dudum frequentes incolis insulas iam prope desolarant et inhabitabiles fecerant. nec vero interim a terrestribus latrociniis cessabatur, aut omnino miserrimis continentis incolis quidquam vel brevis interspiramenti laborum et terrorum atrocium concedebatur. sed plane intimum Romaniae, velut sylva concepto penitus incendio, vi flammae indomita continue grassantis absumebatur; novaeque quot diebus calamitates nuntiabantur, curas imperatoris ad se ab omni alio negotio trahentes. unde is cogebatur inchoatas deliberationes de modo avertendi mala gravissima, recentibus urgentiorum cladium atque discriminum consternatus nuntiis, imperfectas omittere, has mox ipsas infectas pari tristiorum solicitudinum avocatione relicturus. hic illi deploratissimus reipublicae status difficilem nunc reddebat inquisitionem de rebus patriarchae; quare tempus ei aptum accommodatumque negotio quaerendum expectandumque iudicabat.

30. Ἐντεῦθεν καὶ τῶν κατὰ θύρας καὶ ἐγγυτέρω ἐπὶ C πλέον κακουμένων (τὰ δ' ἦσαν τὰ ἐκ Νικομηδείας καὶ μέχρι πορθμοῦ Θρᾳκικοῦ) ἐπεὶ οὐκ ἦν μετελθεῖν πολέμῳ τὰς μάχας καὶ τῷ φανερῷ προσβάλλοντας, ἄλλως ἔγνω μεταχειριεῖσθαι τὰ κατὰ τοὺς ἐχθρούς. καὶ τὸν Κουξίμπαξιν Τόχαρον, ὃς Νογᾷ μὲν ᾠκείωτο πάλαι, τὰ Περσῶν δ' ἔσεβε καὶ τῶν περὶ ἐκεῖνον Μάγων τὰ κράτιστα ἦν, ὕστερον δ' ἐκείνου ἀπολωλότος τῷ ἐκεῖθεν πλῷ πρὸς τοὺς κατ' ἀνατολὴν Πέρσας χρώμενος ὅσα γυναικὶ καὶ παισὶν ἐξ ἀντιπνοίας περιπίπτει τοῖς κατὰ τὴν Ποντικὴν Ἡρά- D κλειαν Ῥωμαίοις, καὶ βασιλέα ἐπικαλεσάμενος σώζεταί τε καὶ τὰ Χριστιανῶν αἱρεῖται καὶ πανοικὶ βαπτίζεται, κἀντεῦθεν ᾠκείωτο βασιλεῖ. τότε τοίνυν βασιλεὺς κρυπτόν τι καὶ συνετὸν πειρώμενος ἐννοεῖν, κηδεύειν τοῦτον ἐπὶ θυγατρὶ τὸν Σολυμάμπαξιν ἐγχωρεῖ, ὃς δὴ καὶ τῶν πλησίον ἐχθρῶν ἡγεμόνευε, καὶ μετὰ τοῦ τὸ κῆδος προβῆναι καὶ αὐτὸν ἡγεμόνα τῶν κατὰ τὴν Νικομήδειαν καθιστᾷ, ἐφ' ᾧπερ ἐξ ἀγάπης καὶ συγγενείας ὄνησίς τις τοῖς P 238 Ῥωμαίων πράγμασι γίνοιτο, κἂν οὐδὲν ἐς τόσον ἡ ἐπίνοια ὤνησεν. ὁ μὲν γὰρ τὰς ἐπιγαμίας πρὸς τὸ συμφέρον ἐποίει, καὶ ἐπὶ

8. ὅσα] συνάμα?

30. Quale minime tunc aderat, quando utique cum maxime sitae ad portas et his viciniores urbes ac terrse a Nicomedia usque ad fretum Thracism dirimens barbaricarum incursionum malis intolerabilibus urerentur. his quoniam mederi bello aperto et commissis aequo campo praeliis male psratus a re militari nequiret imperator, aliam inire vism statuit hostes coërcendi, utendo videlicet ad id opera Cuximpsxis Tochari. fuerat hic olim Nogae familiaris, superstitioni tuno Persarum addictus, adeo ut inter principes illic sacrorum magos vel in primis ipse numeraretur. postea Noga extincto, uxore ac filiis in navem impositis, vela inde fecit versus Orientales Persas, sed vento repulsus incidit in manus Romanorum Heracleam Ponticam obtinentium; ubi non frustra implorata imperatoris gratia incolumis liberque servatus sponte Christianam suscepit religionem et cum domo universa baptizatus est, ex quo carus intimusque Augusto coepit esse. cui tota sagacitate mentis intento disquirendis viis levandarum aut minuendarum quae cunctos fere sibi subditos opprimerent cladium, quiddam ad hoc percallidum ac solerter excogitstum fore visum est, uti hoc velut hamu ad unum ex infestatoribus Romaniae bsrbaris aut in partes attrahendum aut certe mitigandum, ut moderstius saeviret. palam igitur permisit, cuius scilicet illi rei clsm auctor fuerat, ut filiam Solymampaxi collocaret, duci exercitus barbarorum viciniae insidentis, ut sic eum necessitudine generi obnoxium Cuximpaxis habens deliniret conciliaretque imperio, cuius ipse partes sequeretur; quod ut constaret msnifestius, eundem affinitate ista iam contracta socerum Solymampsxis regionibus Nicomediae circumsitis vice sua praefecit imperator, sperans Solymampaxim caritste uxoris ac soceri verecundia temperaturum a nocendo, saltem tam inclementer, commendatis tam coniuncti sibi ducis custodiae Romanis. haec Augustus quidem prudenter ita consuluit: caeterum istius

βεβαίαις ταῖς ἐλπίσιν ὥρμει, εἴγε κατὰ συγγένειαν συνεγγίζοντες, ταὐτὸ δὲ τοῦτο καὶ τοῖς τόποις, ὁ μὲν βασιλεῖ δουλεύων προνοοῖτο Ῥωμαίων, ὁ δὲ τὸ κῆδος καὶ τὰς συνθεσίας αἰδούμενος ἀνακόπτοιτο τὰς ὁρμάς. οἱ δέ, ὁ μὲν εἰς εἰρήνην ἐνάγων ὁ δὲ
B σπενδόμενος, ὅμως τὸ τῶν προσχώρων συμφέρον οὐκ ἤνυτον. μᾶλλον μὲν οὖν διὰ ταῦτα αἰτίαν καὶ ἀμφότεροι ἀπηνέγκαντο, ὁ μὲν παρασπονδήσεως τῆς πρὸς βασιλέα, ὁ δὲ δυσνοίας τῆς πρὸς Ῥωμαίους. περιέρχεται γὰρ ἄλλοθεν τὸ κακόν· τὸ δ' ἦν τὸ ἐκ τοῦ Ἀμούρη, ἄλλου Περσῶν στρατηγοῦ, ὃς καὶ καταθέων Μεσοθινίας συχνάκις τὴν Σολυμάμπαξι χάριν ὡς οὐδὲν ὀνοῦσαν
C ἀπήμβλυνε. τὸ γὰρ κατὰ συστάσεις καὶ ἰδίως καθ' ἕνα μάχεσθαι ἐκ τοῦ μὴ ἕνα εἶναι τὸν κυριεύοντα ἦν πάντως. παρ' ἣν αἰτίαν καὶ δυσχερὴς τῷ βασιλεῖ καὶ σχεδὸν ἀδύνατος ἡ τῶν ἐπισυμβαινόντων διόρθωσις ἐνομίζετο, τοῦ μὲν ἔνθεν τοῦ δ' ἐκεῖθεν ὁρμώντων, καὶ κατὰ γνώμας διαφερόντων, καὶ λαὸν ἀγόντων ἑκάστου ἐπὶ τοσοῦτον ἀγόμενον ἐφ' ὅσον καὶ τὸ κερδαίνειν σφίσιν ἐκ τοῦ πολεμεῖν ἔσοιτο, εἰ δὲ μὴ θέλοιεν πολεμεῖν οἱ προ-

providentiae perexiguus aut nullus in rempublicam extitit fructus. etsi enim Solymampaxis matrimonio sibi privatim utili libenter inlto haud invidebat quia in Romanos quoque pars commoditatis aliqua ex eo redondaret, immo etiam inter icenda pacta nuptialia non dubiam spem fecerat volendi, novae necessitudinis occasione, coniuncte deinceps non solum animo sed etiam loci propinquitate cum Cuximpaxi vivere, ac pariter cum eo pro se quoque consulere subditis imperatoris, ut quo tempore socer, ex officio subiectionis palam imperatori iuratae, commissis ab eo sibi Romanis provideret, eodem ipse, memor affinitatis et reveritus conventionem factam, reprimeret impetus barbarorum depraedandae desolandaeque Romaniae imminentium, — etsi haec, inquam, Solymampaxis et ex animo promisisse et bona fide praestare voluisse visus est, tamen is successus fuit, ut apud nihil inde levamenti sentientes Romanos infamia uterque laboraret, socer quidem foedifragae perfidiae erga imperatorem, gener autem mali atque infesti nihilo nunc minus quam antea in Romanos animi. aliunde porro malum oriebatur, ex altero videlicet duce Persarum Amura, qui crebris tunc incursionibus Mesothiniam vastans gratiam Solymampaxis ut ad nihil utilem in animis Romanorum hebetabat. ea quippe conditio tunc rerum erat, ut quisque ducum istorum barbarorum propriis instructi copiis, nec ulli communiter superiori parentes, sua sibi privatim consilia haberent, nec sociorum vel auctoritas vel exemplum quidquam apud quemlibet ipsorum obtineret ponderis. quam ob caussam difficilis ac fere insperabilis imperatori censebatur malorum tunc imperium inundantium, per istam conventionis cum aliquo ex satrapis viam, curatio, utique cum nec comprehendi omnes una confoederatione possent, et uno eorum aut altero cessante alii vel etiam licentius uberiusque praedarentur, uno videlicet hinc, alio inde aemula incessanter rapacitate inhiantibus, consilio usque discordi et parata semper voluntate contraria iis quae duces alii decernerent sequendi. militum autem, qui sub istorum merebant signis, parta usu licentia castrorum mutandorum, cupidissima praedarum aviditas facie-

ἄγοντες, ἑτέρους ζητοῦντα τοὺς ἄξοντας, ὧν καὶ μαχομένων αὐτοὶ κερδαίνοιεν πολεμοῦντες. τοῦτο συμβεβηκὸς καὶ τῷ Σολυ- D μάμπαξι ἀχρείαν ἐποίει Ῥωμαίοις τὴν τῆς ἀνακωχῆς χάριν, τῶν ὑπ' αὐτῷ στρατηγουμένων τέως ἑτέροις συνιόντων, καὶ τὰ αὐτὰ Ῥωμαίους δρώντων ὅσ' ἂν κἂν ὑπ' αὐτῷ τὸ πρὶν ἐστρατήγηντο ἔπραττον. ἀλλὰ τὰ ἐντεῦθεν ἐπισυμβάντα εἰρήσεται κατὰ τόπον ἐσαῦθις.

31. Τότε δὲ βασιλεὺς δεινὸν οἰηθεὶς εἰ καὶ πλέον ἀφέξοιτο P 239 τοῦ τὴν ἐκκλησίαν καθιστᾶν (μηδὲ γὰρ ἐπ' ἀγαθῷ εἶναι τοῖς Ῥωμαίων πράγμασι τὸ μὴ ἐν καταστάσει τὴν ἐκκλησίαν εἶναι), μικρὸν ἀφέμενος τῶν ἔξω φροντίδων ἐδίδου καὶ ταῖς ὑπὲρ τῆς ἐκκλησίας μερίμναις, ἤδη καὶ πάλιν ἀρχομένης κραδαίνεσθαι. καὶ δὴ συνόδους συνῆγε, καὶ ἱερῶν ἀνδρῶν σύνταγμα, ὅσον ἦν ἐξ ἀρχιερέων καὶ ὅσον ἐκ κληρικῶν τε καὶ μοναχῶν, εἰς ταὐτὸν καθίστα, καὶ συνδιημέρευε τούτοις, τὰ περὶ τῆς παραιτήσεως κατὰ κανόνας διερευνώμενος. τότ' ἐφ' ἡμέραις συναγομένων σχίσμα B γεγόνει. καὶ οἱ μὲν πατριάρχῃ προσκείμενοι τὰ τῆς παραιτήσεως οὐκ ἐδέχοντο· ὑβρίσθαι γὰρ ἔλεγον τοῦτον, καὶ ἀνάγκην εἶναι

15. καὶ deerat.

bat ut ab eo satraparum quem quiescere viderent, statim ad alium suos ad rapinas immittentem transirent, securi disciplinae militaris, et unam unice spectantes, quae sola illis erat bellandi ratio, lucri sibi ex rapto conficiendi commoditatem. id quod tunc Solymampaxi contingens, ut nimirum milites eum sui abstinentem iam a rapinis desererent transfugerentque ad Amuram in Romania latrocinantem, obstitit quominus sperato ex eius cum Cuximpaxi societate urgentium malorum laxamento quopiam Romani fruerentur, militibus eius per transitum ad alia infesta Romaniae castra malis iisdem imperii subditos nunc vexantibus, quibus antea eosdem affecerant, cum nondum conciliati Solymampaxis signa sequerentur. sed quae indidem alia oriri deinde mala contigit, suo iterum loco referentur.

31. Caeterum hac qualicumque rebus Romanis ex foedere duorum satraparum remissionis oblata spe, quae quam vana esset, usu posterius apparuit; indutias urgentium curarum nactus interim velut quassdam imperator, grave nec committendum sibi putavit supersedere amplius conatui restituendae tranquillitatis ecclesiae, cuius gliscentes turbationes in reipublicae ipsius ac status politici redundare periculum intelligebat. impendit igitur brevem illam a solicitudinibus imperii requiem in acres curas stabiliendae pacis ecclesiae, quae concuti rursus incipiebat; congregavit synodos, et sacrorum hominum conventum instituit, quantum ad manum fuit episcoporum, quantum clericorum, et monachorum, in unum cogens. cum his totos ipse durabat dies, patientissime disquirens quid iuxta canonas de patriarchae abdicatione statuendum videretur. celebratis per dies aliquot istiusmodi conventibus, scindi qui coiverant coeperunt in duas potissimum sententias. nam qui favebant patriarchae, abdicationem eius haudquaquam admittendam opinabantur, quippe quam dicerent invito extortam, iusta impatientia gravissimae contumeliae; cuius cum reparatio-

μὴ ἐκδικούμενον, ὑβριοπαθήσαντα, ἐκχωρεῖν αἱρεῖσθαι, ὥστε
καὶ τῆς ἐκδικίας κατὰ τρόπον προβάσης αὐτὸν καὶ αὖθις ἐπανή-
κειν καὶ τὴν τιμὴν λαμβάνειν ἕτοιμον γίνεσθαι. ὅρκον δὲ μηδ'
εἶναι τὸ παράπαν, ὃ δὴ καὶ ἀπὸ θλίψεως διεφθέγξατο, ταραχὴν
C δὲ μᾶλλον λογισμῶν ἐκ ζήλου τινὸς ἀνοιδουμένην, ἐξ ὀλίσθου
προαχθεῖσαν γνώμης καὶ οὐκ ἔκ τινος εὐσταθείας καὶ μεμεριμνη-
μένου σκοποῦ τε καὶ καταστάσεως. οἱ δὲ ἀπεναντίας καὶ τὴν
παραίτησιν ὡς λελογισμένην ἐδέχοντο καὶ τὸν λόγον ὡς ὅρκον
ἄφυκτον ἔκρινον· καὶ γὰρ καὶ αὐτὸν δὴ ἐπὶ τῇ τῆς παραιτήσεως
ἐκθέσει ὁμολογεῖν, καὶ εὐχὴν πρὸς θεὸν ὀνομάζειν τὸ προαχθέν,
διεσταλμένην τοῖς αὐτοῦ χείλεσι. καὶ διεφιλονείκουν ἐντεῦθεν,
D οἱ μὲν ἔνθεν οἱ δ' ἐκεῖθεν τὰ τῆς γνώμης ἔχοντες. καὶ οὐ το-
σοῦτον περὶ τῆς παραιτήσεως σφίσιν ὁ λόγος ἦν ὅσον περὶ τοῦ
ὅρκου, εἰ ἔξεστι τέως παριδόντας αὐτὸν ἀναγκάζειν καὶ αὖθις
πατριάρχην τὴν ἀρχὴν δέχεσθαι. καὶ τοῖς μὲν ἀπώμοτον ὅλως
ἐδόκει τὸν ψευδορκίας ἁλόντα πατριάρχην τοὐντεῦθεν καὶ εἶναι
καὶ ὀνομάζεσθαι· οἱ δὲ βίβλους ἀνέπτυσσον καὶ ἱστορίας προέτει-
P 240 νον, καὶ ποῦ μὲν Φλαβιανὸν προσῆγον ὀμόσαντα τὴν χειροτονίαν
μὴ δέχεσθαι καὶ δεξάμενον ὕστερον, ποῦ δὲ τὸν ἐπὶ τοῦ μεγάλου

nem impetrare diu flagitans nequivisset, necessitate adactus quadam ad illud extremum consilium non tam venerit quam vi trusus fuerit renuntiandae dignitatis. quare non videri dubium quin paratus is sit ad resumendam retinendamque patriarchalem potestatem, simnl, qaod iure postnlat, iusta calumniatoris damnatione purgatus rite fuerit macula criminis falso impacti. nec vero quae verba perturbatio ipsi aegrae dolore gravi mentis expressit, pro vera iurisiurandi formnla oportere accipi. prolapsum in haec eum acri animi aerumnae sensu gravissimae aestuantis angore: non autem, ut ad religionem iuramenti rite consciscendam opus fuerat, libero sibi constantis arbitrii iudicio, illa volentem scientemqne protulisse. contraria his erat factio abdicationem nt ratam legitimamque acceptantium, verbaque in ea posita irrevocabilis iuramenti vim certam obtinere indicantinm. nam et ipsum id fateri qni suum optime sensum calluit, in ipsa scripto editae abdicationis formula Ioannem, nominando id votum a se deo factnm quod sua labia distinxerint. atque in hoc isti obnixi stabant, contentione certa non cedere, aliis nihilo remissius repugnantibns. nec spes apparebat finiendae altercationis, quae minus circa abdicationem ipsam quam circa verba illa iuramenti speciem praeferentia exarserat. eoqne res devenerat, ut quaereretnr num etiamsi forte sese ille obstrinxisset qualicumque iuramento, solvi ea religione deberet adigique nihilo secius ad resumendam sedem in quo vehementer adversabantnr qni enm rite ac valide renuntiasse contendebant, nefarium et execrabile censentes, semel periurii compertum, patriarcham deinde et esse et nominari. contra alii libros replicabant veteres, historiasque allegabant. et nunc quidem Flavianum producebant, qui postquam inrasset se ordinationem non accepturum, eam deinde tamen acceperit: mox etiam tempore

Βασιλείου Βιάνορα, θεραπευσάντων τῶν ἁγίων τοὺς ἐκείνων ὅρκους τρόποις οἰκονομίας καὶ πνευματικῆς καταστάσεως. ταῦτ᾽ ἔλεγον διαγνωμονοῦντες, καὶ ἐπὶ τούτοις ὁ χρόνος ἐτρίβετο. μόλις μετὰ τὴν πολλὴν διαφιλονεικίαν καὶ τὴν ὑπὸ βασιλεῖ ἀκροατῇ γε καὶ διαγνώμονι συνδιάσκεψιν, ἐπεὶ οὐκ ἦν συμβαίνειν τὰς B *γνώμας αὐτῶν, εἰς πολὺ τοῦ καιροῦ κατατεινομένου, ἔγνωσαν ἅμα πέμπειν καὶ ἐρωτᾶν ἐκεῖνον αὐτὸν πατριάρχην, ὅπως ἔχοι γνώμης καὶ ὅ τι λέγει ἐπί τε τῇ παραιτήσει καὶ ἐπὶ τῷ φημιζομένῳ ὅρκῳ· τὸ γὰρ εὐλαβὲς καὶ ἁπλοῦν τοῦ ἀνδρὸς ἐχέγγυον εἶχον λέγειν ἐκεῖνον τὰ πάσης ἀποδείξεως κρείττω, ἐφ᾽ οἷς ἄρα διημφισβήτουν ἀλλήλοις. καὶ δὴ ἠξίουν μὲν πατριάρχην Ἀλεξαν-* C *δρείας, ἐκεῖ καὶ αὐτὸν προκαθεζόμενον, τῆς παρ᾽ ἐκεῖνον ἀφίξεως ἕνεκα, συνέπεμπον δέ οἱ τοὺς συνεροῦντας καὶ δύο ἀρχιερεῖς, τόν τε Κρήτης Νικηφόρον καὶ τὸν Περγάμου Ἀρσένιον. οἳ καὶ ἐπιστάντες περὶ τῆς παραιτήσεως καὶ τοῦ λόγου ὡς ἐκ συνόδου πάσης καὶ βασιλέως διεπυνθάνοντο.* (32) *ὁ δὲ τὸν ἀπό-* D *λογον ὅσον ἦν συντεμών, γραφῇ σημήνας ἀπέστειλεν. ἦν δ᾽ ἐπ᾽ αὐτῆς εἰπεῖν τῆς λέξεως ἔχουσα οὕτως. "δέσποτά μου ἅγιε βασιλεῦ, διεμηνύσατό μοι ἡ κραταιὰ καὶ ἁγία βασιλεία σου καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος, μετὰ τοῦ ἁγιωτάτου πάπα καὶ πατριάρ-*

8. *ἐπί τε τῇ*] *ἐπὶ τ᾽ αὐτῇ* P.

magni Basilii paria dictum egisse Bianorem, sanctis videlicet patribus ipsos religione iurisiurandi liberantibus accommodatione quieti tunc rerum opportuna et ipsis inspirata divinitus. talia utrimque irrevocabili pertinacia contendentes allegabant. atque huiusmodi iurgiis tempus absumebatur, quoad vix tandem post multam illam altercationem et indefesse cunctis praesentis cunctaque attente audientis cooperantem, prout poterat, ad aliquid denique decernendum deliberationem imperatoris, cum aliter infinite discordes in unum cogi sententiae nequirent, conventum assensu cunctorum est mitti oportere qui ipsum interrogarent patriarcham, quo animo abdicationem scripserit, quidque mente versaret cum illa iurisiurandi formam praeferentia proferret verba. eam enim constabat inter omnes esse sinceritatem et simplicitatem viri, quae pignoris loco esset idonei haud aliud ipsum de rebus illi uni ex intimae admonitu conscientiae perspectissimis, de quibus nunc disceptaretur, responsurum, quam quod re vera esset. itaque rogarunt patriarcham Alexandrinum, qui et ipse in primis eius consessus subselliis sedebat, adire ad Ioannem ea causa ne gravaretur. addiderunt ei legationis huius socios duos episcopos, Nicephorum Cretensem et Arsenium Pergamenum; qui et profecti ad Ioannem ab eo nomine universae synodi et imperatoris quaesierunt, quid de abdicatione sua deque verborum, quibus iurasse visus esset, vera notione ipse sentiret. (32) ille vero quidquid super his respondendum haberet paucis complexus, scripto consignatum misit hisce ad literam concepto verbis. "domine mi sancte imperator, denuntiavit mihi potens et sancta maiestas tua, nec non divina

χου Ἀλεξανδρείας καὶ μετὰ τῶν δύο ἀρχιερέων, ἵνα παραδηλώσω P 241 τῇ κραταιᾷ καὶ ἁγίᾳ βασιλείᾳ σου ὅπως ἔχω γνώμης περὶ τοῦ συμβάντος εἰς ἐμὲ λόγου, ἔτι δὲ καὶ περὶ τῆς παραιτήσεώς μου. καὶ ἔδει μὴ τὸ παράπαν ἀποκρίνασθαί με, τῆς ἐμῆς παραιτήσεως σαφῶς παριστώσης τὴν ἐμὴν βούλησιν· ἐπεὶ δὲ μόλις νῦν ἐρωτῶμαι, ὡς ἐν βραχεῖ τοῦτο ἀποκρίνομαι πρὸς τὴν ἁγίαν καὶ κραταιὰν βασιλείαν σου, ὅτι ἐγὼ ἐκ πολλῶν ἤδη τῶν χρόνων ἐθέμην ἐν ἐμαυτῷ μήτε ὀμόσαι μήθ' ἕτερον ὅρκον ζητῆσαι, μηδὲ ὕβριν μέμψεως ἀξίαν τοῦ στόματος προενεγκεῖν, ἀλλὰ μηδέ τινι B καταράσασθαι. καὶ ἐφυλασσόμην μέχρι τῆς δεῦρο Χριστοῦ μου χάριτι. πλὴν εἶχον εἰς πληροφορίαν τῶν λόγων μου καὶ παράστασιν ἁπλᾶ καὶ μὴ βλάπτοντα, μηδὲ εἰς ὅρκον λογιζόμενα ταῦτα, νὰ ἔχω τὸ ἔλεος τοῦ θεοῦ, νὰ ἦμαι δοῦλος τοῦ θεοῦ, καὶ νὰ ἀποθάνω ἐν μετανοίᾳ. ὥστε καὶ ἐκεῖνο, ὅπερ ἐφθεγξάμην ἀπὸ παραλυπήσεως τῶν ἀδελφῶν μου, οὐχ ὡς ὅρκον λογιζόμενος εἶπον, ἀλλ' ἁπλῶς ἔχων ἐκ συνηθείας τοῦτο λέγειν. τὸ C δὲ ἦν· νὰ ἦμαι δοῦλος τοῦ θεοῦ, οὐ μὴ εἰ μὴ μεθ' ὑμῶν ὑπάγω δηλονότι τό γε νῦν ἔχον, ἀφίσταμαι ἐξ ὑμῶν. οὐχ ὅρκον δὲ τοῦτο ἐλογιζόμην, μαθὼν καὶ ταῦτα παρὰ τοῦ μεγάλου πατρὸς ἡμῶν Βασιλείου, λέγοντος ἐν τοῖς ἠθικοῖς αὐτοῦ λόγοις ὅτι ἔνθα τὸ νά τίθεμεν, οὐχ ὅρκον παραδηλοῦμεν, ἀλλ' ἔνθα τὸ μά.

13. εἰμὴ P. 17. εἰ μὴ] ἦμαι?

et sacra synodus, per sanctissimum papam et patriarcham Alexandriae, et duos episcopos, ut declararem potenti ac sanctae maiestati tuae quid sentirem de verbis quibusdam, quae mihi proferre contigit, itemque de abdicatione mea. de his opus non erat quidquam omnino responderi a me, cum satis manifeste mentem ac voluntatem meam ipsa exprimat abdicatio. quoniam autem nunc aegre tandem incipio rogari, breviter sanctae ac potenti maiestati tuae hoc respondeo. ego ex multis iam annis constitueram apud me nec iurare ipse nec iusiurandum ab alio exigere, neque contumeliam reprehensione dignam ore proferre, sed et neque cuiquam male precari: et observavi usque in hunc diem Christi mei gratia. idem tamen ad asseverationem dictorum meorum usurpare sum solitus vulgaris consuetudine sermonis, ut simplicia nec cuiquam noxia aut iuramenti vim habentia, verba haec: *per quantum habeo misericordiam dei; per quantum sum servus dei; per quantum velim poenitens mori.* itaque et illud quod ex animi amaritudine ad fratres meos pronuntiavi eiusdem formae, non ut iuramenti vim obtinere reputans dixi, sed simpliciter, prout usu longo loqui assueveram, protuli. id autem fuit: *per quantum servus dei sum, non sum vobiscum. vado videlicet iam nunc et abscedo a vobis.* quod equidem iuramentum esse minime putavi, persuasus in hoc auctoritate magni patris nostri Basilii, dicentis in suis Ethicis sermonibus: *ubi νά ponimus, non iuramentum significamus, sed tantum ubi μά.* quodsi

εἰ δέ τις ἐπιλαμβάνεταί μου τῆς παραιτήσεως ὡς κἀκεῖσε γράψαν-
τος διὰ τὸν ὅρκον ἐξέρχεσθαι, πρῶτον μὲν λογιζέσθω ὅτι ἀπὸ
ἄκρας παραλυπήσεως γέγραπται, ὡς κἀκεῖ παρεδήλωσα. ἄλλως
τε καὶ ἐδόκουν ἀπαλλαγῆναι τῆς ἐκκλησίας εἰρηνικῶς. ἐπεὶ δὲ D
συμβαίνει σκανδαλίζεσθαι τοὺς ἀρχιερεῖς διὰ ταύτην ὡς μὴ κα-
νονικῶς προβεβηκυῖαν, εἰ μὲν ὁμοῦ γένοιντο ἅπαντες τεσσαρά-
κοντα τὸν ἀριθμὸν ὄντες καὶ δέξαιντο τὴν παραίτησίν μου ὅλοι,
εὖ ἂν ἔχοι, κἀγὼ τότε τὸ τυχὸν οὐκ ἐρῶ, ἀλλὰ τῆς ἐκκλησίας
ἐκστήσομαι, καὶ ὄψεται κύριος ἑαυτῷ ποιμένα, κἀμοῦ, εἴγε
βούλοιντο, μετ' αὐτῶν συνδιασκεψαμένου περὶ τοῦ νεύσει θεοῦ
τὴν αὐτοῦ κυβερνήσοντος ἐκκλησίαν. εἰ δ' ἀπολειφθεῖέν τινες E
τῶν ἀρχιερέων, ἄχρι καὶ τριῶν λέγω, μὴ δεχόμενοι τὴν ἐμὴν
παραίτησιν, μηδ' ὡς κανονικῶς προβάσης ἀποδεχόμενοι, κἀγὼ
μετ' αὐτῶν δηλονότι ἔσομαι καὶ τῆς δεδομένης μοι παρὰ τοῦ
πνεύματος τοῦ ἁγίου ἐξουσίας οὐκ ἀποστήσομαι, ἅμα μὲν φει-
δόμενος τῶν ψυχῶν τῶν ἀδίκως καὶ παραλόγως κατειπόντων μου,
ἅμα δὲ καὶ τῶν ἐκκλησιῶν προμηθούμενος, ἵνα μὴ τέλεον ἀπό- P 242
λωνται τῇ τῶν ὑπερμαχούντων τῆς ἀληθείας ἀποχωρήσει. ὅτι
δὲ καὶ ἠδικήθην παρά τε τῆς ἁγίας βασιλείας σου καὶ παρὰ τῶν
ἀρχιερέων, εὔδηλον· ὀκτὼ γὰρ παραδραμόντων μηνῶν ἐν οἷς
ὑβριζόμην, οὐδεμίαν ἐποίησεν ἐκδίκησιν ἡ ἁγία βασιλεία σου

6. μὲν] μὴ P.

quis haec quae nunc dico refellere conetur ex verbis abdicationis meae, in qua clare videor fassus me iurasse, primum quidem reputet in summa me illud ex acris sensu doloris animi perturbatione, prout ibidem iudicavi, scripsisse, praetereaque id posuisse quatenus pacate assentientem nec repugnantem cessioni meae a me deseri putabam ecclesiam. quod quia secus se habere modo intelligo, cum contigerit scandalizari autistites ob meam istam cessionem, quam negant canonice factam, illud declaro. si omnes episcopi numero quadraginta in meae admissionem cessionis consenserint, sit sane illa rata: non repugnabo, nec verbum contra hiscam, sed a clavo ecclesiae absistam, providebitque sibi dominus pastorem; ac me quoque, si voluerint, ipsis cooperante consiliumque conferente, nutu dei deligetur qui eius ecclesiam gubernet. sin autem his repugnaverint aliqui antistitum (etiam, inquam, tres tantum), nec meam acceptare abdicationem voluerint aut ut canonice actam admittere, ego cum ipsis scilicet ero, et data mihi a Spiritu Sancto potestate non decedam, simul quidem parcens animabus eorum qui iniuste et irrationabiliter oblocuti mihi sunt, simul providens ecclesiis, ne funditus pereant pro veritate propugnantium abscessu. passum porro me iniuriam a tua sancta maiestate atque ab episcopis, manifestum est. octo enim iam elapsis mensibus ex quo sum affectus contumelia, nullam de ea vindictam, unde purgatus ego labe videri possem, exegit sancta maiestas tua neque synodus. quantum-

εἰς ἐμέ, οὔτε ἡ σύνοδος. ὅσον δ' ἐντεῦθεν ἐπισυμβῇ τῇ ἐκκλησίᾳ, πάντως οὐκ ἐγὼ τὸν ὑπὲρ τούτου ἀποδώσω λόγον. ταῦτα διὰ τὸ ἀσφαλὲς γεγραφὼς τῇ κραταιᾷ καὶ ἁγίᾳ· βασιλείᾳ σου πέμ- B πω. γένοιτο δὲ αὐτῇ θεοῦ κυβερνωμένῃ χειρί, ὅσον ἀσφαλὲς καὶ ἀτάραχον, τῇ αὐτοῦ πραγματεύσασθαι ἐκκλησίᾳ."

Ταῦτα δεξαμένῳ τὰ γράμματα βασιλεῖ ὑπονοεῖν ἐπῄει ὡς οὐ γνησίας φρενὸς καὶ γνώμης τοῦ πατριάρχου ταῦτα, ἀλλά τινων ἄλλων ὑποβαλλομένων, οἷς ἦν ἀμφισβητεῖν ἀρχιερεῦσιν οὖσιν πρὸς τοὺς κατ' ἐκείνου σπουδάζοντας· ὅμως δὲ καὶ αὖθις ξύναξιν καθιστὰς τῇ συνόδῳ τὰ τῆς ἀπολογίας κοινοῦται, καὶ C ὅτι μεταμέλειν δοκεῖ τῷ παραιτουμένῳ τῆς παραιτήσεως, συνδιασκέπτεσθαι ἀξιοῖ. τότε τοίνυν στερρά τις φιλονεικία καὶ ἑκατέροις τοῖς μέρεσι γίνεται, τῶν μὲν ὑπὲρ ἐκείνου λεγόντων καὶ μᾶλλον ἰσχυριζομένων, ὡς παραλυπήσεως, οὐ προαιρέσεως ἡ παραίτησις, καὶ ὅτι εἰ καὶ ἐπὶ τρισὶν ἀρχιερεῦσι καὶ μόνοις ἵστασθαι βούλεται, τόσων προσκειμένων ἐκείνῳ πολλῷ γε δικαιότερον ἵστασθαι; τῶν δὲ τούτοις ἀνθισταμένων ὅρκον εἶναι διατεινομένων τὸν λόγον, καὶ ὅρκον φρίκης μεστόν, καὶ ἱκανὸν κωλύειν D ἱερωσύνης παραβαινόμενον. οἷς δὴ καὶ ὁ βασιλεὺς ἐπιεικῶς ὁμογνωμονῶν ἦν, τῷ μὲν πλείονι, ὡς ἐῴκει, δι' ἄκραν εὐλά-

6. ἐποίει P.

cumque autem inde in damnum ecclesiae redundaverit, mihi plane non imputabitur, nec a me huius repetetur ratio. haec ad securitatem a me scripta potenti et sanctae maiestati tuae mitto: contingat autem ipsi dei manu gubernatae, quanta opus est securitas et tranquillitas ad consulendum ipsius ecclesiae."

Has accipienti literas imperatori venit in mentem suspicari non haec ex vera sui animi sententia proferre patriarcham, sed deferentem suggestionibus quorumdam aliorum, quibus episcopali dignitate praeditis esset iam commissa contentio adversus eos qui contrariis in illum studiis ferrentur. tamen rursus conventu babito responsum Ioannis communicat synodo; et quoniam videatur qui abdicaverit poenitere abdicationis factae, quid tali casu sit agendum, ut communiter consulant orat. tunc vero exarsit acre, si umquam, certamen, ambabus pro se quaque factionibus obnixe utrimque instantibus, studiosis quidem Ioannis vehementer asseverantibus aegri dolore gravi ac perturbati eius animi, non liberi consilii verique partum arbitrii abdicationem esse. ac cum sit professus cum tribus solis episcopis eius cessionem non admittentibus stare se velle, cum tot eam reiiciant retinereque ipsum mordicus in patriarchato velint, quanto est aequius credere cum his illum stare? contra obtendebant adversarii verba quae protulisse Ioannem constabat, nihil minus quam verissimum idque horroris plenum esse iuramentum, abunde idoneum, vel si aliud deesset, arcendo a sacerdotio qui transgressus id sit. in horum sententiam aliquantum propendere imperator videbatur; cuius rei causa quae maxime se ostentabat, erat quaedam exactior et tutioribus inhaerere semper solita

βειαν τὴν ἐπὶ τὸν ὅρκον, τῷ δ' ἀδήλῳ, οἶμαι, καὶ σκοπὸν ἔχων τοὺς Ἀρσενιάτας, εἰ εἰρηνεύειν δύναιτο, (οὐδὲ γὰρ μικρὸν ὠδύνα τὸν βασιλέα τὸ ἐκείνων σχίσμα, ὡς ἔδειξε) προσλαβέσθαι. ἦ μὴν ἄλλως καὶ δι' Ἀθανάσιον, ἄδηλον ὂν ἐς τότε. τούτων ἐπὶ πολὺ τριβομένων καὶ τῶν ἀρχιερέων μὴ συμβαινόντων ἀλλήλοις μετέωρα τὰ τῆς ἀποφάσεως ἦσαν, καὶ οὐδὲν ἤνυτον συνερχόμενοι. E *διὰ τοῦτο καὶ ἔτι ἐμνημονεύετο μὲν Ἰωάννης, οἱ αὐτοῦ δὲ τὸ πατριαρχεῖον διῴκουν κατέχοντες, καίτοι γε καὶ πρὸ τοῦ ταῦτα κινεῖσθαι πέμποντος μὲν εἰς μονὰς τοῦ ἔτι πατριαρχοῦντος, πέμποντος δὲ καὶ εἰς τὴν αὐτὴν ἐκκλησίαν, καὶ παύειν τὸ ἑαυτοῦ μνημόσυνον ἐπιτρέποντος ὡς δῆθεν παραιτησαμένου καὶ ἀποβεβληκότος τὸν ἱερέα παντάπασιν. ἀλλ' ἐκεῖνοι τὴν ἀπό* P 243 *τε συνόδου καὶ βασιλέως ἀποκατάστασιν ἐκδεχόμενοι κατασιγᾶν οὐδ' ὅλως ἐπείθοντο τὸ Ἰωάννου ὄνομα.*

33. *Τῷ μέντοι γε βασιλεῖ ἔνθεν μὲν ὁρῶντι τὴν ἐπὶ τῷ* B *παραιτεῖσθαι πολλάκις εὐκολίαν τοῦ Ἰωάννου, ἔνθεν δ' αὖθις ὑπονοουμένῳ τὴν τῶν Ἀρσενιατῶν ἐς ἔσχατον ἀντοχήν, ὡς οὐδ' ἂν εἰρηνευσόντων ἄλλως εἰ μή γε καθ' αὐτοὺς τὰ τῆς ἐκκλησίας πράγματα γένοιντο (καὶ γὰρ καὶ τοῦ Ὑακίνθου ἐξ ἀνθρώπων γεγονότος ἐκεῖνοι τῇ τοῦ Μωσελὲ μονῇ προσκαθήμενοι πολλοὺς εἰ-*

religio animi, iurisque iurandi reverentia. forte tamen suberat occultior ratio, spes quaedam ipsi subnata rei dudum exoptatae, revocandi Arseniatas ad pacem occasione mutationis patriarchae, cuius ansam offerri per hoc commodam nec sibi negligendam arbitrabatur. haud parum quippe iampridem cruciabat imperatorem illorum schisma. ostenditque adeo paulo post quam nihil recusare paratus esset, quo eos ad concordiam reduceret. nisi et aliud in id ipsum movens suspicari licet, item arcano menti Augusti obversatum, de Athanasio expatriarcha, cuius restitutionem in thronum an iam tum cogitaverit, in incerto quidem est, non tamen fortasse penitus a coniecturae verisimilitudine abhorret eo iam hinc eum dissimulanter collimasse. utut sit, altercationibus isto modo in longum tractis, et episcopis minime inter sese convenientibus, pendebat in ancipiti negotium abdicationis depositionisve Ioannis, nec multiplicatis quantumlibet coetibus quidquam umquam concludebatur. quare adhuc commemoratio Ioannis fiebat inter sacra. quin et eius familiares in patriarchalibus degentes aedibus res pro eo velut patriarcha administrabant, utcumque prius quam haec moverentur, missis ipse Ioannes per monasteria et in ipsam ecclesiam certis hominibus, permisisset a sui commemoratione cessari, velut qui iam rite abdicasset cessissetque omnino sacerdotio. verum illi, quid synodus et imperator circa hoc statuerent expectantes, haudquaquam sunt persuasi nomen Ioannis reticere.

33. Caeterum imperatori hinc quidem cernenti facilitatem Ioannis in crebras subinde abdicationes prorumpentem, inde autem habenti suspectam inflexibilem ad extremum Arseniatarum pertinaciam, quos appareret nunquam ad pacem adducendos aliter quam ecclesiae regimine penes ipsos posito, siquidem Hyacintho iam mortuo illi monasterium Mosele vocatum

C χον ἐξωτέρω τοὺς σπουδαστάς, καὶ τοὺς αὐτῶν νεκροὺς ἴσα καὶ
ὁμολογητὰς ἐτίμων, καὶ πολλοὺς ἐντεῦθεν ἐπήγοντο), ἔννοιά τις
ἐπῄει, ἤδη καὶ τοῖς λογισμοῖς αὐτοῦ προκαθίσασα, μήπως θεῷ
δοκοῦν τὰ τούτων ὁ δὲ τὰ πόρρω διώκοι, καὶ ὧν ἴσως τελεσθέν-
των οὐδὲν ὀνήϊστον γένοιτο, καὶ διὰ ταῦθ᾽ ὁδηγοῖν τὸ θεῖον
τὴν τοῦ Ἰωάννου πρὸς τὸ πατριαρχεύειν ἐμποιεῖ νάρκην, εὐχε-
D ρῶς παραιτουμένου κἀκ τῆς τυχούσης προφάσεως. τῷ τοι καὶ
γνωσιμαχῶν ὑπὲρ τούτων, καὶ ὅτι ἄλλως ἀνάγκη ἦν καὶ τρίτον
ἐπὶ δυσὶ πατριάρχην ἐπικηρύττεσθαι αὐτοῦ γε παραιτουμένου
ἤδη, καὶ τὸ ἀπρεπὲς δυσωπούμενος, ἔγνω προκαταλαμβάνειν
ἐκείνους, καὶ πέμψας ἐν ἀπορρήτοις τὴν ἐκ Νοστόγγων Ταρχα-
νειώτισσαν ὁμαιμονοῦσαν τῷ Κομνηνῷ Ἰωάννῃ καὶ τὰ ἐκείνων ἐξ
ἀρχῆς φρονοῦσαν ἄγει παρ᾽ ἑαυτῷ, καὶ κοινοῦται ταύτῃ τὸ
E σκέμμα, καὶ πρὸς ἐκείνους διὰ ταύτης πρεσβεύεται, καὶ ζητεῖ
τοὺς ἐκείνων πρώτους, καὶ μάλιστα τοὺς τυφλούς, Λάζαρόν τε
τὸν Γοριανίτην καὶ τὸν Περιστέρην Μακάριον, ἐφ᾽ ᾧ καὶ περὶ
τούτων σφίσι συνδιασκέψασθαι. καὶ δὴ ἐφίσταται μὲν ἡ μονα-
χὴ γραῦς ἀσμένοις τοῖς μοναχοῖς, ἐκλέγονται δὲ παρ᾽ αὐτῶν τοῖς
τυφλοῖς συνάμα οἱ τῶν ἄλλων προέχοντες, καὶ εἰς πέντε ποσω-
P 244 θέντες ἐξαποστέλλονται. ὧν δὴ καὶ τῶν νυκτῶν ἀωρὶ μηδενὸς
ἄλλου συνειδότος προσόδου πρὸς βασιλέα τυγχανόντων, οἱ περὶ

4. δοκοῦντα?

insidentes multos habebant exterius fautores, adeo factionis ipsorum studiosos ut etiam mortuos eorum velut confessores venerarentur multosque ea religione ad istas partes implicarent, quaodam suborta cogitatio est, aut potius intimis eius sensibus tacite dudum insidens per hanc occasionem excitata, an non forte deo probarentur istorum res, et ipse longinqua persequeretur, quibus forsitan perfectis nihil ad summam utile contingeret. et quis sciret ecquid non fortasse divinitus illa satietas patriarchatus et quaedam summi honoris nausea saepe ipsum levi de causa ad tentandam cessionem concitans Ioanni iniiceretur? anceps igitur animi super his aestuansque alternantibus sententiis, cum necessarium esset tertium duobus adhuc viventibus, Athanasio et Ioanni, patriarcham superinducere, quoniam hic illi subrogatus iam rite renuntiasset, reique indecentiam veritus, praeoccupare provocareque ultro ad pacem Arseniatas statuit; arcanoque accita Tarchaniotissa, ex familia Nostongorum, consanguinea Ioannis Comneni, quam mulierem sciebat isti a principio sectae adhaesisse usseque ipsius intima, ei colloquio secreto communicat quid cogitaret, eaque interprete cum primoribus Arseniatarum agit, caecis praecipue duobus, Lazaro Goriauite et Macario Peristera, ut congredi ac deliberare secum de tali negotio vellent. laetum hunc anus monacha gratulantibus monachis attulit nuntium. eliguntur ab his subito praeter ambos caecos alii e sectae principibus, omnesque quinque numero mittuntur; quibus intempesta nocte nemine conscio admissionem ad Augustum nactis,

τούτων κινοῦνται λόγοι· καὶ βασιλεὺς οὐδὲν ἄλλο προυργιαίτερον ἔχων ἢ ὅπως μὲν τὸ ἐπὶ ταῖς πράξεσιν ἀμώμητον σχοῖεν, ἐπί τε χειροτονίᾳ δηλαδὴ πατριάρχου καὶ τοῖς λοιποῖς, ὅπως δὲ καὶ ἀρχιερεῖς περιποιοῖντο ἐν ταῖς τιμαῖς (τὸ γὰρ τοῦ Ἰωσὴφ μνημόσυνον καὶ προπέποτο), πολὺς ἦν ἀξιῶν πρὸς ταῦτα, μή πως, φησί, καταστορεσθέντος μέρους μέρος αὖθις ἀνασοβοῖτο καὶ πάλιν ἀναζῴεν τὰ σκάνδαλα, ἀλλ' ὅλη τις καὶ ἐφ' ὅλοις εἰρήνη B ἐπισχεθείη τοῖς πράγμασι· τοῦτο γάρ, φησί, καὶ τὸ σπουδαζόμενον. οἱ μέντοι γε μοναχοὶ τὰ μὲν περὶ τοῦ γενησομένου πατριάρχου, ὅπως ἂν ψηφισθείη καὶ ὅπως χειροτονοῖτο καὶ τίς οὗτος δὴ καὶ ὁποῖος, τὸν μὲν ἔχειν ἔλεγον καὶ ἐπιεικῶς ἐπὶ τῷ πράγματι ἄξιον, τὴν ψῆφον δ' αὐτοῦ καὶ τὴν χειροτονίαν μὴ πράττειν ὅλως ἀπέλεγον τοὺς ἀρχιερεῖς· μηδὲ γὰρ ὅσιον εἶναι κατασεσεισμένον ἐξ ἀρχῆς ὑποτιθέναι τὸν θέμεθλον. ἀλλ' ἐκείνους C μὲν ἀπρακτεῖν τὸ πάμπαν καὶ ἡσυχάζειν, ἔστ' ἂν καταστάντος

agi de re communi mutuis utrimque sermonibus coeptum est. in hac tractatione antiquissimum illud et ante omnia commendatum imperator obtinens, ut sarta tectaque rerum publice in ecclesia constitutarum auctoritas maneret, ratis videlicet inculpatisque habendis ordinatione patriarchae actisque caeteris, tum nulla movenda episcopis iam electis sacratisque status ipsorum controversia, nec intercedendo quominus iure quam optimo in sua quisque dignitate persisteret (nam de commemoratione Iosephi quae dudum exarserat contentio, iam evanuerat, deglutitusque omnis de illa re scrupulus erat, in haec ut consentirent Arseniatae, multis verbis magnoque studio urgebat, ne si secus fiat, inquiens, pacanda parte una pars rursus altera perturbetur, iterumque repullulent scandala, cum nobis curandum sit ut universalis quaedam et universis aequabiliter superfusa pax cuncta complectatur: hoc enim, aiebat, communia, opinor, nostrum omnium spectant studia. ad ea monachi dixerunt de tribus ante omnia in hoc negotio conveniri oportere, primum de persona promovendi patriarchae, tum de ipsius electoribus, postremo de illo a quo is esset ordinandus. ac virum quidem iis abunde ornatum dotibus et moribus qui requirerentur in patriarcha ad ecclesiam, prout praesens eius status posceret, optime regendam, habere se ad manum, plane honore illo dignissimum: caeterum neutiquam fas esse, neque id umquam se passuros, huius electionem permitti suffragiis episcoporum qui nunc essent, quippe ad unum omnium contaminatorum vel conscientia et participatione scandalorum his retro annis versatorum in ecclesia, vel contagione communionis cum auctoribus aut approbatoribus eorum; a qualibus etiam electi pleriqne ordinatique forent, ideo merito universi a iure suffragii in hac electione removendi. cum enim haec fundamentum negotii totius quod nunc ageretur haud dubie sit, manifeste apparere quam sit necesse dare omnem operam ut ea usquequaque sancta et irreprehensibilis sit, ne si exceptionibus reperiatur obnoxia, caduca et instabilis, utpote in solo mobili fundata, deprehendatur universa structura. quare omnino esse necessarium omnes qui nunc habeantur antistites vacare otiarique, nec eius ullas muneris

πατριάρχου νομίμου τὰ κατ' αὐτοὺς ἐξετάζοιντο, αὐτοὺς δὲ καὶ
οὓς κοινωνοὺς εἶχον ἑτέρους ψηφίζεσθαι· χειροτονεῖν δὲ τὸν τῶν
Μαρμαριτζίων ἐπίσκοπον προσκληθέντα ἐκ δύσεως, ἄνδρα γη-
ραιὸν μὲν ἤδη καὶ τῆς παλαιᾶς ἐκείνης χειροτονίας, οὐδ' ὅλως
δὲ τοῖς μεταξὺ πραχθεῖσι κεκοινωνηκέναι δόξαντα. ὑπέτεινον δὲ
καὶ χρηστὰς ἐλπίδας ἀρχιερεῦσι, λέγοντες μὴ τελέως αὐτῶν ἀφει-
δεῖν ἐς ὃ καὶ ἀργοῖεν, ἀλλὰ κατὰ τὴν τοῦ θείου Ταρασίου πρᾶ-
D ξιν περιποιεῖσθαι, πλὴν ἐκείνων ὅσον ἐκ τοῦ γενησομένου πα-
τριάρχου κανονικὴ ἐξέτασις, ὡς εἰκός, ἀποδοκιμάσειεν. ὡς δὲ
καὶ περὶ τοῦ Μαρμαριτζίων ἐζήτησεν ὁ κρατῶν, καὶ πολλὴν ἐν
πολλοῖς ἀδιαφορίαν τοῦ ἀνδρὸς κατεμάνθανεν, ὅτι τε χρημάτων
ὤνιον τὴν ἱερωσύνην ποιοίη, καὶ ὅτι συνάμα πολλοὺς χειροτονοίη
ἐν μιᾷ ἱερᾷ τελετῇ τῆς αὐτῆς ἐπὶ τῇ ἱερωσύνῃ τάξεως, καὶ ἄλλ'
E ἄττα τῶν ἐκκλησιαστικῶν θεσμῶν ἀπᾴδοντα πράττοι, καὶ μᾶλ-
λον ὅτι ἐκλελοιπότων κατὰ δύσιν καὶ τῶν ἀπὸ τῆς μεγάλης συνό-
δου ἀρχιερέων διὰ τὰ τῶν ἐκκλησιαστικῶν σκανδάλων ἐπάλληλα.
ὡς γοῦν ταῦτ' ἀκούων τοῖς μοναχοῖς προέτεινεν ὁ κρατῶν, τὴν
τοῦ καιροῦ ἐκεῖνοι προβαλλόμενοι δυσκολίαν καὶ τὸ τῶν φυλα-
χθέντων σπάνιον ἐπὶ τοιούτοις καιροῖς, παρέλκειν ἔλεγον ταῦτα

partes attingere, quoad constitutus in throno legitimus canonicusque patriarcha causas eorum cognoscero deque iis pro potestato queat decernere. calculos porro ad huius electionem sese ac cousortes communionis secum ipsis, qui soli nunc ad id sint idonei, daturos. ordinatorem vero sic designati patriarchao putaro so accersendum ex Occiduo tractu quendam episcopum Marmaritziorum, hominem valde senem, et ordinationis antiquioris quam ut infici potuerit labe ulla illaudabilium actorum posterius palam admissorum; a quorum et ipse hactenus participatione omni se purum custodisse videatur. adiungebant autem in delinimentum durae propositionis do suspensione ac redactione in ordinem praesentium episcoporum bonas de ipsis spes, indicantes haud ipsos plane ac in perpetuum exauctorandos, sed iudicio legitimo mox creandi patriarchae, imitaturi scilicet quod olim fecerit divus Tarasius, restituendos in integrum, dummodo tantisper, dum is foret rite in sede constitutus ac canonicam de statu, et rebus ipsorum inquisitionem habuisset, usurpationo dubiae potestatis abstinerent. cum autem do isto Marmaritzionsi gnaros interrogans imperator, valde inemendatam in multis vitam eius esse cognovisset, quippe quem satis constarot pecunia venalo sacerdotium fecisse, praeteroa una sacra functiono multos simul ordinasse eiusdem in sacerdotio ordinis, et alia quaepiam ab ecclesiasticis statutis abhorrentia egisse, ac nec eius ordinatio tam certa quam dicerent videretur, cum in Occiduis, ubi degeret, tractibus a tempore magnae synodi continuam successionem legitimorum episcoporum per subinde illic invalescentia scandala fuisse interruptam recte quis possit opinari, haec, inquam, ex idoneis audita testibus cum proposuisset monachis imperator, illi nihil horum infitiantes tantum obtendebant difficultatem inveniendi puros a labe, quae hoc tempore ecclesiam urgeret, propter quam aequum censerent conniveri ad ista iisque ut venia

ὡς ἄξια συγγινώσκεσθαι· ἐκεῖνον γάρ, κἂν πάντ' ἔχοι τὰ φημιζόμενα, ἀλλ' οὖν τὴν ἐκ παλαιοῦ χειροτονίαν καὶ τὸ μὴ συγκεκοινωνηκέναι P 245 δόξαι τοῖς χθὲς τελεσθεῖσι καὶ πρώην εἰς τὸ τῆς ἐκκλησίας σκάνδαλον ἐς τέλος περιποιεῖν δύνασθαι. ταῦτα λέγοντες δῆλοι ἦσαν ἀκριβείας καθυφεικότες, ἵνα ἄρα τὰ τῆς ἀκριβείας πράττειν ἐβούλοντο. βασιλεὺς δ' ὅμως ἅπαξ διὰ σκοποῦ θέμενος αὐτοὺς προσλαβέσθαι, οὐδὲν ἐφυλοκρίνει πρὸς ταῦτα, ἀπεθάρρει δὲ τὴν ἐγχείρησιν, ἀκριβῶς εἰδώς, ὅπερ καὶ φανερὸν ἦν, ὡς παρ' αὐτοῖς ἂν εἴη καὶ μόνοις καὶ τὸ ἐπίμωμον δοκοῦν ἐξιῶσθαι, ἀκριβείας δόξασιν ἐπειλῆφθαι ὡς καὶ διὰ ταύτην ἀρ- B χῆθεν πιστευομένοις κακοπαθεῖν. τῷ τοι καὶ ὑπὸ πολλῇ πληροφορίᾳ ἐπ' αὐτοῖς τὸ πᾶν ἐτίθει, καὶ δῆλος ἦν ἐκείνοις προσέξων ὅ τι καὶ πράττοιεν. γράμμασί τε τὰ συντεθειμένα ἠσφαλίζοντο. καὶ μόνον ἦν τὸ ἀρχιερεῖς ὁμοφωνεῖν ἐπὶ τῇ τῆς παραιτήσεως τοῦ Ἰωάννου παραδοχῇ, εἰ δ' οὖν ἀλλ' ὅρκον τὸ λεχθὲν τιθεμένους ἀποπροσποιεῖσθαι τὴν ἐκείνου ποιμαντικήν, κἂν αὐτὸς ἀνακαλῆται ἱερωσύνην ἐκ μεταγνώσεως. οἱ μὲν οὖν συναγόμενοι ἐφ' ἡμέ- C ραις ἁπάσαις διημφισβήτουν ἀλλήλοις καὶ ἀμφεγνωμόνουν περὶ

2. τῷ P.

dignis ignosci, quoniam hic vir, utcumque compertus istorum omnium illaudabiliter actorum, tamen unus ex antiqua illa et scandalis anteriori ordinatione superesset, idemque se immunem a communione recens ordinatorum maculaeque plerosque inficientis contagione, custodisse putaretur. haec illi dicentes manifeste deprehendebantur ultro deficere ab exactione, ut quam affectabant exactionem assequerentur. porro imperator, qui semel obfirmasset animum in proposito ipsos quomodocumque reducendi, nihil super his inquirere scrupulosius curavit, sed fidentem et securum examinis ulterioris animum ad rei protinus aggrediendae conatum expedivit, ratus, id quod palam erat, fore ut si quid in his reprehensibile videretur, eius tota cura et officium purgandi approbandique solis Arsenianis iudicaretur incumbere, quorum utique ex sententia cuncta haec fierent, hominum alioqui adeo tenacium exactionis severissimae, ut non alia de causa quam ne a summo disciplinae rigore se vel tantulum remitterent, multa graviaque iam a sectae principio fuisse perpessi crederentur et credi vellent. quare multa fiducia totum negotium eorum arbitrio permisit, prae se plane ferens approbaturum adiuturumque quidquid agerent; in quae pacta fides utrimque firmata scriptis est. restabat solum ut locus novae promotioni patriarchae fieret legitima depositione eius qui nomen nunc illud ferret. ad quod opus erat convenire antistites in valida agnoscenda admittendaque Ioannis abdicatione, vel statuendo iurisiurandi revera vim habere quae ab eo prolata fuisse verba constaret, declarare illum hoc ipso vere riteque a se reiecisse pastoralem auctoritatem, utcumque nunc illa sero poenitens revocare depositum sacerdotium resumereque frustra conaretur. circa haec congregati diebus singulis disceptabant antistites inter sese. plerique ii-

τοῦ Ἰωάννου. οἱ πλείους δὲ καὶ περιφανέστεροι, ὅρκον τιθέμενοι τὸ λεχθέν, παραιτήσεως μὲν ἐκείνης ἠλόγουν πάμπαν, κἂν ἐμμένῃ ταύτῃ κἂν μὴ ἐκθέμενος, μὴ δυνατὸν δ' εἶναι αὐτὸν ἱερᾶσθαι τὸ ἀπὸ τοῦδε, μὴ δόντος δηλαδὴ τὰς δίκας τοῦ Σηλυβρίας τῆς εἰς αὐτὸν ὕβρεως· μηδὲ γὰρ δυνατὸν εἶναι δίκας ὑπέχειν τὸν μὴ τρόπον κατηγόρου σταθέντα μηδὲ προδήλως ὑβρίD σαντα. ὁ μέντοι γε Φιλαδελφείας Θεόληπτος πρὸς τὴν τοῦ Ἐφέσου Ἰωάννου κατάστασιν συνόδῳ πάσῃ διαμφισβητῶν, τὸ ἐκποδὼν γενέσθαι τὸν πατριάρχην ὁμογνωμονοῦντά οἱ περὶ τούτου τῆς οἰκείας γνώμης κατάλυσιν τὸ σύμπαν οἰόμενος, ἀπρὶξ τε εἴχετο τούτου, καὶ τῷ Σηλυβρίας ἐτίθει δικαίας τὰς δίκας τῆς καθαιρέσεως, δι' ἃς ἀπρακτεῖν καὶ τὸ δοκοῦν εἰς ὅρκον ἐξ ἀναγκαίων ᾤετο. ἀντέλεγον δὲ πλεῖστοι, καὶ μάλιστα ταύτης γε καὶ E αὐτοὶ τῆς αἰτίας ἕνεκα, σὺν οἷς καὶ βασιλεὺς ὅρκον ἔκρινε μέγιστον τὸ λεχθέν. πλὴν δ' ἀλλ' εἰ βούλοιτο, φησί, πατριάρχης ἀναλαμβάνειν καὶ οὕτως τὸν θρόνον καὶ τὴν τιμήν, ἕτοιμος εἶ-

9. ἐμποδὼν P.

demque illustriores horum, persuasi verba quae Ioannes dixisset veram iuramenti obtinere vim, minime babendam ducebant rationem abdicationis, quae ab illo scripta monstraretur, sive in ea permaneret sive non, qui scripserat. fieri autem non posse contendebant ut is post hoc dictum rite fungeretur sacerdotio, nisi positione conditionis sub qua iurasset, religione iurisiurandi solveretur: non enim eierasse absolute sacerdotium, sed quoad poenas Selybriensis daret irrogatae ipsi contumeliae. itaque punito iuxta eius votum Selybriensi, nihil obstiturum quominus Ioannes legitime in throno persisteret. verum conditionem istam poni haudquaquam posse, adiiciebant iidem, quoniam iustum non esset Selybriensem, qui non palam se auctorem accusationis ostendisset, sed sub fide arcani rem ab alio auditam communicasset, poenis calumniatori debitis subiici. at Philadelphiensis Theoleptus, qui circa restitutionem Ioannis Ephesini synodo universae refragabatur, videns, si removeretur a regimine patriarcha in hoc sibi contra iudicium aliorum assentiens, unicum quo niteretur subtrahendum suae sententiae tibicinem, unde illam haud dubie contrariis tot aliorum auctoritatibus succubituram, fixus irrevocabiliter perstabat in non permittenda exanctoratione Ioannis, viam eandem a plerisque gravioribus initam tenens de iurisiurandi vinculo vere ipsi, sed sub conditione dumtaxat innexo. caeterum aiebat positu facilem et salva iustitia executioni mandabilem istam conditionem esse. adeoque magnopere urgebat ut Selybriensis propter temere vulgatum de patriarcha falsum crimen episcopatu amoveretur, ac sic voti compos et nodo susceptae religionis liber Ioannes throno patriarchali redderetur. huic plerique repugnabant, maxime nitentes ea quam indicavi ducta ex iniustitia talis damnationis ratione. quibus se adiungebat imperator, veri iuramenti, et quidem maximi, in verbis Ioannis vim haud dubie agnoscendam censens, nec modum ea defungendi per iniquam Selybriensis oppressionem probans. addebat idem tamen, si vel sic patriarcha vellet thronum et honorem resumere, paratum se esse

ναι καὶ πάλιν ἐκεῖνον δέχεσθαι, πιστεύων, οἶμαι, τῷ τέλει, ὡς οὐδὲν ἂν καταδεξομένου τοῦ γέροντος ἀντέχεσθαι μωμητῶς οὕπερ προθύμως ἐξίστατο.

34. Ἀλλ' ἐν τούτοις τῶν πραγμάτων ὄντων (θεὸς δ' εἰδείη P 246 πῶς ταῦτα καὶ πέπρακτο) μοναχός τις τῶν εὐλαβῶν δοκούντων καὶ ἐλλογίμων, Μηνᾶς τοὔνομα, Σκωλήκης τοὐπίκλην, γνώριμος μὲν ἐκκλησίᾳ γνώριμος δέ γε καὶ βασιλεῖ, προσόδους εἰς Ἀθανάσιον τὸν πάλαι πατριαρχεύσαντα ἐκ συνηθείας ποιούμενος, οὗτος, ὡς βασιλεὺς ἔλεγε καὶ πάντες ὡς εἰκὸς ἐπίστευον, μηνὸς Ἑκατομβαιῶνος πεντεκαιδεκάτῃ, ἡμέρας ληγούσης προσελθὼν B βασιλεῖ τοὺς ἐπὶ τῶν ἀγγελιῶν ἠξίου ἀναφέρειν περὶ αὐτοῦ ὡς ἐρεῖν τι ἔχοντος ἀναγκαῖον. καὶ οἱ μὲν ἀνέφερον, βασιλεὺς δὲ σχολάζων ἐπ' ἀναγκαίοις τότε μὲν ὑπερετίθετο τὴν εἰσαγωγήν, πέμπων δὲ προσέταττε μένειν ἐφ' ᾧπερ κατὰ σχολὴν εἰσαχθείη. P 247 καὶ ὃς ἔξω μένων, ὡς ἤδη νὺξ ἦν καὶ περιαργῶν καθῆστο, μηνύει καὶ πάλιν καὶ τὴν εἰσέλευσιν ἐπισπεύδει. ὡς δὲ καὶ αὖθις ὑπερετίθετο βασιλεὺς καὶ μετὰ μικρὸν εἰσιέναι κελεύσοντος ὑπισχνεῖτο, ἐκεῖνος "καὶ τί γε" μηνίων φησὶν "ἀνύσομεν διερχομένης τῆς ὥρας, ἀναγκαῖον ὂν λέγειν περὶ ὧν ἀφίγμεθα, πρὶν καὶ ὀψὲ γενέσθαι νυκτός." ταῦτ' εἰπὼν ἔπειθεν ἐκ τοῦ παραχρῆμα, δόξαν τῷ βασιλεῖ αὐτόθεν καινόν τι ἀκούειν καὶ σπου-

rursus admittere, confidens, opinor, nihil ad extremum ex hac professione sua contra spem suam secuturum: neque enim adductum iri senem ad recipiendam probrose dignitatem, a qua tam prompte obfirmateque recessisset.

34. Sed cum hoc statu res essent, contigit (noverit autem deus casune an arte contigerit) ut monachus quidam ex celebribus fama religionis et dotium praestantium, nomine Menas, cognomento Scoleces, de quo et ecclesiae et imperatori notum erat solere illum ex longo subinde adire ac visere Athanasium expatriarcham, contigit, inquam, ut hic (prout quidem imperator referebat, cui omnes, ut par erat, talia narranti credidere) mensis Ianuarii die quinta decima sub solis occasum ad imperatorem accedens admissionales rogaret ut se ad principem introducerent, habentem aliquid scitu ipsi necessarium nuntiandum. id illi ad imperatorem detulerunt, qui tunc occupatus negotiis urgentibus admissionem monachi distulit, misso tamen ad eum qui iuberet expectare, quosd expeditis quae instarent, audiendo ei per otium vacaret. Menas postquam extra velum opperiens diu inde feriatus consederat, compellatis rursum ministris, ut quamprimum admitteretur, institit. verum Augusto de hoc iterum admonito, perstante nihilo minus in coeptis, et tantum pollicente brevi se illum vocaturum, ad ea impatiens morae monachus "at quid" inquit "proderit me paulo post vocari, quando scilicet nuntiandi utiliter quod novum et urgens affero, tempus effluxerit?" hoc eius dictum statim imperatori renuntiatum curam scilicet admovit acrem cognoscendi continuo quod inopinatum et momenti non vulgaris ad se deferri appareret. ergo is confe-

B δῆς ἄξιον. καὶ εἰσαχθεὶς μόνος μόνῳ τῷ βασιλεῖ "δέσποτά
μου" ἔφη "καὶ βασιλεῦ, ἐμοὶ μὲν σύνηθες πρὸς τὸν κύριον Ἀθα-
νάσιον ἐκ διαλειμμάτων τινῶν καιριακῶν παραγίνεσθαι. καὶ δὴ
καὶ παραγεγονὼς τὴν σήμερον κατηφείας εὗρον τὸν ἄνδρα μεστὸν
καὶ πλήρη συννοίας ὅσον εἰκάσαι. ὅθεν καὶ πρός με λέγων τὸ
ποιοῦν τὴν κατήφειαν ἐκ θάρρους οὗ πρὸς ἐκεῖνον ἔχω, ὀργήν
φησι θείαν ἐφειμένην τοῖς ἐνθάδε κατανοῶ· καὶ αἴθ' εἴ τις ἴοι
καὶ βασιλεῖ ἀγγείλειε τὴν ἐμὴν συμβουλήν, μοναῖς ἁπάσαις
C προστάξαι, πλὴν ἐκ τῆς σήμερον, παννύχους τοὺς ἐν αὐταῖς καὶ
ἐκτενεῖς ἱκετείας ἐπιτελεῖν, λέγοντας καὶ αὐτὴν τὴν ἐκτενῆ δέη-
σιν, ὑπὲρ τοῦ διαφυλαχθῆναι πᾶσαν πόλιν καὶ χώραν ἀπὸ λι-
μοῦ λοιμοῦ σεισμοῦ καταποντισμοῦ, καὶ ταῦτα πράττειν καὶ
τὴν σήμερον καὶ τὴν αὔριον καὶ τὴν μετ' ἐκείνην, καὶ ἐς ἀεὶ σχε-
δὸν ἐξιλεουμένους τὸ θεῖον διὰ τῆς συνεχοῦς παρακλήσεως. οὕτω
γάρ, οἶμαι, καὶ θεὸς ἀνεὶς τὴν ὀργὴν εὐμενὴς ἡμῖν γένοιτο.
D ταῦτ' ἀκούσας ἐγὼ ἐλθὼν τῷ Ἡρακλείας μητροπολίτῃ τὸν λόγον
ἐκοινωσάμην, καὶ ὃς παρευθὺς ἐπείγει μοι τὴν πρὸς τὴν βασι-
λείαν σου ἄφιξιν ἐφ' ᾧπερ ἀνενεγκεῖν ὅσον παρὰ τοῦ ἀνδρὸς
ἤκουσα. πάρειμι τοίνυν καὶ λέγω, καὶ ὡς δόξει τῇ ἐκ θεοῦ βα-
σιλείᾳ σου, κελευέτω τε καὶ πραττέτω. πλὴν εἰ ἐν φροντίδι
ποιεῖς τὸν λόγον τῇ προσηκούσῃ, αὐτόθεν ἄρχεσθαι τὸ ἔργον κέ-

stim introductus soli solus Augusto hanc orationem habuit. "domine mi imperator, mihi consuetum est ad dominum Athanasium certis temporum intervallis itare visendi causa. eo more ad hunc hodie profectus moestum et cogitabundum praeter solitum, ac quantum apparebat, gravi solicitudine anxium illum reperi. unde pro usu familiaritatis et fiducia quae mihi cum eo est, tristitiae causam percontatus, haec ab eo audivi: iram dei urbi huic ac populo imminere proximam video. atque utinam iret quispiam, nuntiaretque meum consilium Augusto, censere me scilicet necessarium factu mitti ab eo confestim, ex hac, inquam, ipsa die, per cuncta monasteria qui iubeant pervigilari totas in iis noctes a sodalibus illorum, supplicationesque continuas fieri, hac expresse de causa ut dignetur deus universam hanc urbem et regionem praeservare a fame, peste, terrae motu, submersione; idque sedulo agere hodie cras et perendie, contineuter, quantum fieri poterit, toto illo spatio per nunquam intermissam divinae opis implorationem instando ad placandum dei numen. si hoc enim ageretur haud segniter, sperarem equidem fore ut deus, ira remissa, propitius nobis fieret. his ego auditis raptim accurrens ad Heracleensem metropolitam rem ei communicavi. qua ille cognita vehementer statim ursit meum ad tuam maiestatem accessum, ut ad eam deferrem quantum a tali viro audivi. adsum igitur et defero. imperet de caetero ac faciat tua divinitus electa maiestas, prout ipsi videbitur. unum admoneo: si quantum huius indicii momentum est, tantum ei curae dignaris impendere, iube iam ex hac ipsa protinus nocte supplicationum initium duci, prout, qui

λευε γίνεσθαι κατὰ τὴν τοῦ εἰπόντος παραγγελίαν. κἀμοὶ γὰρ προσέταττε θεοῦ δέεσθαι, καὶ ἄλλους εἰς τοῦτο παρακαλεῖν εὐλα- E βεῖς ἄνδρας, ὅσους ἂν καὶ συνήθεις εἰδείην." δέχεται τὸν λόγον ἀσμένως ὁ βασιλεύς. καὶ ὁ μὲν μοναχὸς εἰπὼν ἀπηλλάττετο, βασιλεὺς δ' εἰς νοῦν στρέφων τὸ ἀγγελθέν, καὶ περὶ τῶν φρικωδῶν ἀπειλῶν τοῦ θεοῦ ἐννοούμενος ὧν ῥυσθῆναι κατὰ τὸ σύνηθες λέγοντας προσέταττεν ὁ εἰπὼν θεοῦ δέεσθαι, λιμὸν μὲν καὶ λοιμὸν ὡς ἐν χρόνῳ καὶ διὰ μακροῦ ξυμβαίνοντας τῆς φροντίδος ἐξῆρε (μηδὲ γὰρ ἐν τρισὶν ἡμέραις ταῦτ' ἐνσκῆψαι οἷά τ' εἶναι), P 248 σεισμοῦ δὲ καὶ καταποντισμοῦ ἀναλαμβάνων ἔννοιαν δι' ἐννοίας εἶχε τὸν λόγον. ὑπώπτευε δὲ καὶ τὸ τοῦ μοναχοῦ μήνυμα, τὴν τοῦ καιροῦ αἰτιωμένου παραδρομήν, ὡς μηδὲ οἷόν τ' ἐσομένου, ὡς ἔλεγεν, ἐντεῦθεν ἀνύσαι, μή πως ἐκεῖνος εἰδώς τι τῶν ἤδη γενησομένων ἔλεγε. καὶ ταῦτα μὲν βασιλεύς· ἐβούλετο δ', οἶμαι, ὁ λόγος καὶ ἄλλο τι δηλοῦν, τὸ κατὰ καιρὸν δηλαδὴ τὰς ἀποστολὰς εἰς τὰς μονὰς γίνεσθαι, καὶ μὴ ἐξώρους ἐς ἅπαν ὀψὲ B τῶν νυκτῶν τῶν ἀποστόλων ἐφισταμένων. τέως δ' ὅμως ὑπέκνιζε τὸν κρατοῦντα καὶ ἄλλο τι βαθύτερον ἐννοούμενον, ὡς αὐτὸς δημηγορῶν ὕστερον ἔλεγε. καὶ τῷ μὲν λογοθέτῃ προστάσσει τῶν γενικῶν πέμπειν ἐπὶ μονὰς τοὺς ἐροῦντας τὴν τοῦ βασι-

12. οἷον?

praenuntiavit malum ingruens, praescripsit. me quidem privatim sine statim quod is praecepit facere: imperavit enim mihi ut orarem ism hine deum et alios, quotquot nossem id facere libenter, pios viros ad id ipsum invitarem." excepit hunc sermonem placide et vultu benigno imperator. ac monachus quidem eius auctor continuo abiit: imperator mente versans quod audierat, et singillatim reputans minas intentatas, circa pestem quidem ac famem, quae, ut tunc res erant, nonnisi post spatium aliquod temporis, minime autem hoc triduo existere posse viderentur, solicitudinem remisit, terrae motus et submersio, quae possent confestim ingruere, curam illi acrem iniecere. augebat suspicacem metum denuntiatio monachi, dum tam instanter increpaverat moras praecautionis necessariae avertendo malo, tamquam imminenti proxime, ac timere prae se tulerat ne nimis iam sero supplicatio inchoaretur. ob quod solicitudo Augustum inquietabat, verentem ne forte sciret aliquid ille distinctius de instante momento mox saeviturae cladis; unde tam anxia festinatione cum ipse ad preces recurrere occupasset, tum idem ab aliis ut fieri iuberet Augusto suasisset. talia se agitasse animo referebat imperator, aliud, opinor, innuens quippiam, nempe primum propendisse se ad differendam in tempus opportunius quam quale tunc erat, noctis intempestae, missionem ministrorum circum monasteria ad preces indicendas, quod subabsurdum videretur tali hora suos aliosque inquietare. ad hunc tamen respectum vincendum illum denique perpulit cura intime vellicans acrior, prout ipse postea in concione dixit. quare logothetae genicorum confestim mandavit destinare sine mora certos ad quaeque urbis monasteria, qui vigilias ubique ac preces

λέως πρόσταξιν, ἐφ' ᾧπερ αὐτόθεν παννύχους ἱκεσίας ποιεῖν.
C τὸ μέντοι γε καὶ τὴν ἐκτενῆ ὅπως ποιοῖεν, καὶ τί λέγοιεν ἂν προ-
δηλοῦν, πρῶτον μὲν περιττὸν οἷον κρίνων ἠφίει· εὐθὺς δ' ἐκ
μεταμελείας τὸν λογοθέτην ἀνακαλούμενος, ὡς καὶ αὐτὸς δημη-
γορῶν ἔλεγε, παράγων κἀκεῖνον ἐπὶ τούτοις μάρτυρα, καὶ τοῦτο
προσέτασσε παραγγέλλειν τοῖς πεμπομένοις παραδηλοῦν τοῖς μο-
ναχοῖς. αὐτὸς δὲ διανυκτερεύων καὶ γρηγορῶν, εἰωθὸς ὂν ἐκεί-
νῳ τὸ ταῦτα ποιεῖν, ὅμως καὶ ἐν ἐννοίᾳ σεισμοῦ ἦν, ὡς ἔλεγεν.
D ὡς δὲ χρόνος παρῆλθε καὶ αὐτὸς πρὸς τὴν ἰδίαν μητέρα τὴν
πρόσοδον ποιεῖν κατὰ τὸ σύνηθες ἔμελλεν, ἐπισημαίνει παρα-
χρῆμα, ὡς ἐκεῖνον καὶ γνῶναι καὶ λέγειν, σεισμὸς μαλακός,
ἐπὶ τοσοῦτον δῆλος ὥστε καὶ γνωσθῆναι μόλις τῷ γρηγοροῦντι.
ἦν οὖν τοῦτο τῷ βασιλεῖ εἰς δόξαν ἀληθείας τῶν λεχθέντων
προοίμιον· ὅμως ἐχεμυθῶν, ὡς ἔλεγε, καὶ πλέον τι τοῦ συμ-
E βάντος παρετήρει καὶ ὑπεσκέπτετο. νὺξ μὲν οὖν ἐκείνη παρῴ-
χετο, καὶ ἡ μετ' αὐτὴν αὖθις, καὶ τῇ ἑπτακαιδεκάτῃ πρωΐας
σεισμὸς προσήραξε κραταιότερος, οὐ μὴν δὲ ὥστε καί τι τῶν ἐς
κίνδυνον ἐκ τούτου γενέσθαι. καὶ εὐθὺς ὁ βασιλεὺς ἐν πληρο-
φορίᾳ ὦρμα γενέσθαι τοῦ ἐκεῖνα λέγοντος, καὶ καθεκτὸς οὐκ ἦν
θαύματος καὶ ἐπαίνου ἐκεῖνον τιθέμενος, κἂν τέως τοὔνομα
ὑπεκρύπτετο.

noctibus aequandas auctoritate imperatoris indicerent. in quo ipso se aliud quoque dubitasse significavit, nimirum an prima illa supplicationum praescriptione causam nominatim exprimeret ob quam orari vellet. ac primo quidem istud iudicans superfluum omiserat: mox tamen poenitens, ut concionando est fassus, revocato logothetae (cuius rei testem ipsum citabat) imperavit ut et causam adiungeret, edicens singulorum coenobiorum sodalibus, quorum malorum liberationem a deo exposci oporteret. hoc dimisso imperator ipse in vigilia pernoctans, quod erat et alias solitus facere, potissimum in imagine terrae motus intentati mentem habuit defixam, quemadmodum referebat postea; qoond nocte transacta cum hora illuxisset qua consueverat matrem adire salutationis matutinae gratia, dum ad id se accingit, terra motu concussa, ut dicebat, est, adeo leni ut vix sensibilis vigilanti esset; quod quasi pignus veritatis denuntiati mali atque adeo eius prooemium imperatori fuit. pressisse tamen se id silentio aiebat; et tacita suspensione solicitae mentis expectasse maius quidpiam ex isto initio. nox igitur illa sic abiit, et inde alia consequens. ac tandem die septima decima mane terrae motus erupit vehementior, non tamen ut usque in periculum ruinae ac noxae invalesceret. eo statim experimento convictum se aiebat imperator plane iam sine dubitatione incubuisse ad credendum divina utique praedoctum illustratione fuisse illum qui talia denuntiasset; quem propterea valde laudabat, sese prae admiratione non continens, quamquam eius hactenus ista narrando nomen reticeret.

35. *Διαλαλεῖται τοίνυν πρωΐας πᾶς ἀνὴρ ἱερός, ἀρχιε-* P 249 *ρεὺς καὶ κλῆρος καὶ μοναχῶν οἱ κράτιστοι, καὶ εἰς κοινὴν ὁ κρατῶν τὸν λόγον τιθεὶς μετ' ἐπιμελείας πάσης διεπυνθάνετο τί ἂν καὶ δοκοίη τούτοις ὁ μοναχὸς (οὔπω γὰρ ἔλεγε τοὔνομα) ὃς περὶ τοιούτων φθάσας ἐδήλωσεν, οὕτω πως διαμηνυσάμενος. καὶ τοῖς μὲν οὕτως τοῖς δ' ἐκείνως, ἐπεὶ οὐκ ἦν εἰδέναι τὸ πρόσωπον, ἐδόκει τὰ περὶ τούτων ξυμβῆναι. πλὴν ὅ τι τις εἴποι,* B *οὔπω γε ἔλεγε, καὶ διηπίστει ἑαυτῷ λέγοντι, μὴ ἔχων ὅπῃ στῇ καὶ ἀπερείσεται πρὸς ἀλήθειαν. οἱ μὲν γὰρ μοναχὸν τῷ τέως τὸν εἰπόντα μανθάνοντες θείαν τὸ πρᾶγμα πρόῤῥησιν ὡμολόγουν, εἰ τέως προδήλως καὶ ὡς ἠκούετο εἴπειεν· εἰ γάρ τινα τῶν τῆς σαρκὸς δεσμίων τὸ θεῖον χαρισμάτων ἀξιοῦν βούλοιτο, μοναχὸν ὑπὲρ ἄλλους ἂν ἀξιῶσαι. οἱ δὲ καὶ ἐναντίου πνεύματος* C *ἀπεκάλουν ἐνέργημα, κλέπτοντος τὴν τοῦ θεοῦ δόξαν ἐκ τοῦ τὰ τῷ θεῷ πρέποντα προαρπάζειν, ὡς τὸν μέγαν λέγειν Ἀντώνιον. τοῖς δὲ καὶ ἐγχωροῦν εἶναι ἔκ τινων μαθημάτων εἰδέναι τὰ τοιαῦτα ὑπελαμβάνετο. πάντες δὲ ὡς ἐπ' ἀσφαλεῖ θεμελίῳ τῷ τοῦ ἀνδρὸς προσώπῳ ἤθελον ἐποικοδομεῖν τὴν διάγνωσιν, ὡς αὐτοῦ γε ἀδήλου ὄντος ἁπάσας ὑπονοίας ἁρμόζειν. πλὴν τὸ μὲν κήδε'*

35. Postridie mane convocatis imperator sacris hominibns cunctis, episcopis, clero, monachorum praecipnis, in communem audientiam, ubi quae sibi contigerant narrasset, instanter exquirebat ab unoquoque qualis ipsi esse videretur ille monachus (nondum enim prodebat nomen) qui haec antequam fierent et praevidisset et sic denuntiasset? ad eam propositionem varius erat eorum qui consulebantur aeusus, ita tamen ut nemo facile aut sententiam figeret aut responsum expediret, diffidentibus sibi singulis, nec ubi pedem certi iudicii solida in veritate ponerent reperientibus, quoad ignorarent vatis nomen, cuius personae ac morum praeviam notitiam ad prudenter statuendum de qualitate vaticinii necessariam putabant. tantum ex eo quod iste ignotus propbeta esse diceretur monachus, quidam argumentnm se aiebant capere divini spiritus in ista praesagitione versati, quod verisimile censerent, si quem ex mortali devinctis corpore suis deus afflatibns dignare vellet, segregatum a curis terrenis hominem professione vitae solitariae fnisse ad id prae caeteris electurum. atqui ne isti quidem secure nimis indormiendum praeiudicio admonebant alii, magnopereque secus suspicando incumbebant ad reprobandam totam rem; quam nec dubitabant appellare operationem adversarii spiritus, dei gloriam furantis, ea quae deo conveniunt praeripiendo, ut magnus loqui solebat Antonius. non deerant qui humanis disciplinis ex observatione naturalium signorum eiusmodi eventus praesciri ac praedici disputarent posse. omnes tamen requirebant, velut fundamentum certum stabiliendae de hoc negotio verae sententiae, cognitionem personae ac nominis eins quo de quaereretur, rati quamdiu is de facie foret ac vita ignotus, cunctas in eum quamlibet sinistras recte suspiciones cadere. caeterum, nonnulli aiebant, hac tempestate ad intelligendum dicendumque ingruere in

D ἐψῆφθαι Ῥωμαίοις, ἔλεγον, καὶ ταῦτα τὰ μέγιστα ὧν ἀκοῇ παρειλήφαμεν, οὔτε μάντεως οὔτε μὴν προφήτου εἰπεῖν χρῄζοιεν. τὸ δὲ καὶ θεόθεν ὀργιζομένου, καὶ ὡς εἴπῃ τις ἂν αἰτίας, πολλῶν γε οὐσῶν, ἐξαίρομεν μέντοι καὶ ἁμαρτίας τὰς τοῦ καθ' ἕκαστον, Χριστιανούς γε ὄντας καὶ πρεσβεύοντας πρόνοιαν εἰκὸς ἐννοεῖν, καὶ εἴ γ' ἐπὶ τούτοις ἢ ἐπὶ τοῦ λιπαρῶς θεοῦ δέεσθαι συμβουλῇ ὡς εὐμενίζοιτό τε καὶ ἐλεῴη ἵσταται, θαυμαστὸν οὐ-
E δέν. τοὐναντίον μὲν οὖν ἂν θαυμαστὸν εἰ εὐθηνοῦσιν ἐς ἅπαν καὶ οὐδὲν ἔχουσι λυπηρὸν προέλεγέ τις τὰ φοβερά, ἃν τέως ἀπέβαινον, ὅπου γε καὶ Ἰωνᾶς ὑπωπτεύετο Νινευΐταις τρυφῶσι μέχρι καὶ ἀκοῆς, ἀλλ' οὐ πείρας, σταθέντων τῶν λυπηρῶν. εἰ δὲ καὶ προφητείας ἀξιῷτό τις ἐπὶ τῷ πλέονι τῶν κακῶν, θαυμαστὸς
P 250 μὲν ἐκεῖνος δόξειεν ἄν, μακαριστοὶ δὲ καὶ ἡμεῖς λογιζοίμεθα ὡς οὐκ ἐκείνου ἀλλ' ἡμῶν γε χάριν τῆς προρρήσεως γεγονυίας. κρύπτεσθαι μὲν οὖν ἐκεῖνον καὶ μὴ φανερούμενον ἐκφανεροῦν τὰ θεῖα μυστήρια, πρὸς τῷ μὴ ἔνδοξον εἶναι κατὰ τὴν γραφήν, καὶ

8. οὖν] ἦν ?

"Δέσποτά μου ἅγιε βασιλεῦ, καὶ ὑμεῖς θεία καὶ ἱερὰ
σύνοδος, ἥ τε σύγκλητος, καὶ ὁ παρεστὼς καὶ ἀκούων τοῦ κυ-
ρίου λαός, ὅσοι τε ἐν κλήρῳ καταλέγεσθε, οἱ μοναχικῷ διαπρέ-
ποντες σχήματι, καὶ ὁ λοιπὸς ὄχλος. ἐγὼ παρ' ὀρθοδόξων γο-
νέων γεννηθεὶς καὶ εὐσεβείᾳ τραφεὶς πρῶτον μὲν τῆς ἱερατικῆς E
ἠξιώθην τιμῆς, εἶτα καὶ τὰ μοναχῶν τελεσθείς, κρίμασιν οἷς
οἶδε θεός, εἰς τὸν θρόνον ἀνήχθην τὸν πατριαρχικόν, εὐδοκίᾳ
μὲν θεοῦ πρῶτον, ἔπειτα δὲ βουλῇ καὶ θελήσει καὶ γνώμῃ ἐξε-
τασμοῦ πάντων ὑμῶν τῶν προεχόντων ἐν ἀξιώμασι. καὶ ὡς
διέπρεψα εὐσεβῶς καὶ ὀρθῶς, οἶδε μόνος θεός· καυχᾶσθαι γάρ
μοι οὐ συμφέρει κατὰ τὸν θεῖον ἀπόστολον. συνέβησαν οὖν ἐν
τῷ μεταξὺ σκάνδαλα, ὅσα καὶ ὑμεῖς οἴδατε, καὶ διὰ τὸ μὴ P 265
παραβλαβῆναι ψυχήν τινος Χριστιανοῦ καὶ διὰ τὸ ἐν εἰρήνῃ καὶ
καταστάσει εἶναι τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν ὑπεχώρησα και-
ρὸν τοῦ θρόνου καὶ ἐν τῷ κελλίῳ μου περικλεισθεὶς ἐκαθήμην.
ἀμφιβάλλοντι δὲ καὶ δεομένῳ θεοῦ περὶ τούτων ἐμφάνειά τις θεία
ἐπέστη μοι λέγουσα 'εἰ φιλεῖς με, Πέτρε, ποίμαινε τὰ πρόβατά
μου.' πάλιν οὖν διὰ τοῦτο ἀνῆλθον εἰς τὸν θρόνον. ἐπεὶ δὲ
καὶ αὖθις ἐκινοῦντο μειζόνως τὰ σκάνδαλα καὶ ἡ ἐκκλησία διὰ

propriam ipsorum securitatem, sic, et multo scilicet facilius, suum ipsius honorem imprudenti, qua ruebant, levitate ad extremum proderent, imperatori annuit quod poscebat, hoc ad ipsum misso scripto.

"Domiue mi, sancte imperator, et vos divina et sacra syuodus, tuqne senatus, et qui adstat atqne audit domini populus, quotquot iu clero censemini, quique habitu insignes mouachico estis, et multitudo reliqua. ego ex orthodoxis genitoribus natus ac sancte educatus, prius quidem sacerdotali dignatus honore sum, postea monachus factus, iudiciis quae novit deus, in throuum evectus patriarchalem fui, gratia primum ac beneplacito dei, deiude consilio, voluntate, seutentiu praevio examine perlata vestrum omnium qui dignitate praeemiuetis. in ea dignitate uti me gesserim pie ac recte, novit solus deus: gloriari euim mihi uou expedit, iuxta divum Apostolum. coutigerunt autem interim scandala (qnot qualiaque, vos scitis), ob quae, ne quod inde nocumentum inferretnr Christiani ullius animae, et quo in pace ac statu tranquillo sancta dei ecclesia stabiliretur, cessi ad tempus throno et cellula clausus mea quievi. oborta autem mihi iu secessu illo dnbitatione an bona ista esset ac deo probata quies mea, cum quid sibi super eo cordi esset, ut demonstrare dignaretur, deum orarem, species quaedam divina superadstitit mihi, diceus "si amas me, Petre, pasce oves meas." rursus igitur propter hoc redii ad thronum. quoniam vero iterum movebantur maiorem in modum scandala et

B τοῦτο ὑβρίζετο, πάλιν τῆς καθέδρας ἐξέστην τῆς πατριαρχικῆς διὰ τὴν εἰρήνην αὐτήν. ἐπεὶ δὲ καὶ αὖθις ἐγένετο ὅσον γινώσκετε, καὶ ἀφορισμὸς ἐξεφωνήθη μοι κατὰ τοῦ ἀναβιβάσοντος ἐπὶ τὸν πατριαρχικὸν θρόνον τὸν κύριν Ἀθανάσιον διὰ τὸ δοκεῖν τὴν αὐτοῦ ἀνάβασιν βαρεῖαν πᾶσι καὶ ἐπαχθῆ, ὑμεῖς δὲ ἀρτίως οὐ δέχεσθε τοῦτον δηλαδὴ τὸν ἀφορισμὸν ὡς μὴ ἐκφωνηθέντα κανονικῶς, ὡς λέγετε, ἰδοὺ καὶ αὐτὸς ὅσον τὸ τοῦ ἀφορισμοῦ ἀπολύω, καὶ παντάπασι λελυμένον ἔχω αὐτόν, οὐ μέντοι τὴν C ἀνάβασιν αὐτοῦ εὐδοκῶ. πῶς γὰρ ἂν αὐτὸν καὶ δέξομαι ὡς ἀρχιερέα, ἄνθρωπον κατηγορηθέντα καὶ ὑβρισθέντα καὶ χείρονα ἢ ἐγὼ μικροῦ δεῖν καὶ εἰς αὐτὴν τὴν εὐσέβειαν αὐτοῦ, ἄλλως τε καὶ παραιτησάμενον ἐκκλησιαστικῶς καὶ κανονικῶς; ταῦτα λέγω πᾶσι καὶ διαμαρτύρομαι. εἴ τι δὲ συμβῇ μετὰ ταῦτα, ὑμεῖς ὄψεσθε· τὸ γὰρ ἡμέτερον ἅπαν δεδήλωκα. ὁ δὲ θεὸς τῆς εἰρήνης, ὁ τὸ ἴδιον αἷμα δοὺς ὑπὲρ τῆς ἁγίας αὐτοῦ ἐκκλησίας, αὐτὸς ταύτης ποιήσοι τὸ συμφέρον καὶ εἰρηναῖον καὶ ἀστασίαστον."
ἡ ὑπογραφὴ "ὁ ἀββᾶς Ἰωάννης."

P 266 7. Ἡμέρα μὲν οὖν παρασκευὴ ἦν, πρώτην δὲ μετ' εἰκάδα ὁ κατ' Ἀθηναίους Μαιμακτηριὼν μὴν ἦγε, καὶ ὁ βασιλεὺς τὸ γράμμα ἐδέχετο. ὃ δὴ καὶ εἰς προῦπτον μὲν καὶ πασίδηλον

ecclesia propter hoc afficiebatur contumeliis, secundo e cathedra patriarchica descendi, eundem quem prius intuens scopum pacis meo secessu statuendae. postquam autem deindo contigere quae vobis sunt cognita, et excommunicatio prouuntiata est a mo in eum qui restituere attentaret throno patriarchali dominum Athanasium, quod mihi futura videretur huius istiusmodi promotio odiosa omnibus et molesta, vos vero super ista recens excommunicatione consulti non admittitis illam, tamquam, ut dicitis, non sit canonice perlata, en ego ultro ipse, qualecumque est aut esse potest excommunicationis istius vinculum solvo, revocansque illam pro relaxata deinceps neminemque in posterum ligante habeo. neque tamen in domini Athanasii regressum ad thronum do caetero assentior. quomodo enim ipsum in pontificem admittam, hominem accusatum et deformatum ignominia uondum abstersa, denique peioris ad hoc, quam ego sim ipse, conditionis, adeo quidem ut parum absit quin do religione eius aequam dubitandi causam praebeat, praesertim cum super haec omnia patriarchatu ipse dudum ultro cesserit ecclesiastico ac canonice? haec omnibus dico et contestor. si quid vero posthac secus quam fas fuerit accidat, vos videretis. meum enim sensum plane declaravi. deus autem pacis, qui proprium pro sancta ecclesia dare sanguinem non pepercit, ipse quod huic expedit ad pacem et turbarum amotionem faciat."

subscriptio. Abbas Ioannes.

7. Feria erat hebdomadae sexta, quam parascenem dicimus, prima vero post vicesimam dies mensis Augusti, qui Atheniensibus Maemacterion est, quando imperator hoc scriptum accepit. id statim palam non osten-

οὐκ ἐδείκνυ. τέως συλλέξας ἀρχιερεῖς καὶ κληρικοὺς τὴν λύσιν ἐδήλου τοῦ ἀφορισμοῦ, παρεμφαίνων καί τισιν ἐξ αὐτῶν τὸ γράμμα. καὶ τῷ ἐντεῦθεν, ἐπεὶ οὐκ ἦν ἄλλο ἐφεξον, ὡς ἐδόκει, τὴν πρᾶξιν, πολλῶν ὑπονοουμένων καὶ ἄλλων κατὰ τὸ λεληθός, ὅμως ὡς δῆθεν περιαιρεθείσης τοῖς ἀρχιερεῦσι τῆς ἐκεῖ- B θεν προφάσεως, σαββάτου τοῦ ἐπιόντος καὶ κυριακῆς ἐπὶ τούτῳ ἐν τῷ θείῳ δὴ πάλιν τῶν ἁγίων ἀποστόλων καὶ περιωνύμῳ ναῷ προσέταττε συνάγεσθαι πάντας, καὶ μηδὲν κύκλῳ περιβαλλομένους ὁμονοίας τρίβους ποιεῖν καὶ τούτων ἅπτεσθαι, ὡς οὐ τριβὰς τοῦ καιροῦ χωροῦντος. γέγονε τοῦτο κατὰ τὴν πρόσταξιν, καὶ τῷ τόπῳ συναγόμενοι ἀπεῖχον πολλῷ τὰς γνώμας καὶ ὁμονοεῖν οὐκ ἐδύναντο. ἐπεὶ οὖν πέμπων ὁ βασιλεὺς ὅ τι λέγοιεν ἐπυνθά- C νετο, εἰκοστῇ τρίτῃ μηνὸς τοῦ αὐτοῦ, περὶ τὸ τῆς μεσημβρίας μεσαίτατον, ἐπιβὰς ἵππου τὸν θεῖον καταλαμβάνει τῶν ἀποστόλων ναόν. καὶ τὰ πολλὰ συγγεγονὼς σφίσιν, ἐπεὶ οὐκ ἦν τὸ παράπαν ὁμονοεῖν, λαβὼν ἐκεῖνος τοὺς δεχομένους τὸν Ἀθανάσιον, ἀφεὶς τοὺς μὴ δεχομένους, εὐθὺ τῆς μονῆς ἐκείνου γίνεται, καὶ ὡς οἷόν τ' ἦν ἐκεῖνον ἀρχιερατικῶς ἐπισκευασάμενοι, πεζῇ

tavit ille quidem aut uotum facere indiscriminatim omnibus voluit. convocatis tamen episcopis et clericis significavit revocationem excommunicationis; et scriptum Iosnnis, qua parte dumtaxat illius relaxationem exprimebat, quibusdam ex bis ostendit. exceptionem nimirum scripto appositam contra promotionem Athanasii, ne obesset negotio, manifestandam 4 non putavit, pronam hinc fluxuram quam urgebat rem arbitratus, si tantum declararetur amotio praecipui hactenus ei obstare visi palam impedimenti, nimirum excommunicationis a Ioanne latae, quamvis et alia non minora hoc obstacula isti tam merito exanctorati olim hominis redauctorationi opponi tacite alii suspectantes autumarunt. Augustus igitur, ea quam dixi spe processurae secundo cursu, velut omni remora sublata, in episcoporum deliberatione repositionis Athanasii in sedem, convenire denuo illos omnes ad hoc iossit, sabbato et dominica insecutis, apud sacram aedem sanctorum Apostolorum, praemonitos ut nihil iam circa orbem errarent frivolis allegandis praetextibus, sed rectas facerent vias concordiae, idque ut summi momenti negotium serio tandem capesserent: eo quippe res processisse, ut morae amplius nullae ferendae viderentur. fecerunt imperata illi hactenus ut locum in unum coirent. at tantum illic distabant animorum sensibus, quantum invicem accesserant vicinia corporum: consensionis vero nulla iam spes aut ratio conciliandae inter ipsos apparebat. quod cum imperator per eo missos qui successum explorarent intellexisset, quomodocumque absolvere rem studens, tertia et vicesima mensis eiusdem die, hora ipsa meridiana, equo conscenso in sacrum Apostolorum templum advenit, ibique multa cum episcopis locutus, ubi clare perspexit frustra tentari vias omnes eorum in consensionem adducendorum, sumptis secum iis qui Athanasium in sede repositum volebant, relictis vero illic iis quorum erant studia contraria, recta pergit ad monasterium ubi Athanasius degebat, ac eum, prout ex tempore licuit, pontificaliter ornatum, ipse pe-

καὶ βάδην ὑπ' ἀέρι πῦρ πνέοντι καὶ καιρικῷ πνίγει, ἅμα κληρι-
D *κῶν τοῖς παρατυχοῦσι καὶ τῷ λαῷ ὅσος συνείλεκτο, τὴν ἐκκλη-*
σίαν καταλαμβάνουσι, καὶ πάλιν ἐπίσκοπος, ὥσπερ ἐκ μαγγά-
νου τινὸς τῆς ἐπὶ τῷ σεισμῷ δοξάσης προγνώσεως εἰς τὸ μέσον
ῥιφείς, ἀναφαίνεται ὁ μηδ' οἷός τε εἶναι τὴν ἱερὰν ἀρχὴν ἀναλα-
βεῖν προαιρούμενος. καὶ ὁ μὲν τυχὼν οὗπερ χάριν καὶ τὰ πολλὰ
ἐκεῖνα τῶν καθ' ἡμέραν βουλῶν ἐξυφαίνοντο, σπουδαιοτριβῶν
ἐς τέλος τά οἱ προσήκοντα καὶ ὑπὲρ δύναμιν οὐκ ἀνίει· οἱ δέ γε
P 267 *τῶν ἀρχιερέων ἡμίσεις, σὺν οἷς καὶ τῶν ἐν μοναχοῖς δοκούντων*
τινὲς καὶ τῶν κληρικῶν ἔνιοι, καρτερῶς διέγνωσαν σχίζεσθαι.
τῆς δ' ἐπιγενομένης ἡμέρας ὁ πατριάρχης Ἰωάννης τὰ καθ' αὑ-
τὸν πρὸς τὸ ἀδηλότερον μετασκευασάμενος ἐφ' ᾧ τῆς πόλεως
ἐξελθεῖν, μηδ' αὐτῷ βασιλεῖ συνταξάμενος, ἅμα τοῖς αὑτοῦ
ἀπαίρει τῶν τῇδε καὶ πρὸς Σωζόπολιν γίνεται. τῷ δ' ἦν ἑκάστης
διαλαλεῖν ἐμφανῶς ὡς διωχθείη τῆς ἐκκλησίας καὶ ὡς τὸ καὶ τὸ
πάθοι, καὶ πάντων κατὰ κόσμον δυσχερῶν τὴν αὐτοῦ ἀπουσίαν
B *ἐπαιτιᾶσθαι, καὶ τοῖς κληρικοῖς ἐξονειδίζεσθαι ὡς αἰτίοις, εἴ*
πού τι καὶ ξυμβὰν ἔτυχε, καὶ ἐπὶ λιτανείαις κοιναῖς θαρρεῖν ἐν-
τεῦθεν διορθοῦν τὰ σφαλέντα ὡς δῆθεν καὶ ἀπ' ἀμελείας καὶ
τρυφῆς ξυμβάντα, ὡς καί τινα διορθοῦν δῆθεν πειρᾶσθαι πρὸς

des passu lento sub flagrantissimo vapore solis meridiani, per summam, ut tum erat, aestatem aërem prae ardore vix spirabilem reddentis, cum assumptis una quotquot obiter occurrerent clericis et si qui e populo confluxerant, in ecclesiam deduxit. sic rursus Athanasius episcopus, velut e praestigiatrice quadam machina praevisionis circa futurum terrae motum ab eo, ut putabatur, habitae, proiectus in medium ostenditur, homo qui sponte declarasset se non posse sacrorum principatum resumere. atque ille quidem aliquando assecutus id cuius gratia tot illa quotidie callida inventa subtexuerat, etiam ulterius usque in finem quae sibi rebatur opportuna, utcumque facultatem ipsius excederent, astutis affectare artificiis, omni studio adhibito, non desistebat: episcoporum vero dimidium, cum quibus et quidam monachorum eo in ordine praestantium erant et clerici nonnulli, certo constituerunt ab eius communione se abscindere. postera porro inde die patriarcha Ioannes clanculum adornata profectione, ne quid intercederet quo minus, uti decreverat, insalutato imperatore urbe posset exire, una cum suis hinc discedens viam Sozopolim versus instituit. huic exhinc solemne fuit quotidie palam conqueri se per vim ecclesia eiectum, se hoc et hoc, singillatim exequendo plurima, iniuste perpeti; causamque omnium calamitatum quae mundum inundarent absentiae suae imputare; praeterea clericis exprobrare, tamquam culpa illorum accideret, si quid sinistri evenerat. idem etiam confidens emendari posse, deo precibus placando, quae male hactenus successerant, quasi ea in negligentiae ac luxus poenam permissa divinitus fuissent, instabat celebrandis communiter litaniis. conatus quoque est quaedam corrigere in formam, ut ipsi

τὸ δοκοῦν αὐτῷ εὐλαβέστερον, ἃ δὴ τὸ πρότερον κατ' ἀρχαῖον τύπον εἴα γίνεσθαι.

8. Ἀλλὰ ταῦτα μὲν ἐς τοσοῦτον, ἐγὼ δ' εἶμι δώσων τῷ C βίῳ διήγημα φρικτὸν μὲν εἰπεῖν φοβερὸν δ' ἀκοῦσαι· καὶ παρέλιπον τὴν συμφορὰν ὡς μὴ ἄλλοθέν ποθεν ἔχουσαν τὸ ἀποχρῶν εἰς τὸ ἱστορίαις τοῖς ἄλλοις συνανατάττεσθαι, εἰ μὴ αὐτόθεν ὡς συμφορὰν μόνην ἡγούμην. κἂν γοῦν καθυφείμην τὸν λόγον, εἰ μὴ τὸ ἔργον φρικτῆς ἐγκαταλήψεως τοῦ θεοῦ σύμβολον ἀποφέρεται, καὶ ἅμα τοῦ παθόντος φέροντος οἶκτον διά τε τὸ νεαρὸν D τῆς ἡλικίας καὶ τὸ ἐλλόγιμόν τε καὶ ἐν πολλοῖς ἐπιτήδειον.

Νεανίας τις ἤδη παραγγείλας εἰς ἄνδρας, Μελιτᾶς τοὐπίκλην, τῷ πατριαρχεύσαντι Γρηγορίῳ ἐν παισὶ δουλεύσας καὶ παιδευθεὶς τὰ εἰκότα, ἐν διακόνοις τῆς ἐκκλησίας ταχθεὶς μετὰ P. 268 τῶν λοιπῶν ἐλλογίμων ταῖς χρείαις διηκονεῖτο τῆς ἐκκλησίας μεθ' ὅτι πλείστης τῆς ἐπιτηδειότητος. οὗτος τὰ μὲν ἄλλα μέτριος ἦν, καὶ παρθενίαν ἤσκει, καὶ εὐλαβείας μετεποιεῖτο, καὶ γλώσσῃ πολλοῖς ἦν ἐπὶ δικαστηρίοις συνοδικοῖς, καὶ βασιλεῖ γνώριμος καὶ κλήρῳ περίβλεπτος, καὶ τοῖς εἰδόσι ψῆφον φέρων περὶ ἑαυτοῦ ἐκ πολλῶν ὡς προκόψειεν· ἑνὸς δ' ἡττᾶτο φιλοτιμίας, δι' ἣν καὶ παρ' ἰσχὺν ἐπιτρέχων τοῖς μὴ καθ' αὐτὸν ἔτι πράγμασι B

videbatur, religioni accommodatiorem, quae prius more ex longo inolito procedere siverat.

8. Verum de his hactenus. deinceps editurus famae sum narrationem dictu horribilem, terribilem auditu; quam omissurus equidem fueram ut casum personae singularis, nec ex se habentem cor historiis publicis accenseri iure posse videatur, nisi animadvertissem praeter calamitatem privatam exemplum in ea reperiri publice utile. huius quippe commemoratione, praeterquam salubris incutietur horror incomprehensibilium dei iudiciorum, etiam proprium nostrae naturae officium exercebitur miserationis multis nominibus ei de quo loquor homini debitae, utique in quo et flos aetatis et praestantes multae dotes dexteritasque agendi non paucis probata experimentis communem humanitatem ad compatiendum infelicitati eius stimulant.

Iuvenis erat in virilem nunc maturescere primum aetatem incipiens, nomine Melitas, puer olim educatus in familiari ministerio Gregorii Cyprii patriarchae, instructusque iis illic disciplinis, quae et domum decerent illam et aetatem ornarent. hinc inter ecclesiae diaconos ordinatus, una cum aliis eius ordinis lectissimis utilitatibus ecclesiae serviebat sedulitate ac dexteritate quam maxima. hic in caeteris quoque vitae partibus moderatus, praeterquam abstinens coniugio virginitatem profitebatur, etiam non parva edebat specimina multae in res sacras venerationis et in religionem zeli; et qua valebat dicendi vi, multorum causas defendebat in iudiciis synodicis, imperatori quoque notus, in clero conspicuus; denique a cunctis qui eum norant, ipsa specie ac approbatione sui facile votorum saltem tacitorum suffragium eblandiens provectionis ad superiores gradus, quibus abunde dignus putaretur. tot eminens virtutibus uni succumbebat vitio ambitionis, qua ultra quam res familiaris ferret excurrens in splen-

συλλέγων ἐξήντλει. καὶ ἦν ἐκείνῳ τὸ μὲν συλλέγειν λίαν ἐπίμωμον, τὸ δ' ἐξαντλεῖν ἱκανὸν ἀποκρύπτειν καὶ τὸ τῆς συλλογῆς αἴσχιστον οὐ μᾶλλον κατανοουμένῳ διὰ τὸν τρόπον τοῦ πορισμοῦ ὅσον ἐπαινουμένῳ διὰ τὸ τῆς προαιρέσεως εὐμετάδοτον. τοῦτο πολὺ προβαῖνον ἐξῆρε τὴν γνώμην εἰς ἀλλόκοτον ἔπαρσιν, καὶ οἰκίαις ἤθελεν ἐλλαμπρύνεσθαι καὶ ναῷ κατ' ἰδίαν χρᾶσθαι καὶ λειτουργοὺς ἔχειν καὶ φιλοτιμότερον ἐνεορτάζειν ταῖς περιφανέσι
C τῶν πανηγύρεων. τούτοις δ' ἔδει πάντως καὶ ἀναλόγων ἐξόδων, ταῖς δ' αὖθις ἐχρῆν πορισμῶν ἄλλοθεν. οἱ δ' οὐκ ἦσαν· εἰ δ' ἦσαν, ἀλλ' οὐκ ηὐτάρκουν ἐν ταῖς χρείαις. γίνεται γοῦν ἀγύρτης φιλότιμος καὶ ποριστὴς ἀνελεύθερος. καὶ τῷ πρὸς πολλοὺς οἰκείως ἔχειν καὶ φιλικῶς ἐξ ὧν ἔπραττε, σφίσιν ἐπιφυόμενος ἐκιχρᾶτο ὡς αὐτίκ' ἀφέξουσι τὰ διδόμενα. καὶ ὁ μὲν ἐν ἐλπισμοῖς ἦν ματαίοις ἔκ τινων οἰημάτων χειρίστων ὡς εὐπορήσων πρὸς τὴν ἀπότισιν, τοῖς δ' ἐν ἀνέσει αἱ ἐπ' αὐτῷ φροντίδες
D ἠώρηντο. ὅπερ γοῦν ἰδεῖν ἔστιν ἐπὶ ποταμῶν, κατ' ὀλίγον μὲν

dorem haud suae adhuc fortunae adaptatum, iaeva colligebat quae dextra effunderet; in quo cum usurparet clam corradendi licentiam valde vituperabilem, tamen adeo plausibilem frequentabat erogationem sic male partorum, ut invidiam avarae rapacitatis popularis favor liberali largitione vulgo quaesitus absconderet, nemine vel accipientium beneficia vel accipere alios gaudentium tantum animadvertente unde quove pacto congererentur quae dabantur, quantum quod prompte benigneque donarentur impense laudabat. hoc ille vitae tenore, successu longo mirabiliter in famam proficiens, ea intumuit arrogantia, quae iam sese non caperet, sed oblita suae sortis et aedes ubi diversaretur habera proprias in primis splendidas vellet, et templo privatim uti sibi uni addicto, et ministros illic habere ad nutum obsequentes; ac cum hic sumptu apparatuque ambitioso festa celebraret, illustriores annuarum solemnitatum panegyres aemulans. ad haec magnis omnino erat opus proventibus; quos cum ipsi familiares angustiae negarent, ac neque nundinationes illae secretae illaudataeque clam suffurandi artes tantum possent reficere quantum immanes isti sumptus absumebant, haerebat nebulo videlicet. nec tamen sensu domestici defectus descendere de partae semel existimationis loco sustinens, obstinate cum maxime perseverabat, utroque in exercitio furacitatis occultae ac liberalitatis speciose ostentatae simul agyrtes ambitiosus et quaesitor illiberalis. sed et quam ei magnam apud pecuniosos plurimos iste fucus insoliti splendoris gratiam parasset, ea uti non parcebat poscendis inde nummis mutuo, quos brevi scilicet se redditurum promittebat. in quo non erat mirum adeo fidem invenire illum apud praeoccupatos magna opinione copiarum eius, quam posse persuadere ipsum sibi alicunde mox praesto adfuturos aureos montes, unde tot nomina dissolveret. dum spebus ille hisce vanissimis, creditores autem non minus inani fiducia responsurae ad diem solutionis varie lactati securitati supinae indormiunt, ecce interim quotidie defluunt haud cessantibus iacturis solitarum expensarum istae ipsae precario corrogatae opes; atqua ut rapido e montibus confluxu torrentium stagnantes interdum campi, imbre mox inhibito ac coelo sere-

τῶν ῥυάκων ἐπεισρεόντων ἀδήλως, εἰς ἓν δὲ συναγομένων καὶ τὸν πληθυσμὸν παρεχόντων τῷ ῥεύματι, καὶ τέλος ἐπισχεθέντων ἐκ λειψυδρίας ξηρὸς ὁ τέως μετεωρούμενος καταφαίνεται, οὕτως ἐκείνῳ τῶν πολλῶν συνελθόντων τῶν μιτωμάτων, ὃ δὴ λέγεται, κακὸν ὑφαίνεται φᾶρος ἐντάφιον. καὶ τῶν δανείων τέως ἐπεισρεόντων προνοίᾳ μεγίστῃ καὶ τοῦ λανθάνειν, πρὸς καιρὸν ἐντρυ- E φῶν ἐμετεωρίζετο· ἐκλελοιπότων δ' ἐκείνων ἔκπυστον ἤδη τὸ κατ' ἐκεῖνον γεγονὸς τὸ δρᾶμα, οὐχ ὅπως ἑτέρων ηὐπόρει, ἀλλὰ καὶ τὰ ἀρχαῖα προσαπῃτεῖτο, καὶ ὁ τέως ἐν ἐλπισμοῖς ὢν τοῖς μεγίστοις παρὰ πολλῶν ἐξαπαιτούμενος καθυβρίζετο. καὶ τὸ πρᾶγμα ὄνειρός τις ἐδόκει σφίσι τὸ κατ' ἐκεῖνον, καὶ τῆς ἀπατηλῆς μετέμελεν ὑπολήψεως. ἐντεῦθεν καὶ τί δεῖ τὰ πολλὰ συνείρειν; καθελκόμενος ἀπεδίδρασκεν, ἀπαιτούμενος ἠνιᾶτο, ὁμο- P 269 λογεῖν τὴν ἀπορίαν ᾐδεῖτο, ἠναξιοπάθει παραδειγματιζόμενος, ἀπολλύων τὴν δόξαν οὐκ εἶχε φέρειν, καὶ τέλος ὑπὸ μεσίταις δεόμενος πατριάρχου ἐφ' ᾧπερ δουλεύοι πάλιν, καὶ μὴ τυγχάνων τῶν κατ' αἴτησιν, διὰ ταῦτα διαπορεῖ τε τελέως ἐξ ἀθυμίας, καὶ μεσημβρινὸν ἐκείνῳ δαιμόνιόν τι ἐπιπηδᾷ, καὶ τριακοστῇ Ἀνθεστηριῶνος μηνὸς ἐπ' οἰκίας ἁψάμενος βρόχον διαπεφώνηκε. τὰ

15. ἀπόλλων P.

nato dilapsoque viis variis humore superfluo, priorem brevi squallorem referunt, cito pulverulenti ex non multo ante undantibus, ita iste ardelio ubi se paulum quasi suis copiis innatando iactaverat, arefacto repente gurgite siccus in sabulo haerebat, ex multis illis, quae perplexe immiscens dudum implicuerat filis, deprehensus ad extremum nihil sibi aliud nisi, quod aiunt, funebrem sindonem aut mortuale feretri operculum texuisse. post Idus sine solutione lapsas, diffusa nequidquam die, vellit aurem unus et alter creditorum. deprehensa debitoris inopia caeteri admoniti trepide accurrunt, certatim prensant. tanto iam clarius intelligitur, non modo unde solvat, sed nec unde vivat, divitiarum ostentatori suppetere. admiratio primum magna expectationibus de illo inanissimis dudum hiantium, tum rumor et fabula per vulgus partim irridentium corniculam nudatam alienis plumis, partim pro somnio rem habentium, interimque indignantium sibi nimis credulis tam improbe illusum. at quos damnum urebat et sera pungebat poenitentia perditae infausta feneratione pecuniae, conviciis scilicet miserum inutilibus proscindebant. sed quae multa fieri solent in hoc genere, cum sibi queat quisque subiicere, quid verbose opus est exequi? tractus elabebatur, repetitus moerebat. fateri egestatem erubescebat, indigna se pati traductus querebatur, infamiam utpote gloriosus intolerantius ferebat. tandem frustra tentato per interventores patriarcha, ut se in famulorum numerum dignaretur admittere, perculsus ea ultima repulsa, et inexorabili undecunque exclusione ab omni iam humano effugio in extremam desperationem consternatus, haud par resistendo fuit dirae impressioni insilientis in sic afflictum meridiani cuiuspiam daemonii. ergo die trigesima mensis Iulii, inserto in paratum domi laqueum collo,

μὲν οὖν κατ᾽ ἐκεῖνον τοιαῦτα, ἡμῖν δὲ καὶ τὰ λοιπὰ προσθετέον, ἀναλαβοῦσι μικρὸν ἄνωθεν.

B 9. *Ὑπέρρει μὲν τὰ κατ᾽ ἀνατολὰς ἐσαεὶ καὶ ἐπὶ τὸ χεῖρον προέκοπτεν, ὥστε καὶ ὁσημέραι ἀγγελίας ἐπ᾽ ἀγγελίαις χειρίστας ἐπὶ δειναῖς ἀφικνεῖσθαι πρὸς βασιλέα. τὰ μὲν οὖν καθ᾽ ἡμᾶς ταῦτα καὶ ὀφθαλμοῖς ἑωρῶμεν, καὶ τῶν ἑωρακότων ἢ μᾶλλον δὴ τῶν παθόντων, ἥν τις καὶ λαθὼν διέφυγε τὸ δεινόν, ἐκτραγῳδούντων τὰ πάθη ἠκούομεν, καὶ ἦν μέσον ἐχθρῶν καὶ ἡμῶν ὁ πορθμὸς οὗτος διέχων καὶ μόνος, ἀνέδην ἐπεμβαινόντων καὶ χώρας ἁπάσας καὶ ναοὺς καὶ μονὰς καλλίστας καί τινα τῶν φρου-* P 270 *ρίων κακῶς ποιούντων, καὶ πυρπολούντων τὰ κάλλιστα, καθημερινοῖς τε φόνοις τρυφώντων καὶ ἀπαγωγαῖς πολὺ τὸ δεινὸν ἐχούσαις καὶ οἷον οὐκ ἤκουσται πώποτε. τὰ δ᾽ ἀνώτερα Βιθυνίας τε καὶ Μυσίας Φρυγίας τε καὶ Λυδίας καὶ τῆς ὑμνουμένης Ἀσίας, πλήν γε τῶν πολισμάτων καὶ μόνων, εἰς τέλος διαπεπρά-*

suspendio infelix vitam absolvit. his de misero Melita hactenus dictis, nobis iam in coeptae orbem historiae redeuntibus sobtexenda prius expositis consequentia supersunt; id quod resumpto paulo altius sermono mox facimus.

9. Pessum inter haec ruebant, impetu dudum in praeceps capto, tractus Orientales universi, semperque ex malo in peius damna publica crescebant, ita ut quotidie ad imperetorem advolarent alii super alios tristium indices casoum nuntii, quorum numquam non posteriores graviora quam priores etrocioraque referebant. quemquem et adeo se admovebant nobis urbem Augustam incolentibus dira belli mala, ut se comminus ingererent spectantibus, no famae longinqua memorantis moesto solum aures praeconio pulsarentur. sed et per has acerbae miserationis aculeos passim infigebant nostris animis auditae coram voces, non testium alienae cladis cursim e longinquo profectorum, at plenctus eiulatusque ipsorum dirissima passorum, si quis horum minus infelix salvum saltem os et loqui adhuc valens e patriae ruinis, latebrarum ac fugae furtivae beneficio, ed nos perferre potuisset. medium enim inter nos et hostes unum restabat fretum, quo Byzantium ab adversa continente dirimitur: caput, inquam, imperii unici angustis Bospori distabet a ditione hostium. at quam ferorum quemque truculentorum hostium! qui nihil non aggrederentur, nihil non frangerent; qui per omnes egros etiam et villas sine respectu ac discrimine sacri aut profani sanguinaria et fanatica immanitate bacchareutur, templis sanctissimis, monasteriis magnifice structis deformandis. nec arces ipsos praesidiave prohibebant, quominus ipsis munitionibus vi perruptis pulcherrima his inclusa vel circumsita aedificia vel praedia visendae amoenitatis ferro flammaque consumerent. qui dies totos caedibus patrendis ludibundi ac gratulantes impenderent; qui non minori crudelitate raptarent infelicissimos greges, miseriorum quam si occiderentur, captivorum omnis sexus ordinis aetatis, calamitate omnium quae fando unquam auditae sunt maxima. per hunc modum superiores illae regiones Bithyniae Mysiaeque, Phrygiae quoque ac Lydiae et illius decantatae Asiae, praeter urbes munitiores ac maiores solas, exterminio in futurum

χει. Ἀμούριοι ταῦτα καὶ Ἀτμᾶνες Ἀτῖναί τε καὶ Ἀλισύραι καὶ Μανταχίαι καὶ Σαλαμπάξιδες καὶ Ἀλαΐδες καὶ Ἀμηραμάναι καὶ Λαμίσαι Σφονδύλαι τε καὶ Παγδῖναι καὶ πᾶν ἄλλο χείριστον καὶ ἐπίρρητον ὄνομα. οἳ δὴ καὶ προαχθέντες ταῖς τόλμαις ἔκ τινος B ἀλλοκότου καὶ Πανικοῦ φρονήματος δίκην πυρὸς ἀγρίου ἐπελάβοντο πάντων καὶ κατενέμοντο, αὐτῇ δὴ θαλάσσῃ καὶ μόνῃ τοῦ μὴ πρόσω καὶ αὖθις προβαίνειν εἰργόμενοι. βασιλεῖ δὲ οὐδὲ διωρίαν βουλῆς παρεῖχον ἀγγελλόμενα τὰ δεινά. καὶ τὸ μὲν γὰρ ἀνθίστασθαι καὶ ἀντιπαράγειν ἐκείνοις στρατεύματα ἄπορον ἦν. αἱ μὲν γὰρ Ῥωμαϊκαὶ δυνάμεις οὐχ ὅπως ἐξησθένουν, ἀλλὰ καὶ προνοίας ἀπολωλεκότες, ἀνατολὴν φεύγοντες ἐπὶ δύσεως ὥρμων, περιποιούμενοι ἑαυτοῖς μόνον τὸ ζῆν· ἑτέρους δ' ἐγκαθιστᾶν ἐπὶ C ῥητοῖς γέρασιν ἀμήχανον ἦν. θεραπεύειν δ' αὖθις ὁμολογίαις τὸ Περσικὸν οὔτε τὸ πρέπον ἐδίδου, καὶ ἄλλως ἄπορον ἦν τόσων ὄντων καὶ διαφόρων τὰς γνώμας, καί γ' ἐπὶ τοσοῦτον ἡγεμόνων ἐγνωσμένων τοῖς ἄλλοις ἐφ' ὅσον σκυλεύειν τε καὶ κερδαίνειν τοῖς ὑποτεταγμένοις ἐξῆν, ἣν δέ που καὶ καθυφοῖτο ὁ ἄγων ἢ δώροις

6. δὴ] δὲ P.

omne tempus irreparabili desolatae sunt. auctores horum Amurii et Atmanes, Atinae, Alisyrae, Mantachiae, Salampaxides et Alaides et Ameramanae et Lamisae, Sphondilae praeterea et Pagdinae, caeteraque Stygia colluvies execrabilium erant nominum. hi ductores furialium turmarum, diriori etiam quam vulgo vel barbarum pectus capit planeque ex Orco afflata instincti audacia et ferocia, ritu vento impulsi vehementis incendii, cuncta corripiebant consumebantque obvia, mari solo ne ultra tenderent retenti. horum ausa et acta nec momento cessantibus imperatorem obruentia nuntiis ne breve quidem spatium ei ad consultandum relinquebant liberum. atque huic quidem exeundi obviam barbaris opponendique iis iustos exercitus nulla prorsus facultas aderat. nam Romanae copiae non debilitatae tantum erant, sed fractae ac deletae funditus, amisais et animis et stipendiis. itaque ex Oriente fugientes, passim ordinibus solutis pro se quisque in Occidentem properabant, in lucro ponentes quod saltem viverent, et pro misero spiritu trahendo nihil pacisci recusaturi servitutis ac dedecoris. novos habere delectus praemiisque promissis alios allicere sub signa milites prorsus supra vires erat, cum nec apta militiae ad manum iuventus adforet et aerarii palam exhausti concidisset fides. restabat ut vel turpis et damnosa pax adulando inducendis ad assensum in conditiones nobis probrosas, ipsis amplas, Persis quomodocumque tentaretur. ad id consilium praeterquam imperii honor et Romani nominis existimatio hactenus tam augusta repugnabat, etiam quantocumque conatu capesseretur, successu plane cariturum palam erat, quoniam et tot essent tamque discrepantibus sententiis duces isti barbarorum, ut et universos pariter una conventione posse comprehendi supra spem esset, et si quosdam tantum demerereris, nihil ageres: milites quippe ipsorum omnes praedis inhiantes avidissime, ab eo quicumque pacem fecisset, ad alios a qui-

ἢ χάρισι, ζητούντων ἕτερον τὸν αὐτοὺς ἄξοντα ἐπὶ σκυλευμοῖς τε
D καὶ κέρδεσι. καὶ διὰ ταῦτα ἓν τῶν ἀναγκαίων ἔδοξε τῷ καιρῷ
καὶ τοῖς ἐφεστῶσι πράγμασι, τὸ περιλειφθὲν τέως, ὅσον ἐν προ-
νοίαις ἐτάττετο μοναῖς τε καὶ ἐκκλησίαις καὶ τοῖς βασιλεῖ πα-
ρασπίζουσιν, ἀφεικότας τῶν δεσποτῶν, τάττειν εἰς στρατιωτι-
κόν, πλὴν καὶ μονοκελλικόν, ξύμπαντας, ὡς ἐντεῦθεν αὐτοὺς
ἐκείνοις ὑπὲρ τῶν ἰδίων προσμένοντας μάχεσθαι. ἐστέλλετο τοι-
γαροῦν καὶ παρὰ πατριάρχου θαλλὸς ἐλαίας ἀναυδήτως τῷ ἄνα-
κτι, ὅθεν καί τι θαρρεῖν εἶχε τῶν ἀγαθῶν ἐκ τῆς περὶ αὐτόν οἱ
E μεγίστης πληροφορίας. τὰ δ' ἦσαν ἐν μόναις βουλαῖς· οὔπω
γὰρ ἐφίσταντο οἷς ἦν ἐπιτεταγμένον ταῦτα πράττειν, καὶ τὸ
Περσικὸν πολλαχόθεν ἐπεισβαλόντες τοὺς μὲν ἔργον καθιστᾶσι
μαχαίρας, ὅσοι δέ γε καὶ ἴσχυσαν ἐκφυγεῖν, τῷ τῆς Κυζίκου
ἐπιτειχισμῷ ἄρτι τότε συστάντι παρὰ τοῦ ἐν αὐτῇ προέδρου Νι-
φωνος, ἀνδρὸς δραστηρίου καὶ γνώσεως ἐπηβόλου καὶ οὐ μᾶλλον
P 271 πνευματικοῖς ἢ κοσμικοῖς τρίβωνος πράγμασι, φέροντες ἑαυτοὺς
καὶ γυναῖκας καὶ τέκνα καὶ ζῶα καὶ ὕπαρξιν ἐγκατέκλεισαν.

5. καὶ] τὸ?

bus raptum latrocinatumque ducerentur, sese aggregaturi statim forent, et eadem nobis duce mutato damna illaturi. haec cuncta considerantibus unum dumtaxat, grave illud quidem et iniquum, sed quod sola victrix legum et iurium secura necessitas in extrema omnium reipublicae calamitate utcumque tolerabile monstraret, sese consilium offerebat tale quoddam, ut pensiones quae adhuc e fisco solverentur omnes omnino quibusvis, monasteriis etiam et ecclesiis, auctoramentaque adeo ipsa praetorianorum imperatorem custodientium, unico ex omnibus excepto quod monocellicum appellant, dominis nunc et possessoribus eorum ad tempus cedentibus, verterentur in stipendia conquirendorum undecumque militum, quos qui sic alerent propriis in eos pensionibus translatis, eorum sibi substitutorum manibus pugnare, licet domi manentes, et tam necessario tempore tueri rem et publicam et privatam quisque suam viderentur, solatio iacturae et ad damni patientiam incentivo non modico. annuere his et probare quod ad se attineret, quantum erat de monasteriis et ecclesiis decretum, significare visus patriarcha est, misso ad Augustum oleae ramo, nullo verbo addito. id quod, pro ingenti qua praeoccupatus Andronicus erat Athanasii existimatione ac reverentia, mysterii loco ab eo habitum et in eam scilicet interpretationem raptum est, ut brevi secuturam ex huius effectu consilii prosperam pacem, non modico in sinu gaudio, confideret. verum haec haud ultra designationem procedebant, absentibus adhuc illis quibus fuerat istius decreti executio mandata. interim autem Persae undecumque irruentes, quos quidem nostrorum assequi potuere, peremerunt gladio; alii, quibus vires ad fugam non defuere, receperunt sese intra munitiones Cyzici, quas recens validas erexerat eius urbis praeses Niphon, vir strenuus et in paucis solers, nec in spiritualibus magis quam saecularibus negotiis non magno tritus. intra haec ergo munimenta Romani cum se ipsos ac coniuges liberosque, tum animalia et reliquias rei familiaris, quascumque subtrahere furori barbarico valuerant, concluserunt.

10. *Διὰ ταῦτα καὶ βασιλεὺς Μιχαὴλ οὐχ οἷός τ' ὢν ἐν* B *Περγάμῳ διάγειν, ἀπάρας ἐκεῖθεν συνάμα καὶ ταῖς περὶ αὐτὸν δυνάμεσι Κυζίκῳ ἐπιφοιτᾷ. ἀλλ' οὐδ' ἐκεῖ βραδύνει δέει προσδοκωμένης τῶν Περσῶν δι' αὐτὸν προσβολῆς. ὅθεν κἀκεῖθεν ἀπαναστὰς ἐν Πηγαῖς παραθαλασσιδίῳ γίνεται πόλει, ὅπῃ δὴ καὶ ἐς ὕστερον λύπῃ καὶ ἀθυμίᾳ συσχεθεὶς διὰ τὰ συμβάντα νόσῳ περιπίπτει βαρείᾳ. καὶ ἐγγὺς ἦλθε τοῦ κινδυνεῦσαι, κἂν ἐκιν-* C *δύνευε (τοῖς γὰρ ἰατροῖς ἀπέγνωστο), εἰ μή γε προπεφθάκει τῆς παρθένου καὶ θεοτόκου προφανὲς ἔλεος. οὐ χεῖρον δὲ καὶ τοῦτο καθ' εἱρμὸν συνάψαι. ἔκειτο μὲν οὖν βασιλεὺς τὰ λοίσθια πνέων, εἴπέ τις· ἐπείληπτο γὰρ καὶ ἀναισθήτως εἶχε πρὸς ὅ τι καὶ ἰατροὶ* P 272 *ἔγνων ἐκεῖνον. μηνύματα δὲ πρὸς τὸν πατέρα καὶ βασιλέα ἡ μὲν χρεία καὶ ταχύτατα προσαπῄτει, ὁ δὲ καιρὸς ἀντέβαινεν ἀντιβαινούσης θαλάσσης, καὶ ὁ πλοῦς ἐπείχετο. τέως δὲ δυσχερῶς μεθ' ἡμέρας φθάνουσι. καὶ τὰ πεμφθέντα ἐκεῖθεν γράμματα δάκρυα μᾶλλον ἦσαν ἢ γράμματα. ἐδήλουν μὲν οὖν τὴν νόσον, ὁποία καὶ ἐπὶ ποίοις σημείοις ὅσαι ἡμέραι καὶ ὅσαι νύκτες ἡ νόσος ἀκμάζει, καὶ τίσι φαρμάκοις παρ' αὐτῶν νοσηλεύεται, καὶ* B *τέλος ὅπως ἔχων κυρεῖ· κἂν εἴ τι βοηθεῖν ἰατροὶ ἔχοιεν, ἀπαντᾶν ἤπειγον τὴν ταχίστην, ἂν τέως καὶ ἐν ζῶσι τὸν κείμενον καταλήψαιντο. βασιλεὺς δὲ μαθὼν τὰ πάνδεινα ταῦτα περὶ τῇ τοῦ βασιλέως ἐδυσελπίστει αὐτίκα ζωῇ, καὶ μετέωρος ἦν ἀκούειν τὸ*

10. Propter haec ipse quoque imperator Michaël non valens amplius subsistere Pergami, inde movens cum iis quas circa se habebat copiis, Cyzicum se confert. sed nec ibi moratus est, metu expectati etiam illic insultus in se Persarum. igitur et hinc vasis conclamatis in Pegas mari adsitum transit oppidulum; ubi deinde dolore ac moestitia ob ea quae acciderant in morbum incidit gravem, ex quo parum abfuit quin de vita periclitaretur. quin et periclitatus re vera est, quippe desperatus a medicis, nisi praeoccupasset subvenire in tempore virginis deiparae manifesta misericordia. nec alienum, puto, fuerit et hoc quemadmodum sit gestum huic historiae inserere. iacebat igitur imperator extrema spirans, diceret aliquis: correptus enim deliquio, eorum quae multa satagebant circum medici nihil plane sentiebat. festinabant videlicet famuli haec, prout res poscebat, quamprimum indicare patri Augusto. sed frustra conantibus mare obstabat, tempestate tunc adversa navigantibus in urbem. ea causa dies aliquot retenti, aegre tandem eluctati obstacula appellunt, literas ferentes quae lacrimae potius erant quam literae. narrabant de morbo, qualis esset; quot iam cum eo diebus, quot noctibus aeger luctaretur; quibus incrementis, quo intervallo auctus languor fuisset; quibus hactenus languens remediis curatus. super haec percontabantur quid statueret; ac si quid opis medici urbani quod aegro afferrent habere viderentur, cito illos ut iuberet occurrere, orabant: periculum enim, si cunctarentur, fore ne quem venirent sanaturi, reperirent mortuum. haec tristissima imperator audiens paene confestim desperavit de salute filii, et in horas expecta-

χαλεπώτατον. ὅμως πέμπει μὲν αὐτίκα καὶ ἰατρούς, πέμπει δὲ
C καὶ τῶν οἰκείων τὰ κράτιστα. τὸ πλέον δὲ ἢ μᾶλλον, εἰπεῖν τἀληθές, τὸ ὅλον, ἐθάρρει τῷ ἐκ θεοῦ καὶ τῆς πανυμνήτου ἐλέει, οἷος αὐτὸς ἐπὶ τοῖς τοιούτοις ἐῴκει, ὥστε καὶ ἀραρότως ἐπ' αὐτῇ πεποιθέναι καὶ τὰ εὐχαριστήρια ταύτης ἐπαγγέλλειν ψάλλεσθαι, κἂν αὐτὴ ἐφιστῷτο ἡ ἀναστάσιμος. τότε γοῦν καὶ ἐπὶ πλέον ἐποτνιᾶτο, καὶ τῷ ἐκ τῆς φωταγωγοῦ ἐλαίῳ, πέμπων καὶ μοναχὸν ἐκ τῆς μονῆς, φιλοτίμως ἐδωρεῖτο τὸν κείμενον.
D ἦν δὲ ἄρα ὁ μοναχὸς ἀποβὰς τῆς νεὸς ἀνάνηψις τῷ κειμένῳ, καὶ περὶ αὐτοῦ μήπω φανέντος ὁ ἤδη νεκρὸς ἐπυνθάνετο ἐξ ὀνείρων αὐτίκα χρηστῶν, καθ' οὓς εὐσταλής τις γυνὴ ἧλον τοῦ πονοῦντος μέρους ἀποσπᾶν ἐῴκει, "ἴδετε" λέγων, εἰ μοναχὸς ἐπ' αἰγιαλοῦ ἀποβὰς ἵσταται φέρων καὶ δῶρα τῆς θεομήτορος." οἱ δ' ἐπιστάντες εὐθέως τὸ ἀκουόμενον καθεώρων, καὶ ἡ ἐπιδημία τοῦ μοναχοῦ σὺν ἁγίῳ ἐλαίῳ ἐπανάκλησις ἦν τῷ νοσοῦντι, ἐν ὅτι πλείστῳ τῷ θειασμῷ γενομένη μετὰ θαύματος.

P 273 11. Ὀλίγον δὲ πρὶν ἢ ταῦτα γενέσθαι, Ποσειδεῶνος μηνὸς ὀγδόῃ, σεισμὸς ἐνσκήπτει, κατὰ μὲν τὰ ἐνταῦθα μέρη ἄγνωστος τοῖς πολλοῖς, ὥστε μηδὲ σημῆναι τὸν κλόνον, κατὰ δὲ τὸ διὰ Ῥόδου κλίμα καὶ πρόσω λαμπρὸς καὶ τῶν πώποτε μνημο-

bat moestissimum de eius obitu nuntium. ac medicos quidem statim misit, cumque his praecipuos quoque domesticorum, maximam ipse interim fiduciae partem, aut totam, ut loquar verius, fiduciam in dei ac laudatissimae deiparae miseratione collocans (ita ille factus, sic erat in similibus solitus agere), adeo quidem ut spe certa praecipiens voti successum, iam nunc sacrum in gratiarum actionem pro beneficio a dei matre accepto, etsi diei ritus, (quae dominica erat resurrectionis memoriae dicata) aliud posceret, celebrari voluerit. diu igitur et plurimum divam veneratus, oleum e lampade quae sacro alluxerat, per fidum e monasterio monachum misit; neque mox ipsa apparuit magnificum omnino mirificumque munus languenti donatum. simul enim illud portans monachus conscendit navem, aegro fieri melius contigit. priusquam autem ille appulsus se in conspectum daret, languens hominum opinione tantum non mortuus felici recreatus somnio est, per quod ipsi videbatur splendide ornata quaedam mulier ex parte corporis laborante clavum evellere. post quod experrectus Michaël "videte" inquit intuens adstantes "ecquid monachus modo expositus in littus hic adsit ferens dona dei matris." illi dum parere iussis sataguut, confestim quod audierant viderunt: comparentis quippe in puncto monachi, cum sancto oleo, adventus plena statim aegrotanti emersio ex morbo fuit, deo rem haud dubie adscribentibus cunctis qui cernebant, et pro facto humana vi maiori mirantibus.

11. Paulo autem prius quam haec fierent, Augusti videlicet die octava, terrae motus extitit, in his quidem partibus sua exilitate plerisque non animadversus, eo quod nullo admodum indice sui proderetur strepitu: circa vero clima Rhodium et ultra per sane clarus fuit, idem-

νευομένων ὁ χαλεπώτατος. ὅθεν καὶ Ῥόδος μὲν αὐτὴ πᾶσα ἐς τὸ παντελὲς ἀνατέτραπται, ἤκουστο δέ γε καὶ περὶ Ἀλεξανδρείας καὶ τῶν ἐξ ἴσου ταύτῃ τὰ πάνδεινα. Κορώνη δὲ καὶ Μεθώνη καὶ τὰ πολλὰ τῆς Πελοποννήσου, οὐκ ἐλάχιστον δὲ μέρος καὶ Κρήτης, σεισμοῦ γεγόνασι παρανάλωμα.

12. Κατὰ τὸν ἐπὶ τούτῳ Γαμηλιῶνα τῆς δευτέρας ἐπινε- B μήσεως εἶδεν ἡ Κωνσταντίνου καὶ τὸν Λατῖνον Ῥοντζέριον, ὡς μὴ ὄφελεν, ἅμα ναυσὶν ἰδίαις ἑπτὰ καὶ συμμαχικῷ στόλῳ ἐκ Κατελάνων καὶ Ἀμογαβάρων πλείστῳ, εἰς χιλιοστύας ὀκτὼ ποσουμένῳ, προλαβόντος ἐκεῖνον καὶ τοῦ Φαρέντα Τζιμῆ καὶ συμποσοῦντος τὸ στράτευμα. ἀλλ' ὁ μὲν Τζιμῆ εὐγενὴς ἦν, καὶ οὓς C ἦγεν ἰδίους εἶχε, καὶ ἀκλητὶ παραγέγονε, συμμαχήσων ἐπὶ τοὺς Πέρσας, εἰ βούλοιτο βασιλεύς, πλὴν ἐπὶ ῥητῷ τῷ μισθῷ· ὁ δέ γε Ῥοντζέριος ἐκ προσκλήσεως ἄνεισιν, ἀνὴρ νέος τὴν ἡλικίαν, γοργωπός, ταχὺς εἰς ὃ ῥέψοι, καὶ τὰς πράξεις θερμός. περὶ οὗ βραχέα βούλομαι προειπεῖν ὡς πέπυσμαι· εἰ δέ γε τῆς ἀληθείας ὁ λόγος ἐκκλίνειεν, οὐχ ὁ γράφων ἀλλ' ἡ φήμη τὴν μέμψιν φε- D ρέτω. οὗτος τῇ κατὰ Συρίαν Πτολεμαΐδι, ὅτ' ἐν τοῖς οὖσιν ἦν καὶ τὸ περίπυστον ἐν πόλεσιν εἶχε, τῷ Τέμπλῳ κατὰ φρερίους ἐνήσκητο. ὡς δ' ἐκείνη παρ' Αἰθιόπων ἡλίσκετο, ὡς ἐν τοῖς ἄνωθι λόγοις ἐλέγομεν, καὶ τἀκεῖ κατέστραπτο, χρήματα νοσφι-

que omninm qnos vivi meminissent dirissimus. unde et Rhodus qnidem ipsa tota plaue subversa est. audita quoque de Alexandria et locis paris cum ea situs gravissima per illnm iis importata mala sunt. Corone vero et Methone ac Peloponnesi pleraque, et nou modica pars Cretae, eodem hoc obiter concussa terrae motu haud sine damnis foere maximis.

12. Insecuto mox Septembri secundae indictionis vidit (quod utiuam nou fuisset) vidlt, inquam, Constantinopolis Latinum Rontzerium *), appulsum cum propriis navibus septem et sociali classe copiosa plena militia e Catelanis et Amogabaris, octo millium numerum expleute. praecesserat hunc Pharendas Tzimes, culus copiae eius quem dixi numeri pars erant. caeterum hic Tzimes nobilis erat, et quos ducebat e sibi subditis armaverat; veueratque non vocatus, auxilio Romanis contra Persas futurus, si vellet imperator, id tamen certa pacta mercede. Rontzerius vero nominatim evocatus aderat. vir erat in aetatis flore, terribilis aspectu, velox quocumque vergeret, ac in agendo ardens. de quo panca praefari, prout audivi, volo; quae si abborrere a vero reperiantur, non scriptor, sed, qua est usus auctore, fama culpetur. is apnd Ptolemaidem Syriae, dum illa urbs staret et late inclyta celebraretur, inter Frerios sodales templi militarem religionem professus fuerat. postquam autem ab Aethiopibus Ptolemais capta est, ut superius diximus, et deleta illic potentia Christianorum, pecuuiis clam e suo ibi coenobio subtractis, longas

*) immo *Rodzerium.*

P 274 σάμενος τῆς μονῆς καὶ μακρὰς συσκευασάμενος νῆας ἐπεῖχεν Ἀγα-
ρηνοῖς, καὶ πειρατὴς βιαιότατος πολλούς τ' ἔχων αἱρετιστὰς νεω-
τέρων πραγμάτων ἀντείχετο. πλούτῳ δὲ καὶ τρυφῇ σὺν τοῖς
ἀμφ' αὐτὸν ὑπερηφανῶν ἐκ τῶν σκυλευμάτων τῶν κατὰ θάλασ-
σαν τάξιν ἐκείνην τῶν φρερίων καὶ σχῆμα χαίρειν ἐᾷ, καὶ ἐπὶ
ναυσὶ κραταιωθεὶς πλείοσι τῷ ἐκ τοῦ Μαφρὲ ἀνέκαθεν Θευδερίχῳ
Σικελίαν κατέχοντι, κατά τινα γονικὴν ἀποστασίαν τῆς ἐκκλησίας
B ἀποστατοῦντι καὶ διὰ τοῦτο εἰς πολέμους καὶ μάχας πρὸς τὸν
Κάρουλον καταστάντι, πρόσεισι ῥόγαις τακταῖς βοηθήσων σὺν
οἰκείῳ λαῷ. καὶ ἐπὶ χρόνῳ κατά γε συμμαχίαν συνὼν Θευδερίχῳ
μετὰ τῶν οἰκείων προσεβοήθει. ἐπεὶ δ' ὁ πόλεμος παῦλαν ἔσχε
καὶ σπονδαῖς ἐπιγαμίοις οἱ τέως πολεμοῦντες εἰρήνευον (τὴν γὰρ
Ἐκατερίναν ὁ τοῦ ῥηγὸς ἀδελφὸς εἰς γάμον λαμβάνει, ὃν καὶ εἰς
βασιλέα στέψας ὁ πάπας, καὶ δίχα τέρας, εἴτ' οὖν γῆς, ἐπικη-
C ρύξας κράτορα, περὶ τῆς πόλεως ἐκείνῳ τὰς ἐλπίδας ἀνήρτα διὰ
τὴν νύμφην οὖσαν τοῦ Βαλδουΐνου ἐγγόνην), ἐπὶ τούτοις καὶ
τῆς ἐκκλησίας ἱλεουμένης πέμψας ὁ πάπας ζητεῖ τὸν Ῥοντζέριον.
ὁ μέντοι Θευδέριχος οὐ πρέπον γνοὺς οὐδ' ἄλλως δίκαιον προδι-
δόναι τὸν ἐπὶ καιροῖς ἀναγκαίοις φανέντα χρήσιμον (ἐφῆπται
γὰρ αὐτόθεν οἱ καὶ τὰ δεινὰ ὡς τὸ σχῆμα καταπατήσαντι), ἱκα-
νὴν μὲν αὐτῷ φιλοφροσύνην τῷ πάπᾳ δὲ πρὸς τὰ ζητούμενα ὑπει-

cum parasset naves, his infestans Agarenos pirsta lste formidatissimus evasit; multosque interim sponte addictos suae qualicumque firmandae potentiae ac certae ad extremum fidei adesse sibi asseclas sentieus, uovis inhisbat rebus, opes et dominium stabile uspiam quaerens, idque iure au iniuria pararetur, haud ssne solicitus. interim autem divitiis et luxu cum comitibus superblens, abundautlbus ad hoc ex praeda lstrocinii maritimi copiis, ordiuem illum Freriorum et habitum vslere iubet; pluribusque iam navibus in magnsm potentiam firmatus, Theuderlco uepoti Manfredi Siciliam obtinenti, et qussi hereditaria illiusque propria geueris contumacia adversus ecclesiam rebelli, proptereaque bellum acre pugnis commissum crebris contra Carolum habenti, se adiunxit socium, ac certi pactione stipendii, cum quibus praeerat copiis auxiliarem et diu uavalibus praeliis uavavit operam. postquam autem id bellum cessavit et nuptialibus conventionibus, qui eatenus invicem infesti bellaveraut, pacem fecere (nam Ecaterinam connubio sibi iunxit regis frater; quem et papa declarans imperatorem sine terra commovit illi spem Constantinopoleos recuperandae, ex iure quod scilicet traheret a sponsa nepte Balduini), per haec pacta cum etiam conciliatus ecclesiae Theudericus fuisset, misit ad eum papa qui dedi sibi ab illo Rontzerium poscerent, a quo is nimirum repetere poeuas vellet conculcati religiosi habitus et sacrae professionis impie spretae. at Theudericus uec honestum uec iustum ratus hominem prodere, qui necessario suo tempore se ipsi utilem probasset, huic quidem satis se relaturum gratiam putavit, si liberum dimitteret, quo tempore se quaeri ad supplicium ipse uou ignoraret, papae quoque satisfa-

ξιν ἡγησάμενος ἀπολύειν καὶ μὴ κατέχειν μήτε μὴν περιέπειν τὸν
ἄνθρωπον, ἐκποδὼν ἐπήγγελε γίνεσθαι καὶ ζητεῖν ὅπου σωθήσε- D
ται. διὰ ταῦτα τοῖς ὅλοις ἀπορηθεὶς ἐκεῖνος πέμπει πρὸς βασι-
λέα καὶ ἱκετεύει δέχισθαι· ἔχειν γὰρ καὶ λαὸν ἱκανὸν συμμαχεῖν
ὅπου βούλοιτο βασιλεύς. ἦν γὰρ ταῖς ἀληθείαις, ὡς ἔδοξε, καὶ
λῆμα ἔχων γενναῖον καὶ πλέως Ἀρεϊκοῦ φρονήματος, πολλῷ δὲ
μᾶλλον καὶ τῷ τῆς γνώμης σπουδαίῳ καὶ βαθυσκόπῳ λαὸν δου-
λαγωγῶν ἀτάσθαλον καὶ τούτῳ κατορθοῦν τὰ μέγιστα φημιζόμε-
νος. ὁ μέντοι γε βασιλεὺς διὰ τὴν ἀνάγκην ἀρξάμενος ἤδη ξενο- E
τροφεῖν ὡς ἕρμαιον ἁρπάζει τὸ σύμβαμα, καὶ πέμπων πίστεις ἐκ
χρυσοβούλλων αὐτὸν ἀνεδέχετο καὶ λαὸν προσεδέχετο, ὥστ' ἐκεῖ-
νον μὲν τῷ τοῦ μεγάλου δουκὸς τιμᾶν ἀξιώματι καί γε καὶ γαμ-
βρὸν ἐπ' ἀδελφιδῇ Μαρίᾳ τῇ τοῦ Ἀσὰν θυγατρὶ καθιστᾶν, τοὺς
δέ γε περὶ αὐτὸν ῥόγαις ταῖς προσηκούσαις ἐξικανοῦν ὑπηρετοῦν-
τας τὰ κατὰ πόλεμον. τὸ γὰρ Ῥωμαϊκόν, ὡς εἴρηται, ἐξησθε- P 275
νηκὸς καὶ κατὰ δύσιν διασπαρὲν παρεώρατο, ζητοῦν τοὐντεῦθεν

7. καὶ post σπ. deerat.

cturum, ubi ostendisset nec foveri a se illum nec apud se versari. ergo Routzerio denuntiavit, a se abiret salutemque alibi quaereret. in his ille angustiis inops consilii melioris misit ad imperatorem qui se cum exercitu non modico paratum ad eius auspiciis rem gerendam, ubicumque praeciperet, offerrent, etiamque orarent ne supplicem aspernaretur nec ingratum nec inutilem, si admitteret, futurum. erat re vera, qualem et se ferebat ipse et passim fama celebrabat, Routzerius generosi et vere Martii plenus animi, miraeque (quod in illo eminebat) industriae in sibi fido ac benevolo tenendo inconditissimo cui praeerat genere latronum, quibus ad flagitia connivens et arte popularitatis varia obsequens, salva semper auctoritate imperii, strenuis fortibusque coeptorum quantumvis audacium executoribus plerumque utebatur, celebritatem inde adeptus maximam. tali conventus legatione imperator, qui iam ad conducendos mercede milites summa necessitate adigente appellere animum coepisset, pretiosam sibi quasi divinitus offerri occasionem arbitratus, cupide quod se in manum dabat arripuit; missisque, quo fidem promissorum faceret, aurea munitis bulla diplomatibus, ei significavit sese ipsum conditionibus peramplis et subiectas ipsi copias auctoramentis idoneis iam nunc in Romanae militiae auxiliares accipere. venirent modo quam primum, et ipse quidem ductor sibi eximie destinatam magni ducis dignitatem cum affinitate splendida, nuptiis neptis propriae Mariae Asanis filiae, iniret, militea vero ipsius ad spem certam magnorum, quibus nulla mora numerandis intercederet, stipendiorum accurrerent, caeteraque omnis generis operae bello fortiter navatae haud se desideraturos praemia scirent. haec tam pellacia tam prolixe pollicebatur imperator, quoniam, uti diximus, nullam fiduciae partem in Romano collocare poterat exercitu, quod qui ex eo reliqui nuperis cladibus superfuerant, mari traiecto e continenti Asiae in Occiduam omnium inopes delati, passim profugi adeo viluerant deiectis ignave animis, ut, si victum miserum vel infima servitute paciscerentur,

B ὅπου δουλεύσειε καὶ τραφήσαιτο. (13) παρ' ἣν αἰτίαν καὶ
Μιχαὴλ ὁ δεσπότης αἰτίαις ὑποβληθεὶς κεκινδύνευκεν. ἐπεὶ γὰρ
ὁ μὲν βασιλεὺς ἤπειγε τοῦτον εἰς Νίκαιαν συνάμα τῷ ὑπ' αὐτὸν
λαῷ στρατηγήσοντα, ἐκεῖνος δὲ πολλάκις γράψας μετεκαλεῖτο
τὸν ἴδιον, κἀκεῖνοι κατερραθύμουν, διὰ ταῦτα ἔδοξε χρῆσθαι
τοῖς βασιλέως ὡς ὑπηρέταις, ἤδη ἀπολέμοις ἐκ τῆς ἀνάγκης γε-
γενημένοις, καὶ πέμψας συνῆγε, πλὴν οὔτε βασιλέως εἰδότος,
καὶ ὅρκους ἀπαιτῶν ἐκείνους ὡς περὶ ἑκατὸν ὄντας, καὶ κρυφηδὸν
C λαμβάνων καὶ μέρει διδοὺς πρὸς ἐκείνους. ἦν δ' ὁ ὅρκος βασι-
λεῖ πρέπων, οἶμαι, καὶ μόνῳ· εἶναι γὰρ τῶν ἐχθρῶν ἐχθροὶ καὶ
τῶν φίλων φίλοι τοῦ τέως δεσπότου ἐπώμνυον. ὃ δὴ προσαγ-
γελθέν, βασιλεὺς καὶ ταῦτα καὶ ἄλλα πλεῖστα συνηθροικώς,
συνοικοῦντος καὶ τῇ τοῦ Τερτερῆ θυγατρί, λιπαρῶς ὑπώπτευε
κατ' αὐτοῦ ἀπιστίας μελέτημα, καὶ τὸ γεγονὸς εἰς κρίσιν ἐτίθει,
καὶ τὸν προσαγγελλόμενον κατεδίκαζεν. ἀλλὰ ταῦτα μὲν μικρὸν
ὕστερον καὶ ῥηθήσεται· τότε δὲ βασιλεὺς τοιαύτας ἐδίδου τὰς
D πίστεις τῷ Ῥοντζερίῳ. ὁ δὲ λαβὼν τὰ γράμματα, ὡς ἂν καὶ

9. καὶ] καὶ ἐν?

praeclare secum agi crederent. (13) qua ex causa et Michaël despota in defectionis meditatae suspicionem veniens est periclitatus. cum enim illum imperator crebris nuntiis ursisset ut delectu in suis terris habito sibi praesto cum copiis adesset, dux a se Nicaeam mittendus, et ipse multis literis quoquoversus scriptis suos nequidquam vocasset ad signa subditos (quippe hi periculum talis militiae reputantes fracti animis ignave cunctabantur obsequi), hos, de quibus dixi nuper, imperatoris milites nunc in sua ditione fugitivos explorare eggressus, postquam in eam de qua significavi humilitatem consternatos reperit, occasionem non putavit praetermittendam eos sibi ad quidvis obnoxios reddendi. ergo negotio eis deto socios ed se clam cogendi, congregatos ex illis circiter centum arcano alloquens induxit ed sibi fidem sacramento in hoc obstringendam, ut hostes hostium suorum, amici amicorum, sine ullo respectu aut discrimine, deinceps forent, se quoque ipsum vicissim protegendi eos promissis iuratis obligans. hoc etsi secreto actum a despota ubi fido ad se delatum indicio rescivit imperator, contulit eodem aliunde comperta signa plurima infidi animi ac rebellionem machinantis, quibus magnum ad verisimilitudinem colorem addebet, quod idem despota coniugem haberet filiam Terteris, ex genere utique infenso Romanae rei. quare antequam defectio erumperet, mature praevertendum arbitratus, dicam Michaëli cogitatae perduellionis impingit, compulsumque obire vadimonium causa rite cognita damnavit. sed hoc contigit paulo post et in loco referetur, nunc eo praelibatum quo indicetur et hanc mente versatam imperatori curam, quando illum a Rontzerio missi convenere, promptiorem reddidisse ipsum ad adeo prolixe admittenda liberaliterque remuneranda exteri ducis obsequia. porro istis Augusti literis Rontzerius acceptis, curam ingressus existimationis tuendae tantae quantam de ipso praecepisse prae se ferebat imperator, non eos solum quos ad manum habebat ducere ad eum milites

μέγας τις δόξοι, οὐχ ὅσους ἀνὰ χεῖρας καὶ μόνους εἶχε τοσούτους
καὶ ἄγειν ἠβούλετο, ἀλλὰ προσφιλοτιμούμενος καὶ ἄλλους συνῆ-
γε, ταῖς ἀπὸ βασιλέως ἐλπίσιν ἀναπτερῶν, ὥστε μηδ' ἔχειν αὐ-
τάρκεις ναῦς συνεκφέρειν τὸ στρατολέγημα, μηδέ γε χρήματα
τόσα ὥστε καὶ προκαταρκτικὰ διδόναι ἐπὶ βασιλεῖ ἐχεγγύῳ τὰ
πλεῖστα παρέξοντι. διά τοι ταῦτα καὶ Γεννουΐταις προσσχὼν
ἐπὶ πίστεσιν ἐκιχρᾶτο ταῖς βασιλέως ὡσεὶ χιλιάδας εἴκοσι νομι- P 276
σμάτων, τὰ μὲν καὶ λαμβάνων, τὰ δὲ καὶ διὰ τὴν τῶν νηῶν
χρείαν ἐκείνων εἰς τὴν τοῦ λαοῦ διαπλώϊσιν προσδεχόμενος. Γα-
μηλιῶνος μὲν οὖν, ὡς εἴρηται, τῇ Κωνσταντίνου ἐφίστανται.
καὶ βασιλεὺς τοσοῦτον λαὸν παρ' ἐλπίδα δεξάμενος, ὅμως τῇ
τῆς συμμαχίας ἐλπίδι ἀναθαρρῶν τοὺς λογισμοὺς κραταιότερον
ἵστη καὶ ἀμφοτέραις ἐξήντλει σφίσι τὰ χρήματα, καὶ θησαυροὺς B
πάντας οὓς ἀνεπίμπλων οἱ πανταχόθεν δασμοί, ἐπισχεθέντων
πάλαι καὶ αὐτῶν ῥογῶν καὶ προσοδίων τοῖς ἐν ἀνακτόρων δου-
λεύουσιν, ἃ δὴ καὶ βασιλεῖς ἐξ ἀρχαίου εἰς μισθοὺς ἐτίθουν ἀναγ-
καίους τοῖς ὑπηρετουμένοις, ἐκείνοις ἐξεκενοῦντο. ἀλλὰ τὸν μὲν
Ῥοντζέριον εἰς μέγα τιμήσας δοῦκα, καὶ τοὺς παρ' αὐτοῦ καὶ
ἰδίοις μεγαλύνας ὀνόμασι, γαμβρὸν κατὰ τὰς ὁμολογίας καθίστη.
ἦν δὲ ἄρα καὶ τοῖς ἐπιστᾶσι πολλῶν φιλοτιμιῶν ἀπολαύειν C

volnit, sed alios praeterea evocavit promissis magnis, quorum videlicet solutionem imperatori delegaret. convenerunt ad spem ostensam imperialis gazae largiter mox participandae Latini tanto numero, ut nec naves quae illos caperent nec pecuniam Rontzerius haberet, quae sufficeret ad singulos vel exigua, quae vegetaret alacritatem nomina dantium, erogatiuncula saltem aspergendos. quare appulsus ad Genuenses, illisque glorianter ostentandis imperatoris diplomatibus fidem in mutuando nactus, viginti circiter millium aureorum cum illis debitum contraxit, quae se ille Constantinopoli soluturum pecunia sibi statim ab Augusto repraesentanda pollicitus est. caeterum non totam eam summam numerato accepit: pars enim in naulum est imputata suppeditatarum a Genuensibus navium, quot opus fuere novis Rontzerii delectibus transportandis. sic igitur Septembri, ut dictum est, mense Rontzerius cum classe Constantinopolim appellit, quando imperator tanto praeter spem auctus exercitu, et ingens in posterum peregrinae militiae operae pretium expectans, firmato a trepidatione priori animo largissime muneratus est hospites, et utraque pecuniam effundens manu, thesauros, quos undecunque corrasa vectigalia compleverant (quorum iam pars nulla distrahebatur in auctoramenta veterum militum et stipendia palatinorum ex longo decreta ministrorum, omnibus his nuper, uti dixi, abrogatis), in horum sinus exinanivit. ac Rontzerium quidem promisso insignivit ducis magni titulo, familiares quoque eius illustribus aliis nominibus honorans. denique quod erat etiam pollicitus, affinitate sibi eundem admovit intima, nuptiis cum eo neptis suae Mariae celebratis. quo toto tempore tanta extitit in hos omnes exteros Andronici munificentia, ut cuivis eorum ad statim accipiendum ab Augusto donum quantumlibet alio non esset opus quam istius ei deside-

δεικνύειν τὴν χρῆσιν, ὡς ἂν μὴ ἐν κενοῖς ἐπιστῆναι δόξωσιν. ἐτάχθησαν οὖν ἐς Κύζικον ἀπελθεῖν· πρὸς γὰρ τὸ ἔχον τὸν φθόνον ἕρπειν, μᾶλλον δὲ τὴν ἐπίθεσιν ὡς οἷόν τε διενόουν, κἀκεῖ πολύ τι συναχθὲν πλῆθος, καὶ χρήμασι καὶ σώμασιν ἱκανούμενον, ἐφέλκειν τοὺς Πέρσας ἀνάγκῃ, οἷς καὶ δεῖν διὰ ταῦτα κατακεκλεισμένοις συμμαχίας ᾤοντο.

P 277 14. Ὡς γοῦν ἐξηρτύοντο καὶ ἤδη πρὸς ἐξόδοις ἦσαν, ἐπισυνίστανται Γεννουῖται οἱ κατὰ πόλιν τέως ζητοῦντες τὸ χρέος· βασιλέα γὰρ ἀπαιτεῖν ἑτέροις δανείσαντας οὐκ ᾤοντο δεῖν. οἱ δὲ τὰ τοῦ χρέους βάρη προσανετίθουν τῷ βασιλεῖ ὡς αὐτοῦ γε χρησάμενοι ἕνεκα. καὶ βασιλεὺς τέως οὐκ ἀνεχόμενος ἀλλ' οὖν πρὸς τὸ ἀποδιδόναι κατένευε, καὶ διὰ τοῦτο καὶ φιλονεικίαν πᾶσαν B ὑποτεμνόμενος ἔπεμπε τὸν Μουζάλωνα Στέφανον, μέγαν δρουγγάριον τοῦ πλωΐμου ὄντα, καταστελοῦντα τὸν θόρυβον. ὁ δὲ τοσοῦτον ἐδέησε τοῦ ταῦτα ποιεῖν ὥστε καὶ κατεκόπη σπάθαις αὐτῷ γε ἵππῳ. καὶ ἔρις ἐντεῦθεν μεγάλη μεταξὺ σφῶν ὠροθύ-

1. δεικνῦσιν?

rium significare. neque enim ipsorum quemquam vacuis a se abire manibos aut voti non compotem sinebat. ita bene curatis ornatisque Latinis auxiliaribus expeditio indicta Cyzicum versus est. cuius consilii haec erat ratio. confluxerant Cyzicum, ut dictum est, ex tota circum continenti quotquot effugere Romani potuerant barbaros, opesque suas in illud asylum nudecumque contulerant. quae res cum latere praedatores Persas non posset, verisimiliter expectabatur eo cunctos ipsos impetum versoros: nam avari habentibus inhiant, et in loca congestis opulenta gazis cupida solet rapacitas incitari. urbi ergo Cyzicenae pleoae tunc et divitiis et hominibus, ideoque vel iam obsessae vel mox obsidendae a barbaris, mitti suppetias novos hosce socios placuit.

14. His antem praosis paratis in procinctu ad hoc iter, ac urbe iam egredientibus, ecce superveniunt qui in urbe erant e Genua creditores Rontzerii, quos dixi; et hoc exeunte brevem occasionem rati repetendi debiti, dum intra Constantinopolim is adhuc esset, cum solicitudine ac tumultu circumsistunt hominem, solvi statim quod debebat flagitantes. cum eos ad imperatorem remitteret Rontzerius, allegans imperatoris fide pecuniam acceptam, in eius obsequia impensam, et nomerare ipsum paratum (adirent modo, statim cumulate laturi quod poscerent), illi haec effugia rati esse debitoris infidi, ab eo se repetere dixere cui dedissent, cum imperatore sibi nihil esse negotii; inter quae ardescente iurgio, ventum ad manus est. imperator raptim admonitus expedivit confestim opportuna rixae dirimendae; seque professus, licet id ante renuisset, summae a Genuensibus repetitae debitorem, eos ultro ad satis accipiendum quod vellent evocavit ad se, misso ad id turbasque componendas Stephano Muzalone magno drungario rei navalis. at is tantum abfuit a nimis iam adulta seditione compescenda, ut ipse cum quo vehebatur equo concisus in frusta fuerit ensibus iam comminus dimicantium irrevocabiliterque commissorum. hinc iam inflammata contentio in praelium utrimque infe-

νετο, τῶν μὲν ξενικῶν τὴν τοῦ Κοσμιδίου καταλαβόντων μονήν, κἀκείνῃ ὡς ὁρμητηρίῳ χρωμένων καὶ μαχομένων, Γεννουϊτῶν δὲ αὐτόθεν κατ' αἰγιαλοὺς βούτζοις καὶ τάρπαις καὶ σανίσιν ἀσφαλισθέντων κύκλῳ, κἀντεῦθεν ὡς ἀπὸ τείχους βαλλόντων τε καὶ βαλλομένων, ὡς καὶ πολλοὺς πεσεῖν ἀμφοτέρωθεν. μόλις τὸν C θόρυβον βασιλέως καταστορέσαντος, ἐπὶ Κυζίκου εἰς παραχειμασίαν ἀπέπλεον. ἐκεῖσε δ' ἐπιστάντες πόλλ' ἄττα τῶν χαλεπῶν κατεπράττοντο, ἐντὸς τοῦ τείχους καθήμενοι, χρήματα ἐκλέγοντες, βίους ἁρπάζοντες, γυναιξὶν ἀνθρώπων ἐπιχειροῦντες, καὶ τῶν ἐποίκων ὅσα καὶ ὠνητῶν κατακυριεύοντες δούλων. τέως ὁ μὲν Φαρέντα Τζιμῆς, αἰσχυνθεὶς οἷον τὰ δρώμενα, καὶ πολλάκις ἐλέγξας οἵων μὲν ἀπήλαυσαν βασιλέως οἷα δὲ πράττουσι, καὶ μὴ πείσας βαρβάρους ὄντας, καὶ αὐτοῦ κατεξανισταμένου τοῦ D ἄγοντος ἀπαίρειν ἔγνω. ὅθεν καὶ συσκευασάμενος ἅμα ναυσὶν ἰδίαις καὶ οἰκείῳ λαῷ ἐπ' οἴκου πορεύεται. ἐκεῖνοι δὲ καὶ ἔτι τῷ κατὰ Κύζικον προσκαθήμενοι τείχει καὶ ταῖς σφῶν αὐτῶν ἐντρυφῶντες ἀτασθαλίαις, ὅπῃ καὶ λῄξειαν τοιαῦτα πράττοντες,

3. τάργαις Possinus. 15. πορεύσαι P.

stissimum efferbuit, peregrinis quidem militibus obvium Cosmidii monasterium occupantibus, eoque utentibus pro arce, ex qua erumperent, quo se reciperent; Genuensibus autem illic, ubi forte sunt reperti per littoralem oram, vallo contra et aggere sese munire satagentibus, certatimque ad id comportantibus dolia, scuta praelonga et tabulas, quibus externe commissis intusque arena congesta roboratis castra velut sua circum obvallarent, ut tum isto quasi muro extemporaneo tela hostium in obiecta materia ictum perdentia frustrarentur, tum ex eo superne vicissim iacularentur. quo diu strenue infesteque factitato, cadere utrimque plurimos contigit, quoad tandem exauditis sine fine iteratis ab imperatore mandatis sedatus aliquando tumultus est, ac pace facta Rontzerianae cum suo duce copiae conscensis navibus hibernatum Cyzicum iverunt. Cyzici ubi fuere, admissi intra munitiones multa miseris illic degentibus gravia nec mitiora hostilibus fecerunt, pecunias extorquentes, annonam diripientes, uxores civium violare conantes, uno verbo, collectis isthic Romanis velut emptis mancipiis superbissimo dominatu abutentes, tam intoleranda quidem licentia, ut Pharenda Tzimea pudenda iniuriarum indignitate commotus, cum petulantiam intolerandam frustra Rontzerianos increpando ac beneficia meritaque in eos imperatoris commemorando reprimere saepe nequidquam tentasset, barbaris, duce ipsis proprio assentiente, monita irridentibus, otiosus esse testis immanium scelerum non sustinuerit, sed suas vasa colligere copias iussas, suis impositas navibus domum reduxerit. quo liberius deinde Rontzeriani tyrannidem intra Cyzici muros sine interpellatione diram exercuerunt, rapacitati ingluviei libidinibus ad satietatem indulgentes; nec obscure id ferentes, sed famam quoquoversus de his ipsorum flagitiis diditam securissime contemnentes, frustra ringentibus et hoc ma-

ἦν οὐδεὶς ἀγνοῶν· Ῥωμαίους γὰρ πανταχόθεν τὰ δεινὰ περιέστη, καὶ διεφώνουν πάσχοντες.

Ἐμοὶ δὲ λοιπὸν καί τι τῶν θαυμαστῶν καθ' ἡμᾶς τελεσθὲν
P 278 ἐξειπεῖν, (15) φοβερὸν μὲν εἰπεῖν ἄπιστον δ' ἀκοῦσαι, ᾧ δὴ
καὶ αὐτὸς διηπίστησα ἄν, κἂν δι' αὐτὸ καὶ παρέλιπον, εἰ μή γε
πολλοὶ μὲν οἱ εἰπόντες καὶ ἀξιόπιστοι, δεῖγμα δὲ προνοίας ἔχει
θεοῦ καὶ τῆς περὶ τὸ ἀνθρώπινον ἔτι γένος κηδεμονίας, κἂν ἄλ-
λως βαθέως καὶ ὑπὲρ ἡμᾶς ἐνεργῶνται τὰ θεῖα βουλήματα, καὶ
ἅμα καὶ βασιλέως χρηστοῦ δόξαντος δόξαν, θεοῦ κρίνοντος πάν-
B τως μετὰ τῶν ἐπιτετηδευμένων, καὶ ἐφ' οἷς καὶ μόνοις ἐπιτη-
δεύουσι, τὸ τῶν ἀνθρώπων σφάλμα ἢ καὶ κατόρθωμα. ἤδη
μὲν οὖν φθάσαντες ἐδηλώσαμεν πῶς Μαγνησίας τῆς κατὰ Ἕρμον
βασιλεὺς ἀπαίρει. ταύτης μὲν προέστησαν ἕτεροι βασιλέως ἀπηρ-
κότος ἐκεῖθεν, ἦν δὲ καὶ ὁ ἐπὶ τραπέζης Φιλανθρωπηνός, ἀνὴρ
εὐγενείᾳ καὶ γήρᾳ συνέσει τε καὶ ἐμπειρίαις στρατηγικαῖς ἐς ἅπαν
κοσμούμενος. ὡς γοῦν τὸ πόλισμα καστροφύλακι ἐπετέτραπτο
C καὶ ἤδη ἐν φυλακαῖς ἐκεῖνος διαγρυπνῶν ἦν ὀψὲ τῶν νυκτῶν,
πολλάκις ἡμμένην λαμπάδα καὶ περιερχομένην τὸ πόλισμα κα-
θεώρα. τοῦτο δὶς καὶ τρὶς γεγονὸς ἐννοίας ἐπῆγε τὸν καστρο-
φύλακα. ὃ δὴ καὶ τοῖς προέχουσι κατὰ τὸ εἰκὸς κοινωσάμενος

19. εἰς ἐννοίας ἐνῆγε?

lorum anctario tam saevo extrema iam consternatione extabescentibus deploratissimis Romauis.

Sed mibi diu pertaeso uarrationum infaustarum, offertur ecce opportune commemoratio auspicatior miri apud nos visi prodigii. (15) quod dicam, ita terribiie dictu est, ita lucredibile auditu, ut uec ipsi diu mibi fidem fecerit, et omissurus ut rem inverisimilem fuerim, uisi constans affirmatio et plurimorum et idoneorum testium tandem religionem incussisset iuofficiosa premendi oblivioue facti, in quo ct arguuentum extat clarum diviui uuminis in res humanas providentiae, iu uos protectionis, utcumque inscrutabilibus de causis eius iu uos eosdem flagella desaeviant, deuique in quo cernitur illustri vindicata documeuto fama et sanctitas dominati nobis olim cum clementiae laude principis, circa quem libere hominibus varia opinatis et locutis, videtur deus, cui sunt uni optime cunctorum bona pariter et prava opera perspecta, eum fuisse sibi probatum illustri voluisse testimonio monstrare. iam autea narravimus ut e Magnesia ad Hermum sita Michaël imperator iuuior recesserit. post eius discessum istius munitae civitatis custodiae praefueruut alii, quos inter fuit et mensae praepositus Pbilanthropenns, vir nobilitate senectute prudentia et bellicorum eventuum experimentis summe commendatus. cum huic igitur custodi ac praesidiariae duci militiae credita illa civitas esset, eaque ille cura fungeretur inteupesta excnbans nocte ac vigilias militum explorans, videt ecce plus vice simplici accensam lampadem circumeuutem muros urbis. re semel iterumque nt fortuita vei aberrautibus illudente oculis neglecta, postquam eadem iam se tertio conspicue ostentat,

κἀκείνους εἰς τὴν ὁμοίαν ἐνῆγεν ἔκπληξιν. τέως μαθεῖν ἠβούλοντο τί ἂν καὶ εἴη τοῦτο. καὶ πέμπονται μὲν καὶ ἄλλοι κατασκοπήσοντες, οὐδὲν δὲ πλέον τοῦ πραττομένου ἐκείνοις ἀπεκαλύ- D πτετο. σὺν πολλοῖς δὲ τοῖς ἄλλοις ἀπέρχεται καὶ ὁ τοῦ καστροφύλακος ἀδελφός, ὃν καὶ ἐκκεκωφευμένον ἐκ γενετῆς οἱ πάντες ᾔδεσαν. καὶ τοῖς μὲν τοῦ συνήθους πλέον οὐκ ἦν μανθάνειν, τῷ δὲ τὸ θαυμαστὸν ἐκεῖνο καὶ ἀπόρρητον θέαμα ἐκκαλύπτεται. καὶ ἡ πίστις προσετέθη τῷ κατ' αὐτὸν θαύματι· ὁ γὰρ λαλῶν ἐξ ἐννεοῦ καὶ κωφοῦ πιστόν τε καὶ ἀναντίρρητον ὅ τι ἂν εἴποι P 279 καθίστα. βλέπει οὖν ἐκεῖνος προσμένων οὐ λαμπάδα ἡμμένην ἀλλ' ἄνδρα βασιλικῶς ἐσταλμένον, τὰς μὲν αὐτῶν φυλακὰς οἷον ἐξουθενοῦντα, αὐτὸν δὲ τὴν τῆς φυλακῆς ἐπιτροπὴν ἔχειν λέγοντα. καὶ ἅμα εἰπόντα ὡς πρὸς ἀκούοντα λέγειν· καὶ γὰρ ὁ κωφὸς ἤκουε παραυτίκα. προστάσσειν δὲ τὴν φωνὴν μεγάλῃ φωνῇ τοῖς φύλαξιν ἐπαγγέλλειν ἐγρηγορότας ὡς ἔνι μάλιστα τῆς B σωτηρίας ἐπιμελεῖσθαι. καὶ θαῦμα παραυτίκα ἐπηκολούθει τῷ θαύματι· ὁ γὰρ ἀκούων ἐφ' ὅ τι πράξοι ἤδη καὶ φωνῶν ἠκούετο, καὶ ἔδειξεν ἐκεῖνος λαλῶν τε λόγους πιστούς. προσπαίει δὲ πᾶσιν, ὅπερ καὶ ἀληθὲς ἦν, ἡ τοῦ βασιλέως ἐκείνου τοῦ ἐλεή-

18. τε] τοὺς?

haud ratus contemneudam advocatis ductoribus ordinum primariis indigitat, eosque in parem secum admirationem manifeste cernentes inducit. placet cunctis dare operam ut hoc quid sit addiscant. mittuntur ab his qui comminus accedentes ad id lumen propius explorent ac comperta referaut. isti nihil plus admovendo se prope quam procul intueudo detegebant, solam et ipsi lampadem videntes, quoad cum multis eo missus accurrit frater custodis arcis, quem mutum et surdum ex ventre matris omnes uorant. atque huius comitibus nihil supra prius missos conspicari contigit: uni muto illi, mysteriorum quasi valvis reseratis, novum est spectaculum oblatum, et fides viso per miraculum in epopta manifestum constitit: qnis enim muto loqueuti credere quod affirmabat cunctaretur? hic igitur e viciuo attentus permanens clare videt non lampadem ardentem sed virum imperatoriis ornatum insignibus, qui prae se ferens diffidere se custodum castri excubiis ut insufficientibus et languide remissis, sese aiebat ipsum urbis sibi tuendae curam assumere. quae loquens audiebatur a prius surdo; eidemque hactenus etiam muto imperabat ut loqueretur, et quidem voce contenta, admonens praesidiarios excubitores etiam atque etiam vigilias intendere, acriterque prospicere saluti periclitautis civitatis. et ecce miraculum miraculo additum: qui enim modo primum audierat sibi praecipientem, nunc etiam, dum iussis obtemperat, semper antehac mutus incipit loqui, clareque praesidiariis cum a se visa tum ipsis mandata pronuntiat, fidem facile prodigii pignore idoneo impetrans. nemini porro his praesentium dubium fuit, id quod re ipsa verum erat, quin per ista declararetur Ioannem illum olim imperatorem, cognomento Batatzam, optimum principem et eleemosynarium a largitionibus in

μονος Ἰωάννου, καθὼς ἂν ὁ Λυδὸς εἴποι, ἐπιστασία, ἐν ᾗ παρὰ θεοῦ φυλάττεσθαι ἐπιστεύοντο.

C 16. *Ἦν μὲν οὖν τὰ καθ᾽ ἡμᾶς καὶ λίαν δεινά, τῶν μὲν ἐκτὸς πόλεως οὐδὲν ὑποστάντων τὴν τῶν Περσῶν ἀνυπόστατον ῥύμην, καὶ διὰ τοῦτο τῶν μὲν φονευομένων τῶν δ᾽ ἀπανισταμένων, τῶν μὲν εἰς πόλεις καὶ φρούρια τῶν δ᾽ εἰς νήσους, ἄλλων δὲ καὶ εἰς τὰ κατ᾽ ἀντιπεραίαν ἀσφαλῆ, ὅπου ἂν καὶ σωθεῖεν, βλεπόντων καὶ ὁρμώντων, τῶν δ᾽ ἐντὸς καὶ λίαν ἐνδεῶς*
D *ἐχόντων τῶν ἀναγκαίων διὰ τὴν τῶν ἐξωτερικῶν ἐξαπώλειαν. βασιλεὺς μὲν οὖν διὰ ταῦτα ὡς οἷόν τ᾽ ἦν ἀντιπαλαμώμενος πρὸς τὰς τῶν δεινῶν ἐπιρροίας, Ἀλανῶν μὲν ἐκείνων καὶ τῶν ἰδίων ἀπεγνωκώς, ἐπὶ σαθροῖς δὲ σαλεύων τοῖς ξενικοῖς, πέμπει καὶ πρὸς Καζάνην τὸν τῶν ἀνατολικῶν Τοχάρων, ὡς αὐτοὶ φαῖεν ἄν, Κάνιν, καὶ γαμικὰς ἐπιμιξίας προτείνει, καὶ ἐπαμύνειν*
P 280 *προσαξιοῖ τοῖς τῶν Ῥωμαίων ἐσχάτως ἔχουσι πράγμασιν. ὁ δὲ καὶ τὴν ἀξίωσιν δέχεται, καὶ τὸ κῆδος (ἐπὶ γὰρ φυσικῇ θυγατρί, ἧς αὐτὸς βασιλεὺς πατὴρ ἐνομίζετο, συνεφώνει) προσυπεδέχετο, καὶ ὑποσχέσεις ἀσφαλῶς ἐδίδου μετελεύσεσθαι τοὺς ἀλά-*

peuperes crebris et magnis merito nominatam, suae peculiari curae ac protectioni (quam *ἐπιστασίαν* Lydus diceret) commissam a deo custodisse ac sedulo defensasse Magnesiam civitatem.

16. Erant porro per haec tempora res nostrae Constantinopoli degentium in summis angustiis. nam qui extra urbem in Asiae continenti domicilium habebant, plane conscii ac multis miserrimisque experimentis quotidianarum caedium, quibus passim sterni contribules suos a Persis videbant, manifesto persuasi nullam sibi vim esse ad obsistendum iis barbaris, partim in urbes aut arces confugiebant, partim salutem in insulis quaerebant, partim quam poterant longissime se a periculo removentes in abditis adversae continentis locis securum effugium trepide captabant. ipsius autem magnae urbis incolae magna intus rerum ad victum necessariarum penuria urgebamur ob vastatas circum desolatasque regiones, unde ad nos solebat annona conferri. ad haec emendanda quantum poterat cura consilioque incumbens imperator, cum nullam iam spem haberet in Romanis copiis, extera vero auxiliari militia proterve saeveque eademque haud satis fida uteretur, unde nec acquiescere animo posset, vertit cogitationem ad certius auxilium a Cazane Tocharorum Orientalium supremo principe (Canin ipsi vocant) Romano imperio conciliandum. mittit ergo ad hunc qui foederis secum conditionem nuptiali necessitudine firmandi offerant, orentque ut qua valebat auctoritate in duces barbaros Romanam ditionem crudelissime vastantes, eis ut ab iniuriis desistant imperet, ac ni faciant, ulturum se minetur, sicque succurrere dignetur extreme laborantibus ac pene iam perditis Romanis rebus. talia Cazanes audiens haud aspernatus affinitatem est; oblatasque puellae, quae proles naturalis Andronici Augusti putabatur, admittens nuptias, ample ac solemniter promisit sese coërciturum, et ni parerent, armis repressurum iniquos gras-

στορας. τοῦτο φημισθέν, ὡς εἰκός, τοῖς μὲν λοιποῖς ἄλλως ᾠκονομεῖτο ἡ περὶ τὰς συστολὰς σπουδή, κἂν ἠφροντίστουν τὸ τέως· ἑνὶ δὲ τούτων τῷ Ἀλάϊδι τὰ κατὰ τὴν Λυδίαν καταδραμόντι, ὥστε καὶ λείαν Μυσῶν, οὐ Λυδῶν φανῆναι τάχει, κατασεισθέντι τῇ φήμῃ τοὺς λογισμοὺς ἔδοξε προνοεῖν ἑαυτῷ τε καὶ B τοῖς ἰδίοις τῶν ἐκ φυλακῆς συμφερόντων. ἀμέλει τοι καὶ τοῖς κατὰ τὸ τῶν Σάρδεων φρούριον ὀχυρὸν ἄλλως ὂν ὡς παλαιᾶς ἀκρόπολιν πόλεως, καθ' ἓν ἄβατον μέρος καὶ τὸ λοιπὸν ἀπόκρημνον, διὰ τὴν παρ' ἐκείνων ἐγκεκλεισμένην ἐπίθεσιν πέμπων ἐπὶ ῥηταῖς ὁμολογίαις συνέπραττεν, ἐφ' ᾧ τοῦ φρουρίου διαμεμερισμένου μακρῷ τινὶ τείχει καὶ ἀσφαλεῖ ἥμισυ μὲν ἐκείνους ἥμισυ δ' αὐτοὺς ἔχειν, κἀντεῦθεν δεσμοῖς ὁμονοίας συνδεῖσθαι, καὶ C ἀνέδην ἐξιόντας ἐκείνους μὲν τοῖς ἰδίοις ἔργοις προσανέχειν ἐξ ὧν τραφήσονται, αὐτοὺς δὲ τὰ οἰκεῖα πάντως ποιεῖν, αὐτῶν μέν, ὡς εἰκός, ἀπέχοντας, ἄλλοις δ' ἐπιτιθεμένους ἐξ ὧν κερδανοῦσι τὸν οἰκεῖον τρόπον καὶ λῃστρικόν. ἐκεῖνοι μὲν οὖν τοιαῦτ' ἠξίουν,

9. ἐγκεκλεισμένοις?

satores. hac apud barbaros per Romaniam impune latrocinantium duces late Cazanis, cuius potentiam norant, comminatione vulgata moti omnes sunt, si minus ad continendam, saltem ad moderandam timidiusque deinceps exercendam saevitiam. nam a plerisque ipsorum parum istas minas curantibus, simulatione tenus sola nec ea longa, delatum edicto Canis est absisti a Romanorum infestatione iubentis. unius inter istos Alaïdis paulo forte minus contumacem audaciam haec denuntiatio concussit. is tunc Lydiam incursans, quasi verteret vetus proverbium, Mysorum e Lydis congerèbat praedas. quod dum agit, novi Cazanis cum imperatore foederis fama improviso ictus, in quandam suae ac suorum securitati consulendi solicitudinem ingressus, hanc praedae, quam ingentem paraverat et cui potissimum timebat, in tuto collocandae rationem excogitavit. est eius metropolis provinciae antiqua urbs Sardes, in qua situ validam et olim munitam arcem tunc adhuc nostrorum quidam obtinebant, ab una parte inaccessam obiectu impenetrabilium molium, ex altero latere immanibus praecipitiis defensam; cuius ideo etiam a paucis et prodire non audentibus insessae barbari licet numero pollentes expugnationem desperassent. huius Alaïs praesidiarios colloquio tentavit, rogans ut quoniam perampla et bifariam divisa munitio erat, partem unam, quod tuto possent facere, sibi concederent. nam praeterquam id sine suo ullo damno facturos fide illis cavere sanctissima spondebat, etiam contra periurium, si quod suspectarent, certum haberent praesidium muri firmissimi, quo duae, de quibus est dictum, arcis unius partes ab invicem discluderentur. ea nostri audientes haud illi quidem multum fidebant promissis barbarorum: caeterum diuturnae clausurae, cuius aliter relaxationem non sperarent, affecti taedio, et rerum inopia ex agri circumsiti longa desolatione necessario secuta graviter pressi, reiiciendam non putarunt qualiscumque conventionis mentionem. Romanis ergo congressum non abnuentibus ad tractandum pressius descenditur. proponunt quid vellent barbari. arcis dimidium concedi sibi postulant, ubi res in tuto suas ha-

καὶ λιπαρῶς ἀντείχοντο τοῦ φρουρίου· τοῖς δὲ τὸ μὲν ἀνθίστα-
σθαι μάταιον ἐνομίζετο, τὸ δ᾽ εὐπειθεῖν, εἰ καὶ μὴ σφίσιν αὐτοῖς
ἀσφαλὲς διὰ τὴν τῶν ἐχθρῶν γειτνίασιν (οὐδὲ γὰρ ἦν ἀρνειοῖς
D καὶ λύκοις κοινὰ ταμέσθαι τὰ ὅρκια), ὅμως διὰ τὴν ἐφεστῶσαν
ἀνάγκην καὶ τοῦ ὑδρεύεσθαί τε καὶ κατασπείρειν ἕνεκα ἀνεκτὸν
ἐδόκει, καὶ συγκατέβαινον. καὶ δὴ πολλούς τινας τῶν Περσῶν
ὑποδέχονται (σωροὺς δὲ χρημάτων αὐτῶν, ὡς εἰκός, σὺν αὐ-
τοῖς εἶδέ τις ἄν), παρὰ τοσοῦτον οὐ συνοικοῦντες τοῖς εἰσα-
χθεῖσι παρ᾽ ὅσον τὸ μεταξὺ τεῖχος σφᾶς ἀπ᾽ ἀλλήλων διεῖργε.
κατά τινα δὲ πυλίδα καὶ συμμετεῖχον ἀλλήλοις ἔνιοι, ὡς ἐλέγετο.
ταῦτα γοῦν ἦσαν ἐπὶ χρόνον, καὶ ἀνακωχὴν τῶν κακῶν κατὰ τὸ
E φρούριον εἶχον. ἐπεὶ δὲ τὰ μὲν τῆς φήμης τῶν Τοχάρων κατ᾽
ὀλίγον ἠσθένουν καὶ ἤδη θάρρος εἶχον ἐκεῖνοι καὶ τῶν φόβων
ἑαυτοὺς ἀνελάμβανον, οἱ τέως ἱκέται ἑαυτῶν γίνονται καὶ τῶν
προτέρων ἀναμιμνήσκονται καὶ ἐπιχειρεῖν τοῖς γειτονοῦσι βου-
λεύονται. ἦν δὲ ἄρα τὸ σόφισμα καθ᾽ αὐτῶν· ἐξ ἴσου γὰρ καὶ
Ῥωμαῖοι ἀντεπιβουλεύειν ἐκείνοις ἔχοντες πρὸς τοῦτο καὶ διυπνί-
P 281 ζοντο παρ᾽ ἐκείνων, τὸ φθῆναι πρᾶξαι παρὰ τὸ παθεῖν κερδα-
λεώτερον ἡγησάμενοι. καὶ δὴ προλαβόντες τὴν ἐπιβουλὴν πέμ-

berent, unde in hostes erumperent, quo se reciperent. Romani reliquam claustro quamlibet valido sibi certissimam servarent, securique inde prodirent ad agriculturam et commercia, eo innoxie reconderent se ac sua, tranquillis circum cunctis beneficio praesentis foederis et constanti benevolentia novorum sociorum late per regionem dominantium. etsi non latebat de his arbitrantes nostros homines quam infida vicinia luporum cum agnis esset, quamque suspectae indutiae pollicentium convictum indemnem sibi prope degentibus, interim dum in alios eiusdem secum gentis ac generis excurrendi latrocinando, ut solebant, sibi licentiam exciperent, tamen quia, ut indicavi, aquatione et agricultura dudum exclusi vitae utilium inopia iam extrema laborabant, stultum esse iudicarunt non praeoptare exitio praesenti quantumlibet ancipites ac duras conditiones turpis etiam foederis. assentiri se dixerunt. mox age sane, in rem venitur. admittuntur in partem Sardensis arcis Persae non pauci. hos a Romanis segregabat murus longus, tamen, ut audio, postico uspiam pervius. stetit haec aliquandiu societas, quam conglutinaverat hinc quidem egestas urgens, inde autem metus ingruens, neuter, si se remiserint, diuturni magister officii. ergo cum lapsu temporis formido quam uinae Cazanis Alaïdi et eius comitibus incusserant elanguescere coepisset, redierunt illi scilicet ad ingenium, et prioris instituti memores secum ipsi statuerunt uti commoditate viciniae ad spoliandos novos hospites, supina, ut putabant, fiducia incautos; in quo sua illos opinio fallebat, unde in caput auctorum fraus perfida recidit. vigiles enim in sui custodiam praesidiarii Sardenses, ubi versari barbaros in apparatu struendarum ipsis insidiarum et violandi crudeliter hospitii sensere, praeoccupare fortiter agendo quam ignave cessando iniuriam perpati utilius arbitrati, clam rogant non longe tunc distantem Romanarum aliquot ducem cohortium, cui ex dignitate pa-

πουσι πρὸς τὸν τηνικάδε τῶν Ῥωμαϊκῶν ταγμάτων ἄρχοντα πριμικήριον ἐξ ἀξιώματος τῆς αὐλῆς. καὶ νυκτὸς ἐκεῖνος λαὸν ἱκανὸν ἐξετοιμασάμενος προσβάλλει τῷ φρουρίῳ, καὶ ἐμφανὴς ἦν τοῖς μὲν προσδοκώμενος τοῖς δ' ἀπροσδόκητος. ὅθεν καὶ οἱ μὲν ἀσμένως δέχονται τοῦτον, τοῖς δ' ἐφίσταται κοιμωμένοις δεινὸς ὄνειρος, καὶ ἐντεῦθεν διατεθείκει σφᾶς τὰ παγχάλεπα.

17. Ὁ μέντοι γε βασιλεὺς Μιχαὴλ ῥαΐσας τῆς νόσου ἔτι B μὲν παρὰ ταῖς Πηγαῖς ἦν, καὶ τῷ μεγάλῳ δουκὶ προσελθόντι ἐκ τοῦ κατὰ τὴν Κύζικον τῶν ἀμφ' αὐτὸν κυδοιμοῦ, ἐφ' ᾧπερ κατὰ τὸ εἰκὸς ἀπονεῖμαι μὲν τὴν προσκύνησιν, ἀπολαύοι δέ γε τῆς θέας δεσπότου δοῦλος, ἄβατος ἦν ἡ πόλις τὸ παράπαν ἐξ ἐπιτάγματος· τὰ γὰρ ἐξ ὑπογύου πραχθέντα παρ' Ἰταλοῖς κατὰ Κύζικον καὶ λίαν ὠδύνα τὸν βασιλέα ἀνάπυστά οἱ γεγονότα, καὶ διὰ τοῦτο καὶ τὴν πρὸς ἐκεῖνον ὁμιλίαν ἀπέστραπται. ἤδη δὲ καὶ τελείας ἐπιβὰς ὑγείας, συνάμα τῇ Αὐγούστῃ τῇ ἑαυτοῦ, ἐπεὶ καὶ αὕτη P 282 συνῆν ἐκείνῳ κατὰ τὰς Πηγὰς ἀπαντήσασα, διαπεραιοῦται κατὰ δύσιν. καὶ ἐφ' ἡμέραις τοῖς κατὰ δύσιν χωρίοις ἐναυλισάμενος, ἐπεὶ ἔδει καὶ ἐπανήκειν ἐς πόλιν καὶ ὁ πατὴρ καὶ βασιλεὺς ἤπειγε τὴν ἐπιδημίαν, ἡμέρᾳ μὲν εἰκοστῇ τρίτῃ Ἑκατομβαιῶνος μηνὸς καταλαμβάνει τὴν Δρίπειαν, τῇ δ' ἑξῆς ἐξέρχεται μὲν βασιλεύς, συνεξέρχεται δὲ καὶ ἅπαν τὸ περὶ τὸν βασιλέα, καὶ μοναχοὶ καὶ οἱ τῆς ἐκκλησίας ἅπαντες συνεξίασιν, οὐδὲ τὸ τῆς πολιτείας ὅσον ἦν ἔκκριτον, ἐκεῖθεν λείποντος. καὶ τότε κατὰ τὸ μέσον τῆς

latina primicerius aulae titulus erat, adesse ipsis ne gravaretur, praevertere proximum insultum perfidorum hospitum necesse habentibus. ille idoneo militum numero secum armato noctu arci Sardensi se admovet. statim apparuit utri expectatus parti, utri adveniret improvisus: nam a Romanis gratulanter acceptus, confestim in sopitos irruens barbaros dirum illis somnium portavit, internecione periuros latrones delens.

17. At Michaël imperator e morbo recreatus adhuc Pegis morabatur; quo cum illum veneraturus et obsequia principi a subdito debita exhibiturus dux magnus e Cyzico venisset, sciens Augustus iunior summo suo dolore quantum ille et eius Itali turbarum modo Cyzici movissent, admittere invisum ex eo sibi hominem noluit, ideoque clausum omnino cuivis teneri Pegarum oppidum praecepit. post haec iam confirmatis plene viribus, una cum sua coniuge Augusta, quae in occursum ipsi Pegas processerat, in continentem inde Occiduam traiicit; et in villis eius tractus per dies aliquot diversatus, cum suum differre in urbem reditum, patre Augusto impatienter urgente, diutius nequiret, tertia et vicesima Ianuarii die pervenit Dripeam. postridie prodit Constantinopoli imperator senior, prodit et eius comitatus universus; monachi praeterea et ecclesiastici universi simul prodeunt, nec lectissimi quique civium ex urbe defuere. medio inter urbem et Dripeam spatio Augustorum occursus contigit, iis mutuis significationibus affectus quas inter tam coniunctos post tam longam

ὁδοῦ βασιλεὺς βασιλεῖ συναντᾷ, καὶ χρόνιος φαίνεται, καὶ ὥσπερ τις τροπαιοῦχος ὑπὸ πολλαῖς ταῖς εὐφημίαις τὴν πόλιν εἰσέρχεται.

B 18. *Ἐν τούτῳ δὲ καὶ Ὀσφεντίσθλαβος τῶν Βουλγάρων, ὡς εἴπῃ τις, βασιλεύς, εἴτε διὰ τὴν ἐκ τοῦ κράλη Σερβίας τῆς ἰδίας ἀδελφῆς διὰ τὸ τοῦ βασιλέως κῆδος παρόρασιν, εἴτε δι' αὐτὴν αὖθις καὶ τὸν ἐπ' αὐτῇ γαμβρὸν τὸν δεσπότην ἐπεσχημένον ἐξ αἰτιῶν ὧν ἐλέχθησαν παρακεκνισμένος, εἴτε καὶ διὰ τὴν τῶν ἡμετέρων δυνάμεων ἐξασθένησιν τῶν βασιλικῶν καταφρονή-*
C *σας πραγμάτων καὶ οἷον τῆς τύχης τῶν Ῥωμαίων κατεπαρθείς, ἐξ αὐτῆς ὡς εἶχε κατατρέχει τὰ κατὰ τὸν Αἷμον φρούρια. καὶ πλὴν ὀλίγων τὰ μὲν κατὰ κράτος ᾕρει, τὰ δὲ καὶ δι' ὁμολογίας προσήγετο. προσδόκιμος δ' ἦν καὶ τοῖς λοιποῖς προσβαλεῖν, εὐκολίᾳ καιροῦ βαρβαρικὴν συμμίξας αὐθάδειαν. ὁ μέντοι γε βασιλεὺς ἐπιθήκην καὶ τοῦτο δεξάμενος τῶν δεινῶν, καλὸν ἡγούμενος καὶ σωτήριον τοῖς ἐκεῖ τόποις τοῦ βαρβάρου τὰς ὀργὰς*
D *προκαταλαβεῖν, ἐκείνοις μὲν ὡς εἶχε βοήθειαν πέμπειν ἠπείγετο, ὅμως γε μέντοι καὶ τὸν ἐξ αὐτοῦ βασιλέα πρὸς δύσιν ὥρμα, καὶ τέως αὐτόθεν ὑπονοῶν καὶ τὸν κατὰ τὸν Κρουνὸν ἐξάρχοντα τὸν τοῦ Σμίλτζου γαμβρὸν Ἐλτιμηρῆν, ὃς θεῖος μὲν ἦν πρὸς πατρὸς Ὀσφεντισθλάβῳ (τῷ γὰρ Τερτερῇ ὡμαιμόνει), δεσπότου δ' εἶχε παρὰ Βουλγάροις ἀξίαν. καὶ διὰ ταῦτα τὴν ὁμαιχμίαν*

primum absentiam visentes existere par fuit. hinc Michaël, velut tropaea referens quispiam, inter multas acclamationes faustas urbem ingreditur.

18. Inter haec Sphentisthlabus Bulgarorum, ut quis dixerit, rex, sive in ultionem repudiatae a crale Serbiae suae sororis, Terteris filiae, adscitaeque in eius locum filiae imperatoris, sive indigne ferens suum intimum affinem Michaëlem despotam, eiusdem nunc germanae suae virum, comprehensum et custodiae traditum ab Augusto fuisse propter eas quas diximus causas, sive despectu afflictae imperii fortunae ob nostrarum debilitationem copiarum, in spes ambitiosas elatus armata manu incursavit Romanas arces limiti ad Haemum impositas, easque, paucis exceptis, aut vi cepit aut conditionibus ad deditionem perpulit. nec his eum fore contentum apparebat aut temperaturum a tentandis aliis, dum eius mixtam ambitioni barbaricam audaciam tam benigna opportunitas commodissimae occasionis ad ulterius promovendum invitaret. imperator isto malorum auctario gravatus, honestum et salutare reputans impetus in loca illa incitatos barbari mature praevertere, quibus eum minari regionibus credebat, festinavit submissis strenue auxiliis firmare. sed et praeterea filium Augustum in Occiduos destinavit tractus. quae interim dum expeditio paratur, suspectans ne se Sphentisthlabo in belli contra Romanos societatem adderet Eltemeres Smiltzae gener, Cruno adsitae exarchus regionis, utpote Sphentisthlabi patruus (frater enim erat Terteris), alioqui magni habitus a Bulgaris, apud quos despotae dignitatem

βασιλεὺς ἀποκρουόμενος, τοῦ μὴ κἀκεῖνον συνεισβαλεῖν Ὀσφεν- P 283 τισθλάβῳ, ἀλλά γε καὶ προσεπαμύνειν Ῥωμαίοις, εἰ δυνατόν, ἐκεῖνον μὲν πέμψας δώροις ἱκανοῖς ἐπειρᾶτο διεκμειλίσσεσθαι, καὶ προνοίαις ἐκ τῆς Ῥωμαίων ἀγάλλειν κατεπηγγέλλετο, τῇ δὲ πενθερᾷ τούτου τῇ τοῦ Σμίλτζου συζύγῳ, αὐτανεψιᾷ οὔσῃ (τοῦ γὰρ σεβαστοκράτορος Κωνσταντίνου θυγάτηρ ἦν) τὰ μέγιστα προσθαρρῶν, ὡς τὸν γαμβρὸν παραπείσοι καὶ ἐκμειλίξαιτο, πέμψας τὸν αὐτῆς ἀδελφὸν τὸν Παλαιολόγον Μιχαὴλ τοῖς ἐκεῖσε τόποις ᾠκονόμει τὰ πρόσφορα. ἦν δὲ βασιλεὺς Μιχαὴλ ἐπὶ τούτοις B προσδόκιμος ἐξελθεῖν, ἐπεὶ καὶ ἐξηρτύετο κατ' ἰδίαν τὰ οἴκοι καὶ βασιλικῶς ᾠκονομεῖτο· ἀποβαλόντι γὰρ τὰ ἀποτεταγμένα οἱ τῶν προνοιῶν κατ' ἀνατολὴν ἐκ τῆς τῶν Ἀγαρηνῶν ἐπιθέσεως προσεκυροῦντο παρὰ πατρὸς τὰ κατὰ δύσιν κτήματα τοῦ δεσπότου Μιχαήλ, ὅσοις ἄρα καὶ ὁ πενθερὸς ἐκείνου βασιλεὺς Μιχαὴλ ἐκ δύσεως ἀγαγὼν ὑπὸ φρικταῖς ὁμολογίαις καὶ τῇ θυγατρὶ συνοικίσας μεγαλοπρεπῶς ἐπολυώρει καὶ ὡς γαμβρὸν ἤγαλλε. (19) τὸ C δ' αἴτιον τῆς ἐκείνου ταλαιπωρίας καὶ ἐπισχέσεως ἤδη μὲν καὶ προανατέτακτο, πλὴν ῥητέον καὶ ἐντελέστερον ὅτι στρατιώτας βασιλικῶν ἀλλαγίων, οἳ δὴ καὶ ἀντολίηθεν ἀποικισθέντες ἐξ ὑπο-

4. δὲ] γε P.

obtinebat, praeoccupare illum donis haud parvis studuit, non desperans sic consequi se posse, non modo ne is suas copias in Romanorum damna fratris filio adiungeret, sed ut contra pro imperio pugnaret. in eam igitur spem bene impensas largitiones ratus, praeter munera missa Eltemeri obtulit annuas e fisco suo pensiones, adhibuitque ad hoc ei persuadendum socrum ipsius, uxorem Smiltzae, neptem ex fratre suam (nam illa ex sebastocratore nata Constantino erat), quam pro consanguinitate intima secum, et necessitudine quae ipsi cum Eltemere utpote genero intercederet artissima, in primis idoneam talis aequestram negotiationis fore credidit. in quo ne illa sibi parceret aut ullam omitteret artem deliniendi generum et ab eo eblandiendi quae volebat imperator, instigatorem ei submisit mulieris istius fratrem Michaëlem Palaeologum. his in antecessum ad tutelam illius limitis provisis, expectabatur iturus quamprimum illuc iunior Augustus Michaël, instruebaturque ac splendide interim adornabatur ista profectio eius. ad quod opus fuit nova illi, unde imperii dignitatem sustineret, assignari a patre vectigalia, quoniam quae dudum ipsi in regionibus Orientalis tractus attributa fuerant, incursionibus Agarenorum perierant funditus universa. quare constituit nunc illi senior Augustus possessiones in Occiduo tractu sitas Michaëlis despotae, quibus illum olim ipsius socer Michaël Augustus Andronici pater, ex Occidente evocatum conventionibus iureiurando firmatis et propriae filiae nuptiis honoratum, ample ac regie muneratus uti generum fuerat. (19) eae cur illi nunc ereptae fuerint, quamve ob causam is comprehensus miserias carceris perferret, iam prius indicavimus, sed et modo idem paulo plenius retexendum. milites imperialium contuberniorum, eiecti nuper, ut diximus,

γύου διὰ τὴν καταδρομὴν τῶν Περσῶν αὐταῖς γυναιξὶ καὶ τέκνοις
ἤλυον κατὰ δύσιν, διά τινος ἑνὸς ἐκείνων τοῦ Κοτέρτζη μέχρι
καὶ ἐς ἑκατὸν προσεκαλεῖτο, καὶ προσιόντας δεχόμενος κατὰ πό-
D λιν ὧν ὅρκους ἀπῄτει πιστῆς προσεδρίας καὶ ξυναυλίσεως, ὡς
σφᾶς εἶναι ἐχθροὺς ἐχθρῶν τῶν ἐκείνου καὶ φίλους φίλων, καὶ
ἀντεδίδου τὰ ὅμοια πρὸς ἐκείνους, τὴν ὁμαιχμίαν προκαθιστάς,
πόλλ' ἄττα διδοὺς καὶ μεγάλα καθυπισχνούμενος. καὶ ταῦτ' ἐ-
πράττετο παρ' αἴσθησιν πᾶσαν, μὴ ὅτι γε βασιλέως, ἀλλὰ αὐ-
τῶν δὴ τῶν συνήθων καὶ ᾠκειωμένων αὐτῷ. ἀλλὰ προσαγγελθὲν
P 284 παρὰ τῶν ἀμφὶ τὸν Κοτέρτζην, δεινὴν βασιλεὺς ὑπενόει μελέτην
καὶ ἀπιστίας ὠδῖνα ὑπώπτευε, καὶ μᾶλλον ὅτι τῆς ἀδελφῆς τε-
λευτησάσης τῇ τοῦ Τερτερῆ συνοικῶν, ἥτις καὶ ἀλλότριον εἶχε
πρὸς τὸν κρατοῦντα τὸ γένος. διά τοι ταῦτα καὶ μηνὸς Ἑκα-
τομβαιῶνος μιᾷ προσκαλεῖ μὲν πατριάρχην προσκαλεῖται δ' ἀρ-
χιερεῖς καὶ κλῆρον, παρόντων καὶ τῶν τῆς συγκλήτου, συνελ-
θόντων τε καὶ μοναχῶν καὶ τῶν τῆς πολιτείας, καὶ εἰς κρίσιν βα-
B σιλεὺς καθιστᾷ τὸν δεσπότην· πρὸς ὃν καὶ εἰς ἀπολογίαν κατα-
στὰς ἐκεῖνος, πολλὰ λέγων καὶ κατὰ τῆς κατηγορίας ἀποδιδρά-
σκειν πειρώμενος, τέλος καταδικασθεὶς τῷ μεγάλῳ παλατίῳ ἐγ-
κλείεται τρισκαιδεκάτῃ Κρονίου αὐτὸς καὶ γυνὴ καὶ τὰ τέκνα, ἃ
δὴ ἀπὸ τῆς τοῦ Τερτερῆ ἀπεγέννησεν. ἀγέλας δ' ἵππων καὶ πα-

Orientali continente coactique incursionibus Persarum inde fugere cum uxoribus et liberis, errabant per Occiduas regiones. ex his Michaël, usus ad id opera unius eorum, Cotertzae nomine, ad centum ad se vocatos, cum in urbe esset, benigne supplices excipiens adduxerat ad sibi clam iurandam clientelam adhaesionemque perpetuam, diserte deo teste pollicendo se fore sine discrimine hostes hostium, amicos amicorum eius. vicissimque suam illis fidem pariter obligaverat, constituta immutabili societate. idque foedus multis protinus donis, maioribus in posterum promissis sanxerat. egerat haec arcano despota, vitata diligenter non modo Augusti conscientia, sed et suorum ipsius familiarium ac domesticorum. verum ea vel Cotertzes vel ex eius comitatu quispiam cum clam Andronico indicasset, gravem ei suspicionem movit adversus despotam velut rebus novis inhiantem parantemque a se deficere. coniecturae verisimilitudinem addebat magnam, quod idem Michaël priori uxore, Andronici Augusti germana, mortua filiam Terteris duxerat, mulierem infensi domui Augustae generis. ob haec quadam die mensis Ianuarii vocat imperator patriarcham, adhibet eodem antistites et clerum, senatoribus quoque praesentibus. convenerant et monachi, nec non e civium ordine permulti. apud hunc coetum reus sistitur Michaël imperatore iudice; iussusque respondere multa dixit in defensionem sui, nec vitare tamen potuit quin tandem damnatus perpetuo carceri addiceretur. die itaque tertia decima mensis Martii Michaël despota, cum uxore Terteris filia et susceptis ex hac liberis, in custodiam apud magnum palatium datus est. eius

σαν ὕπαρξιν τὴν ἐκείνου καὶ κτήματα τῷ υἱῷ καὶ βασιλεῖ δίδωσιν. οὐ μὴν δ' ἀλλὰ καὶ αὐτὴν τὴν ἐκείνου οἰκίαν τῷ δεσπότῃ Ἰωάννῃ προσνέμει. ὕστερον δ' ἐκεῖθεν ἀποδρᾶναι πειραθείς, γνωσθέν, ταῖς κατὰ τὰς Βλαχέρνας εἱρκταῖς ἐγκλείεται.

20. *Κἀντεῦθεν μηνὸς τοῦ αὐτοῦ Κρονίου καὶ οἱ σχιζό-* C *μενοι τῶν ἀρχιερέων ἀπηυδηκότες οἷον καὶ πείσαντες ἑαυτούς, μόλις καταμαλακισθέντες τὰς γνώμας βασιλέως ὡς δυνατὸν κατεπείγοντος, ἐν τῇ τῶν βαΐων ἑορτῇ τῇ μετὰ τοῦ Ἀθανασίου εἰρήνῃ ἀφωσιώσαντο. ὁ δέ γ' Ἀλεξανδρείας Ἀθανάσιος πολλάκις καὶ αὐτὸς παρὰ βασιλέως παρακινούμενος ἀπρὶξ τῆς γνώμης εἴχετο· καὶ οὐκ ἐνεδίδου ὅλως οὐδὲ κατένευε τὴν ὁμόνοιαν. παρ' ἣν αἰτίαν, καὶ τοῦ δόξαι τοῦτον μηδὲ βασιλέως αὐτοῦ μνημονεύειν* D *διὰ ταῦτα, ἤθελον μὲν καὶ αὐτοὶ τοῦ πατριάρχου Ἀλεξανδρείας ἐκκόπτειν τῶν διπτύχων μνημόσυνον, δεινὸν ἡγούμενοι ἣν ἐκεῖνος μὲν οὐδ' ἴκταρ, τὸ τοῦ λόγου, σφᾶς γε προσδέχοιτο, ἐκεῖνοι δὲ καὶ οὕτως ἀξιοῖεν ἐκεῖνον καὶ μνημονεύοιεν. τέως δὲ καὶ πόλλ' ἄττα κατ' ἐπήρειαν αἰτιώμενοι, καραδοκοῦντες καὶ οὕτως τὴν τῆς γνώμης μετάθεσιν, τὸ μὲν ἀποθαρρῆσαι αὐτίκα τὴν τοῦ* P 285 *ὀνόματος ἐκκοπὴν ὡς ἄλλως ἄτοπον ὄν, μὴ φανείσης ἀξιολόγου αἰτίας καὶ ἄντικρυς ἐπὶ δόγματι, πατριάρχου ἀποβάλλεσθαι ὄνομα, μὴ καὶ μᾶλλον θήρα τις ἀνασοβηθείη καὶ ἀντιλαβὰς δοῖεν*

vero magni equorum greges opesque ac res familiaris omnis generis praediaque ac bona soli cuncta in fiscum redacta imperator iuniori Augusto suo filio donavit, exceptis tamen eiusdem aedibus urbanis, quas attribuit Ioanni despotae. sic mancipatus aeterno carceri Michaël fugam inde postea tentavit. sed deprehensus in ergastula Blachernarum est translatus, securius illic habendus.

20. Inde hoc ipso mense Martio abscissi antistites, pertaesi secessionis, tandemque persuaderi sibi passi ab instante continuo imperatore ut finem aliquando turbandi facerent, in festo palmarum convenientes pacem cum Athanasio fecerunt. Alexandrinus tamen Athanasius, utcumque crebro ad idem faciendum instigatus ab Augusto, irrevocabiliter in sententia perstitit, nullis conditionibus in concordiae consilium attrahi ac vel paululum inflecti sese passus. quam ob causam episcopi cogitarunt de nomine ipsius eradendo ex ecclesiasticis diptychis omittendaque inter sacra commemoratione eius, cum praesertim et ipse putaretur in suis liturgiis Augusti mentionem praetermittere, quod patriarchae sibi non probato adhaereret. nec enim ferendum arbitrabantur inconcussam ipsi servari tanti possessionem honoris, interim dum ille ne minimum quidem vellet remittere de fastu, quo iam conspirantia cunctorum antistitum iudicia unus pertinaciter dissentiens damnabat. haec inter se locuti non tamen expedire in executionem impetum ausi sunt, seu spe attrahendi tandem eius in partes, seu veriti ne non satis canonica videri posset tanti patriarchae tali de causa e sacris tabulis erasio, cuius nullus circa dogma error argueretur. ergo ne quasi tumultuosior venatio feras praepropere

τοῖς σχιζομένοις εἰς κατάγνωσιν· σοφώτερον δὲ ποιεῖν ἐδόκουν καὶ εἰσέτι διευθετεῖν, ὡς αὐτίκα ἐκκόψοντες, εἰ καὶ ἔτι ἀντέχοι B καὶ τὴν ἐπὶ τῷ Ἀθανασίῳ μὴ δέχοιτο πρᾶξιν. ἡ δ᾽ οἰκονομία οὕτω πως ἦν, πατριάρχην μὲν αὐτὸν μὴ λειτουργεῖν ὅλως, ὡς ἂν μὴ συλλειτουργούντων κατὰ τὸ εἰκὸς διακόνων ὁ Ἀλεξανδρείας ἐπὶ τῶν διπτύχων συμμνημονεύοιτο, ἱερεῖς δὲ μόνους ἄτερ διακόνων ἱερουργεῖν. καὶ τοῦτο ἐπράττετο μὲν καὶ ἐν ἀνακτόρων, ἐπράττετο δὲ καὶ ἐπὶ τῷ μεγίστῳ ναῷ, καὶ ἄλλαις μὲν ἡμέραις, μάλιστα δὲ δημοτελέσι καὶ ἑορτασίμοις, ὡς κἂν τῇ τῆς ὀρθοδο- C ξίας κοινοπληθεῖ, ὅτε βασιλέως ἐνδημήσαντος καὶ πλήθους ἱκανοῦ συναχθέντος ὁ μὲν πατριάρχης ἠπράκτει, ἱερεὺς δὲ μόνος ἀπερικτυπήτως πάντῃ καὶ ἀνηκούστως, μηδὲν ἐπαϊόντων διὰ τὸν θόρυβον, τὰ τῆς ἱερουργίας ἐξέπραττεν. ὡσαύτως δὲ καὶ ἐν ταῖς πασχαλίοις ἐγένετο. ὕστερον δ᾽ ἐσαῦθις κατὰ τὴν μνήμην τοῦ ἐν μάρτυσι περιφανοῦς Γεωργίου ἐκκόπτουσι καὶ μνημόσυνον, κατὰ τὸν ἐν τοῖς μαγγάνοις νεὼν λειτουργήσαντες, ὃς ἀνεῖται τῷ μάρτυρι.

D 21. Ηὔξανε δ᾽ ὁσημέραι καὶ αὖθις τὸ ἀπὸ τῶν Περσῶν δεινόν, ὥστ᾽ ἀποκεκλεῖσθαι πανταχοῦ τὰς τῆς σωτηρίας ἐλπίδας. τί γὰρ τῶν δυσχερῶν ἀπῆν; καὶ ἐῶ τὰ μακράν. ἀλλὰ τὰ κατὰ θύραν ταῦτα καὶ τῆς βασιλίδος προαύλια. τὰ δ᾽ ἦν εὐθὺς νηὸς

abigeret et novi quidpiam incommodl ex facto ancipiti nasceretur, unde ansam avulsi adhuc alii suarum roborandarum partium sumerent, consultius tunc quidem visum temperamento quodam uti huiusmodi, quo et periculum eius ignominiae sic Alexandrino inteutaretur, ut re tamen integra non excluderetur idem aditu resipiscentiae, nec tamen alea novi damni iaceretur. decreverunt deinceps solemnes a patriarcha celebrandas ipso liturgias omittere, in quibus videlicet recitari a diaconis nomina patriarcharum orthodoxorum, cuncto audiente populo, necesse foret, vice autem earum sacro defungi per privatum faciendo sacerdotem, sine diaconorum ministerio. hoc ita factitari exinde coepit in aede sacra palatii, hoc idem in templo maximo, non profestis solum diebus, sed et in solemnitatibus etiam populi concursu celebribus. itaque die ipsa orthodoxiae, cum et de more imperator in templum advenisset et densus adesset populus, patriarcha non comparuit, sacerdos autem simplex citra pompam et cantum, nemine, praesertim in turbae magnae strepitu, exaudiente quid mussitaret mysta celebrans, sacro utcumque defunctus officio est. similiter et in festis actum Paschalibus. eademque arte in solemni quoque paulo post celebrata sancti martyris Georgii memoria necessitas nominandi palam e diptychis Alexandrini lucrifacta est, liturgia in templo Manganorum, ubi sancto isti honos annuus habetur, submisse peracta.

21. Crescebat inter haec magisque ac magis in dies invalescebat a Persis malum, adeo ut omnis undecunque salutis spes excluderetur: quid enim miseriarum aberat? mitto longinqua. videamus quae in portis urbis gerebantur, in ipso imperialis regiae vestibulo. navi te illic exscenden-

ἀποβαίνοντι τῷ τὰ στενὰ τοῦ Βοσπόρου περαιουμένῳ, ὥστ᾽ ἀφειμένῳ θαλάσσης λαμβάνειν κίνδυνον. ἀνέδην γὰρ διέτρεχον πανταχοῦ τῆς περαίας, καὶ κατεσκήνουν ὅπου ἦν βουλομένοις αὐτοῖς, καὶ ταῦτ᾽ οὐκ ἰλαδὸν στρατεύουσιν ἀλλ᾽ ἀσυντάκτως καὶ P 286 *κατ᾽ ὀλίγους, ὥστε κεῖσθαι τὴν περαίαν τῆς Βυζαντίδος Σκυθῶν, ὃ δὴ λέγεται, ἐρημίαν, μηδενὸς τολμῶντος φανῆναι, ὅτε συνέβαινε καὶ παραβολώτερόν τινες διαπράττεσθαι καὶ ἐκθέειν τολμῶντας, ζήλου τινὸς πείθοντος ἢ καὶ μᾶλλον ἐνδείας πιεζούσης, τριβομένου τοῦ χρόνου καὶ τῶν ἐφοδίων σφίσι καταναλωμένων, ἅπερ οἴκοθεν ἀπεφέροντο. τὰ δ᾽ ἦσαν μᾶλλον εἰς κίνδυνον. ὅθεν καὶ οἱ μὲν ἐκωλύοντο ἀπειλαῖς τῶν κρατούντων καὶ φόβῳ σωφρονιζόμενοι· οἱ δὲ τολμῶντες, ἣν πού τις προεξέδραμε* B *ἱκανὸς δοκῶν ἄγειν σύντομον (λοχαγὸν τὸν τοιοῦτον εἴπῃ τις ἂν) καὶ ἐπὶ τὸ παρὰ πᾶσαν αἴσθησιν ἐξήρχοντο, ὥστε καὶ συνέβαινε ποτὲ μὲν εὐστοχεῖν ὀλίγοις πρὸς πολλοὺς γυμνοῖς καὶ ἀνόπλοις, πολλάκις δὲ καὶ σφάλλεσθαι. καὶ οὐκ ἦν σχεδὸν ἡμέρα καθ᾽ ἣν ἢ μὴ τοῖς κατὰ θάλασσαν φρουρίοις προσβάλλοντες ἠκούοντο ἢ μὴ ἀπάγοντες αἰχμαλώτους ἢ μὴ φονεύοντες, καὶ μᾶλλον ὅτε καὶ ἱκεσίαις ἐχρώμεθα πρὸς θεόν, τὸ οἴκτιστον. διεῖχε δὲ μόνος ὁ* C

7. τινες] τι?

tem statim a traiecto Bosporo exciperent pericula extrema spoliationis, captivitatis, caedis, tota, quanta patet, ulterioris continentis latitudina raferta latronibus saavissimis, impune quo liberet ruentibus, et ubicumqua vellent fixo tentorio securam habentibus stationem. atqua ii na tantum quidem armis Romanis impartiebant reverentiae, ut metu aorum aliquo saltem simulando circumspecte incedere, ire turmatim servatisva ordinibua curarent: temere vagi manipulis modicis, quam nostri contemptus fecerat, confidentia cursabant. iamque adeo illae celebratae adagiis solitudines Scytharum non alibi verius quam in ora Byzantinaa urbis obiecta muris, subiecta oculis reperirentur, nemina illic nostrorum audente comparere, quantacumqua necessitas vocaret, etiam urgentis egeatatis, eos qui rure sa reliquissa recordarentur quo in urba indigebant. qui si vellent aleam iacere brevis excursiunculae, etiam a magistratibus prohibebantur tamquam ad mortem praesentissimam ituri. quamquam suus quemque satis coërcebat metus, vulgatis exemplis prodire ausorum, qui utcumque periti compendiorum et captato usi tempore, ubi minime putarant, duci barbaro cum sua turma in insidiis delitescenti occurrerant infortunio suo maximo. nec felix in eo genera temeritas quorumdam, qui pauci et inermes armatorum plurium manua effugisse ferebantur, multum ad similes ausus frequentandos incitabat: rari enim hi casus erant; qualium expectationi nonnisi stulti caput committendum ducerent. nulla porro dies praeteribat, qua non audirentur Persaa in aliquam arcium ad mare sitarum incurrisse, ad cuius portas aut caedes fecissent aut captivos prebendissent. idqua, rem miserrimam! iis frequentius diebus accidebat, quas festas et bene feriatas babebamus supplicationibus rite deo adhibendis ei propitiando. cernebamusque ex hoc littore trans fretum angustum, quo

πορθμὸς οὗτος. καὶ πολλάκις μὲν μεθ' ἡμέραν ἐφαίνοντο τοῖς ἐντεῦθεν ἀφορῶσι καὶ πεζοὶ καὶ ἱππεῖς· κἄν που δέ τις ἢ ἐνδείᾳ ἐξαπορούμενος κἀντεῦθεν ἐλπίζων κερδαίνειν ἐκ τῶν ὑπολελειμμένων ἄλλοις, ἢ μὴν καὶ κατὰ χρείαν ἑτέραν ἢ τοῦ σφετέρου κτήματος ἐπιμέλειαν ἐξορμᾶν ἐτόλμα, αὐτίκα ἢ ἡλίσκετο ἢ ἐκτείνετο. καὶ πολλοὺς ἂν εἶδες ἐσφαγμένους ἢ τετρωμένους εἰς θάνατον, ἔστι δ' οὗ καὶ κεφαλῆς ἄνευ καὶ κόρσας ἀναύχενας. πεD πλήθει δὲ τῶν ἀγρομένων ἡ πόλις, καὶ ἐστενοχωρεῖτο τοῖς πανταχοῦ κειμένοις εἰκῇ τε καὶ ὑπαιθρίοις, πνοῇ ζῆν καὶ μόνῃ πιστευομένοις· λιμὸς γὰρ ἐντεῦθεν καί γε λοιμὸς τοὺς ἀθλίους διεμεριζέτην. καὶ οἱ ἀστικοὶ τοῦ κακοῦ παραπήλαυον, καὶ οἱ μὲν αὐτίκα τοῖς δεινοῖς συνείχοντο καὶ ἄποροι διῆσαν καὶ ἀμήχανοι, οἱ δὲ ὅσον οὔπω τὰ τοῖς πλησίον συμβάντα καὶ ἑαυτοῖς ἐπ' ἴσης E ἤλπιζον. οἱ δὲ μὴ μόνον Χηλῇ τε καὶ Ἀστραβητῇ, ἀλλὰ καὶ Ἱεροῦ φρουρίῳ προσβάλλοντες τὰ πάνδεινα διεπράττοντο, ὥσπερ ὑπνώττοντος βασιλέως ἢ μὴ ζῶντος. Νικομήδεια δ' ἐξησθένει, λιμῷ τε καὶ ἐνδείᾳ ὕδατος πρὸς τὸ ἀμηχανώτερον μετεβάλλετο. ἡ δέ γε περίπυστος Νίκαια ἀποκέκλειστο, καὶ τὰς πέριξ χάριτας

1. οὗτως P.

uno a morte protegebamur, equitatum et peditatum hostilem campo secure adverso potientem, frustra recognoscente unoquoque, dum ex effugio in urbe captato villam aut rus patrium respicit, loca ubi recondidit qua hic eget, quam nequidquam requirit, annonam, certissimus, si repetere attentet, morte se crudeli audaciam luiturum. iacebant quippe per agros passim cadavera vel mutila membra sic caesorum. quidam ex letali vulnere neglecti animam agebant. truncum ibi capite corpus, illic faciem a collo abscissam cerneres. redundabant plateae civitatis conferta illuvie fugitivorum ex omni circum agro rusticorum, deeratque ubi pedem ambulantes per vicos figerent, solo ubique constrato iacentibus temere corporibus fessae, omnium inopis, vix aegre trahendo spiritu vitae indicium dantis plebeculae, sub divo diurnis iuxta nocturnisque coeli iniuriis expositae, quam praedae habebant et inter se partiebantur duo non mitiora barbaris mala, fames et lues, incommodo se ad civium quoque ac tecta intra urbem habentium infestationem propagante. nam et quosdam invadebant morbi contage propagati; et tanta turba cibos absumens ne a felicibus quidem et domi copiosis sensum egestatis abstinebat. praeterque humanis animis miserationem inevitabilem in conspectu patientium extrema, etiam sui cuique denuntiatio periculi clades alterius visa fiebat, anxie cunctis expectantibus in quae alios iam incurrisse exitia cernebant. interim barbari non modo Chelem et Astrabiten, sed et arcem Hieri hostiliter aggressi, dira illic exempla feritatis immanis ediderunt, velut dormiente imperatore aut in vivis numerari desito. Nicomedia summe debilitata fame et aquae penuria redactam se ad incitas gemebat. inclyta vero illa quondam Nicaea vix se clausa tuebatur, amoenitatibus undique abscissa circumsitis, angustiis intus et ipsa penuriae constricta, diris in horas et momenta exanimari solita nuntiis captorum a barbaris in vicinia

ἀποκειραμένη ἐνδείᾳ καὶ αὕτη ἐστενοχώρητο. καὶ νῦν μὲν Βηλόκωμα, νῦν δ' Ἀγγελόκωμα, νῦν δ' Ἀναγουρδῆς καὶ Πλατανέα καὶ τὰ Μελάγγεια καὶ τὰ πέριξ πάντα τῶν ἐνοικούντων ἔρημα P 287 γεγονότα θρήνους ἐφείλκοντο τῶν εἰδότων. ταῦτα Κρούλλα καὶ Κατοικία πεπόνθει καὶ χείριστα. ὡς γὰρ ἀποκέκλειστο μὲν ἡ ἐξ Ἡρακλείου καὶ Νεμικώμεως πρὸς τὴν Νίκαιαν, καὶ αἱ παλαιαὶ καὶ συνήθεις δίοδοι εἰς δεινὴν ὑποψίαν καὶ πεῖραν ἦσαν πολλάκις κινδυνευσάντων, ἡ δὲ κατὰ Κίον κατάσκιος καὶ συνηρεφὴς εἰκαίως πως πολισθεῖσα διεκδρομὴ πρὸς Νίκαιαν ἤνοικτο, οὕτω ἐν φόβῳ καὶ τότε μεγίστῳ καὶ ὑποψίᾳ· τὰ γὰρ αὐτὰ τοῖς Χαλκιδεῦσι καὶ Ἁλιζῶσι καὶ οἱ Βέβρυκες ἐκ Πυλῶν καὶ Πυθίων παρωνυμούμενοι ἔπασχον. B καὶ ἦν τοῖς ἀποβᾶσι θαλάσσης κατὰ τὴν Κίον, τὴν ἡμέραν προσκαρτερήσασι, νυκτὶ πιστεύειν τὴν σωτηρίαν, καὶ καταλαβοῦσι τὸ ἐκεῖσε παράλιον τῷ περὶ τὴν Ἀσκανίαν πλῷ χρῆσθαι, καὶ οὕτω κατὰ τὴν τοῦ αἰγιαλοῦ πύλην τῆς πόλεως ἀποβαίνουσι διεκπαίειν εἰς Νίκαιαν, ἐπεὶ οὐκ ἦν τότε τὰς πύλας ἀνοίγεσθαι ἐπικειμένων τῶν ἐχθρῶν, καὶ τὰ μέγιστα Νικαεῖς ἐκινδύνευον. διὰ ταῦτα τὸ ὅλον ὁ κρατῶν ἀναστέλλειν οὐκ C

florentium uuper oppidorum. uunc enim illic audiebatur direpta Belocoma, nunc Angelocoma, mox Anagurda et Platanea et Melangea subiacuisse saevitiae Persarum; cunctaque per circuitum incolis abactis desolata, luctu acerbo incendebant eius cives urbis, famae subinde indicio de his admonitos. haec ipsa et his peiora Crulla et Catoecia pssae ferebantur. perveuiebatque omnium notitia Nicaeam, quia etsi tritae olim ad illam urbem viae, quae ab Heracleo quaeque a Nemicomeo frequentari consueveraut, tunc prorsus incelebres squallerent, ob exempla passim nota spoliatorum aut trucidatorum in ipsis viatorum metu iam omnium impenetrabiles creditae, tamen una libera et sperta restabat, quae a Cio tenditur, silvis densa et raris sparsa aedificiis, ideoque incursibus latronum culta et colonis plena quaerentium minus iufesta. hoc itiuere affluebant ad Nicaeenses nova quotidie argumenta plangendi, aliis super alias, quae sine fine cumulabantur, cognitis cladibus, siquidem et similia iis quae Chalcidensibus et Alizouihus acciderant, patiebantur quoque Bebryces ex Pylis et Pythiis conflato uomine insignes. eademque mox Nicaeae narrabantur, perlata illuc via secura, quam hic iuvat describere distinctius. qui in continentem Asiae mari exsceuderant, totam apud Cium diem morati salutem suam nocti committebant. sic velut isthmum emensi quendam, ubi pervenerant iu latus illic alterum orae maritimae, ad Ascaniam iterum navigatione utebantur, qua littorali Nicaeae portae appulsi in eam illac urbem admittebantur. ostiorum enim terras spectautium usu tunc ultro ea urbs abstinebat reliquorum, sic agere coacta timore imminentium sibi omni ex parte barbarorum hostium, a quorum etiam numero et fera potentia indesinenter instantium iugens erat sane periculum, ue non et haec ipsam tam attenta custodia satis ad extremum tueri posset. quod tanti momenti discrimen imperatori notum movit eum, quamquam haud valeutem occurrere tot aliis simul urgentibus, ad aliquid saltem pro

τῶν ἰδίων σκευῶν, ὅσα χρυσοῦ καὶ ἀργύρου ἦσαν ἐξειργασμένα,
συνοτρυνούσης εἰς τοῦτο καὶ τῆς Αὐγούστης Μαρίας (τὰ γὰρ
πλεῖστα ἐκ τῶν αὐτῆς ἦσαν προικώων, ὧν οἴκοθεν ἐπεφέρετο)
πέμπει πρὸς πόλιν, εἰς νόμισμα ταῦτα κοπῆναι προστάσσων.
ὃ δὴ γεγονὸς τὴν ταχίστην, καὶ στρατὸν εἰς χιλιοστύας ἐξετοι- B
μασάμενος, ἐπὶ τῆς Ἀνδριανοῦ σὺν πολλῷ τῷ θάρρει σφίσι συν-
εξορμᾷ. καὶ τὴν Αὐγούσταν ἐκεῖ καταλιπών, πρότερον τὴν
θεοτόκον ποτνιασάμενος, κατὰ τὸν ἔξω ζυγόν, ὃν καὶ Ῥωμανίαν
λέγουσιν, εἰκοστῇ τρίτῃ Ποσειδεῶνος ἀρεϊκῶς εἰσβάλλει, καὶ τὰ
ἀπὸ Ῥεαχούβεως καὶ ἐς Στίλβνον μέχρι καὶ Κόψεως, τὴν πα-
λαιὰν παροιμίαν ἀνανεούμενος, λείαν Μυσῶν ἀπεργάζεται, καὶ
τὸν Ἐλτιμηρῆν ἀποκλείει. αὖθις δὲ τὰ ὅμοια δράσας καὶ ἐφ' C
ἡμέραις τὴν τῶν ἐναντίων καταδραμὼν πρὸς Ὀρεστιάδα ἐπανα-
ζεύγνυσι. ταῦτ' ἀκουσθέντα ἐκ τῶν πρὸς τὴν Αὐγούσταν Μα-
ρίαν τοῦ ἀδελφοῦ τοῦ βασιλέως Θεοδώρου γραμμάτων, ἡ ὁμω-
νυμία τῆς Ῥεαχούβεως θόρυβον ἐμποιεῖ βασιλεῖ. τὸν γὰρ Στίλ-
βνον εἰδὼς ἐκ φημῶν καὶ τὴν Κόψιν, ἐπεὶ καὶ περὶ τῆς Ῥεαχού-
βεως ἐρωτῶν ἐγγὺς τῶν ὁρίων Τερνόβου ταύτην ἤκουε κεῖσθαι
ἐκ μεσημβρίας, ἡμερησίαν ὁδὸν διέχουσαν, χλεύην ὅλως ὑπελάμ- D
βανε τὰ γραφόμενα, καὶ οὔτε συμβαλεῖν εἶχεν εἰς ἓν τὰ πόρρω

aurea et argentea extulerat ad familiare ministerium, conflari et in nummos signari iussit, ultro ad id ipsum adhortante Maria Augusta ipsius coniuge, cuius ea pleraque dotalia erant bona, domo paterna, dum ad nuptias Michaëlis duceretur, elata. ex his Constantinopolim missis et illic cusis in monetam confestim auctus pecunia Michaël, multorum millium exercitu parato, cum hoc Adrianopolim fiducia magna se contulit. ibique Augusta relicta, prius deiparam veneratus, in regionem iugo exteriori subiectam, quam et Romaniam vocant, vicesima tertia Augusti die hostiliter incurrit, et a Reachubi ad Stilbnum, hinc usque ad Copsim, veterem renovans paroemiam, cuncta late praedam Mysorum fecit, Eltimeremque exclusit. hinc cursu converso, pari obvia vastandi felicitate alias quoque hostium terras incursans ad Orestiadem pervenit. haec cognita Constantinopoli primum sunt literis eo Adrianopoli missis ab Augusta Maria, quas ad illam ex ipso exercitu dederat Theodorus Michaëlis Augusti frater. quibus sic Andronicus imperator auditis turbatus parumper est, animum dividens in admirationem et solicitudinem. causa commotionis fuit homonymia duorum locorum, quae diversa et ab invicem longe dissita uno tamen et eodem Reachubis appellantur nomine. norat ille ex fama, ubi Stilbnus, ubi Copsis essent sitae. quoniam autem alium terminum depraedatarum a Michaële Augusto terrarum memorari Reachubin videbat, et de hac percontans audiebat propinquum hunc locum esse finibus Ternobi regiae urbis Bulgarorum a meridie, non plus quam diei unius itinere medio, mirabatur tantum spatium hostilis ditionis uno incursu vastari a nostris potuisse, illudique sibi ac falso haec iactari suspectabat; praeter-

διεστῶτα, καὶ τόλμαν ὄντως εἰκαίαν, εἰ τοῦτ' ἐπράχθη, καὶ
κίνδυνον ἀναγκαῖον τοῖς εἰσελθοῦσιν ὡς τὸ εἰκὸς ὑπελάμβανεν.
ἦν δὲ ἄρα, ὃ καὶ ἐκ τοῦ παρασχεδὸν ἠκούετο, ἑτέρα τις ὁμωνυ-
μουμένη Ῥεάχουβις, ἣν καὶ ὑποκοριζόμενοι ἄνθρωποι Ῥεαχο-
βίτζαν ἐκάλουν. καὶ οὕτω θόρυβος μὲν ἐπέπαυτο, τὸ δ' ἀσφα-
E λὲς τῶν γραμμάτων κατελαμβάνετο. οὔπω δὲ καὶ Ποσειδεὼν
ἐπληροῦτο, καὶ ἐντελεῖς φῆμαι, μήνυτρα καθαρὰ ἐκ τῶν ὑστέ-
ρων ἐπαναζεύξαντος, λίαν διεβεβαίουν ὡς οἱ Βούλγαροι ἔκαμον.
P 310 29. Τοῦ δ' αὐτοῦ ἔτους καὶ ὁ τῶν Λαζῶν ἀρχηγὸς καὶ
τῆς βασιλέως αὐταδέλφης παῖς Ἀλέξιος, τῇ δεσποτικῇ σεμνυνό-
μενος μοίρᾳ καὶ τὸ Τραπεζήϊον ἄστυ κατέχων, Γεννουΐταις γί-
νεται διὰ μάχης ἐξ αἰτίας τοιᾶσδε. Γεννουΐταις ἦν σύνηθες ἐξ
ἀρχαίου κατοικοῦσι τὴν χώραν ἀπομερίζειν τὰ κέρδη ὧν μετεχεί-
ριζον ἐκ κομμερκίου λεγομένου Ῥωμαϊκῶς τοῖς τῆς χώρας ἄρχου-
σιν. ἐπεὶ δ' ηὐξάνοντο κατὰ πόλιν καὶ ταῖς ἀτελείαις ἐμεγαλύ-
νοντο, ὥστε καὶ τὴν ἀντιπεραίαν τῆς Βυζαντίδος ἀποχαρισθῆναι
B σφίσιν εἰς οἰκισμὸν ἅμα μὲν ἀσφαλῆ ἅμα δὲ καὶ μεγαλοπρεπῆ τοῖς
οἰκοδομήμασιν, ἠδόξουν ἐντεῦθεν τὴν ἐκεῖ τῶν φορτίων ἀναψη-
λάφησιν, καὶ βαρέως ἔφερον τὰς εὐθύνας, εἰ παρὰ βασιλέως

eaque metuebat ne, si vera narrarentur, ii nimium intra hostium praesidia progressi audacia inconsulta locum cladi dedissent, ni propere succurreretur, mox accipiendae deprehensis illic unde receptus non daretur. re autem vera nihil tale peccaverat Michaël, proculque a circumventionis periculo aberat. non enim usque ad Reachubin Ternobo vicinam processerat: sed erat procul ab ista priori distans alia Reachubis, quam vel ad differentiam vel ad significandum hanc illa minorem esse homines illorum tractuum diminutiva forma Reachubitzam vocitabant. hoc postmodum comperto acquievit imperator, et agnita literarum fide gaudium prosperi successus animo securo cepit. nondum totus mensis Sextilis effluxerat, cum iam fama facti constans et indicia sincera perlata in urbem plene illic cunctis persuasere, graviter a nostris Bulgaros premi laborareque res horum.

29. Eodem anno Lazorum princeps, sorore imperatoris natus, Alexius, despotica insignis potestate et urbem illic Trapezuntem obtinens, pugnam fecit cum Genuensibus, tali quadam ex causa. Genoensibus ex antiquo inquilinis regionis eius erat solitum lucri partem ex commercio quaesiti impertiri loci principibus. at postquam ii aucti opibus Constantinopoli numeroque sunt, et illic immunitatibus donati tributorum splendore atque opulentia excreverant, eo quidem usque ut Galatam, adversum in Orientali continente Byzantio suburbium, concessu Augustorum in proprium sibi domicilium haberent, simul egregie munitum ad securitatem, simul magnificis superbe ornatum aedificiis, ignominiosum deinceps sibi putarunt pati amplius perscrutationem sarcinarum suarum, quae Trapezunte fieret ad excipiendam inde principi debitam partem; ac coërceri, dum in fraude deprehendebantur, graviter ferebant, indignum esse causantes, qui tam honorificis privilegiis immunitatis ornati ab imperatore

ἀτελείαις τιμώμενοι τοπαρχοῦσιν ἄλλοις καθυποκλίνοιντο. ὑβριοπαθοῦντες τοίνυν ἐντεῦθεν ἐκ τοῦ κοινοῦ σφῶν συνεδρίου πρέσβεις πρὸς τὸν Ἀλέξιον πέμπουσιν, ἀπαιτήσεις τινὰς προτεινόμενοι, αἷς ἐκείνου μηδ' ὅλως συντιθεμένου ἀναχωρεῖν τῆς χώρας παμπληθεί τε καὶ πανομιλεὶ εὐθέως ἐσχηματίζοντο. κἀπειδήπερ καὶ C νῆες μακραὶ σφῶν τῷ λιμένι ἐνώρμουν, τὴν ἀπανάστασιν διεκήρυττον. καὶ οἱ μὲν ἐκήρυσσον μάλ' ὦκα, οἱ δ' ἡτοιμάζοντο. ὁ δ' ἀρχηγὸς τῆς χώρας ἀναχωρεῖν μὲν ἠφίει καὶ ἠφροντίστει τῶν φαινομένων, πλὴν τῆς τῶν φορτίων τέως μερίδος ἄνωθεν καταχθέντων καὶ λίαν ἀντείχετο ὡς ἐπὶ τῆς χώρας αὐτοῦ γεγονότων. οἱ δὲ τῷ καθ' αὑτοὺς καὶ συνήθει φρονήματι ἐμετεωρίζοντο, καὶ πρὸς τὰ ἐπεσταλμένα ἀντέτεινον καὶ ἀντέσπων. κἀντεῦθεν Ἴβηρας ἔχων ἐκεῖνος τὴν πρὸς σφᾶς ἀναθαρρεῖ μάχην, καὶ παραυτίκα ἔρις καὶ πόλεμος ἐξ ἑκατέρων συγκροτεῖται, καὶ P 311 ἀλλήλους ἔβαλλον, καὶ συνεχεῖς ἔπιπτον· ῥέπει δ' ἡ νίκη τοῖς Ἴβηρσι, καὶ κακῶς Γεννουῖται εἶχον. τέλος ταῖς τῶν Ἰβήρων προσβολαῖς ἀντέχειν μὴ ἔχοντες, καὶ πρὸς τὰ ἐφεξῆς δεδοικότες, πῦρ ἐνιᾶσι τῇ ἔξω τῆς πόλεως χώρᾳ, οὐ κατὰ χρείαν νίκης, ἀλλ' ὥστε μόλις τὸ κακὸν ἐκφυγεῖν θορυβηθέντων τῶν ἀντιπάλων. τὸ δ' ἦν ζημία μὲν οὐ μέτρῳ ποσουμένη καὶ τοῖς αὐτό-

fuissent, eos a minutis toparchis teneri tamen vectigales et subiectos. hoc ergo iniuriae loco ducentes primum ex communi concilio ipsorum legatos ad Alexium mittunt, quaedam postulantes; quibus cum illa haudquaquam assentiretur, statim ipsi simularunt migrare se simul omnes e Lazorum terris nunquam redituros velle. ac quoniam naves ipsorum longae in portu stabant, subito per eas omnes praeconio edicunt, expedirent se cuncti ad proximum abitum. quam id imperatum celeriter, tam prompte impigreque, ut sine mora pareretur, a singulis opera dabatur. nihil his motus Lazorum princeps, abire quidem Genuenses perfacile passurum se ostendit, sive intelligens haec in speciem obtendi, sive ut ex vero res gereretur, commercium eorum parum curans. caeterum praefracta instituit exigere, prius quam solverent, id quod ipsi pro sarcinis iam ante ab iis in suam terram illatis iure hactenus recepto deberetur. Genuenses ad hanc denuntiationem principis in consuetam ipsis elati confidentiam, facturos quod poscebatur palam se negabant, retrahebantque interim, quantum poterant, merces in naves. hic enim vero cunctandum amplius princeps haud ratus, quas habebat ad manum Ibericas copias ad pugnam expedit. committitur praelium utrinque, volantibusque ultro citroque iaculis plurimi invicem cadunt. victoria porro haud dubie vergebat ad Iberos, maloque stabat loco sors Genuensium. ad extremum incumbentibus vehementius Iberis, Genuenses resistendo impares, et quod secuturum metuebant praecaventes, ignem iniiciunt in exterius suburbium Trapezuntis non ad spem victoriae, sed quo, si forte, trepidantibus ad extinctionem incolis, aliquam inire rationem possent se ac sua in tutum subducendi. damnum ex hoc

B χθοσιν, οὐχ ἧττον δὲ ἀλλὰ καὶ πολλῷ μᾶλλον ἐζημίου κἀκείνους τὸ πῦρ· φορτία γὰρ ἐκεῖνα δυοκαίδεκα ναυσὶν ἀρκέσοντα πρὸς τὴν πλήρωσιν (τόσαι γὰρ καὶ προσώκελλον ἐν λιμένι) δαπάνημα γίνονται τοῦ πυρός. καὶ τοὐντεῦθεν ταπεινωθέντες τὰ τῆς εἰρήνης ἠσπάσαντο.

C 30. Οὐ μὴν δὲ καὶ ἡ κατὰ δύσιν βασίλισσα Ἄννα, ἡ καὶ αὐτανεψία τοῦ βασιλέως, τῶν ἐκ τῶν Ἰταλῶν ἀνεῖτο κακῶν, ἀλλ' ἐπεὶ τοῦ πρὸς τὸν βασιλέα Μιχαὴλ ἀποκρουσθεῖσα κήδους διὰ τὴν συγγένειαν τὸν τοῦ Καρούλου υἱὸν ἐπεγαμβρεύσατο Φίλιππον, καθὼς φθάσαντες εἴπομεν, καὶ πόλεις ἦσαν καὶ χῶραι D τὰ εἰς προῖκα δοθέντα, οἱ μὲν ἐξ αὐτῆς χειροῦσθαι τὰς πόλεις ἠβούλοντο καὶ Ἰταλικαῖς διοικήσεσι τὰ κατ' ἐκείνας ἰθύνειν, Ἄννα δ' ἠργολάβει καὶ ἀνεβάλλετο, προβαλλομένη τὴν τῆς θυγατρὸς Ἰθάμαρ πρὸς τὰ Ἰταλικὰ ἤθη συγκείμενον ὂν μὴ μεταπεσεῖν ὅλως βιασθῆναι μετάκλησιν. διὰ ταῦτα καὶ πρὸς βασιλέα αὕτη ἀπέκλινεν, καὶ τὸν παῖδα Θωμᾶν γαμβρὸν ἐπειρᾶτο ποιεῖν τῷ βασιE λεῖ Μιχαήλ, ἄξια διδοῦσα τὰ ἕδνα τῷ τὸν γαμβρὸν ἀποπροσποιεῖσθαι. ὁ δὲ μηδὲν μελλήσας μηδ' ἐς νέωτα ὑπερθέμενος στόλον ἀρτύεται ναυσὶ μακραῖς τέσσαρσι πλείοσι τῶν εἴκοσιν, αἷς δὴ καὶ ἐκπανεγγὺς ναυλοχησάμενοι τὸν τόπον ἠρήμουν καὶ ἐν

incendio immensum indigenarum extitit, sed longe maius Genuensium. nam sarcinae ipsorum confertae pretiosis mercibus tanta mole ac numero ut naves duodecim (quot in portu stabant) complere possent, eodem igne consumptae sunt. ea clade ac iactura demittere animos coacti Genuenses pacis consilia sunt amplexi.

30. Caeterum neque Anna regina in Occiduo degens tractu, neptis imperatoris, quiete secura et immunia malorum ab Italis esse sinebatur. sed ex quo exclusa facultate collocandae filiae iuniori Augusto Michaëli, propter intimam consanguinitatem inter illum et se, Caroli filium Philippum in generum adsciverat, prout superius memoravimus, assignatis ei dotis nomine urbibus et regionibus quibusdam, Philippus idem et Latini subito voluerant ea sibi loca subiicere, et Italicis contributa dioecesibus suis ipsorum impertire sacris et legibus regere. at eorum hoc studium Anna variis cunctandi eludebat artibus, magnopere praecavens, quod matrimonialibus pactis convenerat, ne omnino sua filia Ithamar transire ad ritum Latinum e Graeco patrio cogeretur, quod iure futurum metuebat, si arces eius et terrae semel praesidiis Latinorum tenerentur. dum sic illa traditionem urbium differret, Philippo cum suis contra instante, verens Anna ut par ad extremum resistendo esset, auxilia imperatoris respectabat, in eius partes inclinans, et ad illum sibi artius iungendum coniugium proponens filii sui Thomae cum filia iunioris Augusti Michaëlis, promittens talis nomine matrimonii sponso suo filio cessuram easdem urbes ac terras quas doti filiae Ithamaris addixerat, genero Philippo abdicando. id parari simul Philippus sensit, haud momento cunctatus classem armat navium longarum plus quam viginti quatuor; e quibus terrae sibi debitae

στενῷ κομιδῇ τὴν Ἄνναν καθίστων, ἐπιβοωμένην βασιλέα καὶ τὴν ἐκεῖθεν ἀρωγὴν θέλουσαν. ἀλλ᾽ ἐκείνη μὲν καὶ οὕτως ὡς P 312 εἶχε κατὰ τὸ δυνατὸν ἀνταγωνιζομένη ἐπὶ τοῦ προτερήματος ἐγεγόνει, τὸ δέ γε κῆδος καὶ ἐσαῦθις ἤνυστο.

31. Βασιλεὺς δὲ ἀναγκαίως ἐν ὑπερθέσεσιν ἦν, πρὸς B ὅπερ καὶ ἠξιοῦτο διὰ τὰ συμβαίνοντα τῷ σφετέρῳ κλήρῳ, πολλῆς καὶ μεγάλης τῆς ἐπιμελείας χρήζοντα, καὶ μάλισθ᾽ ὅτι καὶ τὸ ξενικὸν ἅπαν, ὡς μὲν Ἰταλοὶ ὡς δ᾽ Ἀλανοί, ταῖς γνώμαις ἠλλοτριοῦντο, δυσχερεῖς ὄντες πείθειν καὶ πρὸς τὰ παρὰ βασιλέως ἐπεσταλμένα καθυποκλίνεσθαι. τῷ μὲν οὖν μεγάλῳ δουκί, τοῦτο μὲν κατὰ Μαγνησίαν τοῦτο δὲ κατὰ Μιτυλήνην διάγοντι, C αἱ συχναὶ προστάξεις τοῦ ὑπερθέσθαι τὸν πρὸς τοὺς Μαγνησιώτας πόλεμον καὶ περᾶν συνάμα τῷ ὑπ᾽ αὐτὸν λαῷ κατὰ δύσιν πρὸς τὸν ἀνάκτορα Μιχαὴλ (εἶναι γὰρ καὶ Μαγνησιώτας ὑπηκόους τῇ βασιλείᾳ, εὐφημοῦντας ὁσημέραι τοὺς βασιλεῖς, καὶ τῆς πρὸς αὐτὸν παροινίας εὐθύνας εἰς καιρὸν ὑποσχεῖν δυναμένους) οὐδὲν ἦσαν, καὶ λόγοι τηνάλλως λεγόμενοι Ῥωμαίους ἀν- D

appulsis exscendens late vastabat regiones Annae subiectas ditioni. unde ipsa in artas redacta angustias implorare quidem volebat imperatoris opem eiusque validis auxiliis iuvari: tamen suis ipsa praesentibus ad resistendum, prout poterat, usa strenue copiis superior interim evasit, rebusque integris servatis destinatam affinitatem, quo prius designaverat, tandem perfecit modo.

31. At imperator Andronicus acribus hinc ecclesiasticarum inde politicarum rerum varie ac graviter laborantium in diversa tractus curis, in necessaria deliberationum incertitudine suspensus fluctuabat. nam et cleri sui statum, patriarchae huic parum aequi palamque exosi austero invisoque regimine turbatum, praesenti sua et efficaci plurimum indigere providentia videbat: aliunde vero crucem illi figebant increbescentes ab exercitu nuntii de dissensionibus illic Italos inter, et Alanos exitiose nec revocabiliter commissis, quas iterata sua iussa sedare hactenus nequivissent, odio in utrisque mutuo extinguente reverentiam imperii et contumaciam iratis inflexibilem afflante. istius contumaciae primum et maxime molestum in magno ipso duce specimen extabat. nam cum eum iam adhuc degentem Mitylene (quo tempore Magnesiae ab illo defectio contigit) praecisis sed irritis mandatis avertere tentasset a consilio statim oppugnatum eundi Magnesienses, cumque ex quo intellexisset iam eundem obsidere Magnesiam, non minus inutili conatu retrahere ipsum a tali coepto astegisset, quam poterat efficacissime imperans ut eo intempestivo dilato bello universas quas secum habebat copias, traiecto confestim mari, duceret in tractus Occiduos ad imperatorem Michaëlem, allegans Magnesienses, utcumque aliter peccassent, perstare tamen in professione submissionis ad imperium et quotidie Augustis suae in eos observantiae indicibus acclamationibus bene precari, eius porro quod perperam egissent, commodiori posse tempore ab ipsis poenas repeti, haec, inquam, Andronicus duci magno, licet instantissime iterans, surdo canebat, adeo quidem ob-

δρολογοῦντι, καὶ μάλιστα ἐπὶ Μαγνησιώτας, καὶ εἰ μὴ ἀναστατοίη τούτους, οὐδὲ ζῆν θέλοντι. Ἀλανοῖς δὲ καὶ μᾶλλον διὰ τὰ προσυμβάντα κατὰ Κύζικον οὐκ ἦν ἀρεστὰ τὰ πραττόμενα, ἀλλὰ πανδημεὶ ὑπὲρ πεντακοσίους ἀφίσταντο. κἀπειδὴ ἀπείρητο τούτους μὴ περαιοῦσθαι κατὰ τὴν Καλλίου ἐπὶ τὰ σφέτερα, ἀλῆται E τόπους ἐκ τόπων ἀμείβοντες ἔξω που τῶν Πηγῶν σκηνοῦσιν. οἷς βασιλεὺς πέμπων καὶ ἱκανὰ ἀργύρια προσέταττεν ὑποστρέφειν. τοῖς δὲ θάνατον τῆς ὑποστροφῆς ἀνθαιρουμένοις συνέβη τῷ τέως ἀνδραγαθῆσαι φανέντων Περσῶν. ἐπειδὴ γὰρ οἱ μὲν εἰς ἐννεακοσίους ἐποσοῦντο, καὶ τὴν μάχην ὡς εἰπεῖν μετὰ θάρρους εἰσβάλλουσι ἐκ μιᾶς· οἱ δ' ἐν μέρει συμβαλόντες ὡς εἰς διακο- P 313 σίους ποσοῦσθαι, τῶν ἄλλων αὐτῶν ὡς ἐκ πολλοῦ διασκεδασθέντων, ὅμως τοὺς μὲν κτείνουσι τοὺς δ' αἱροῦσιν εἰς φυγὴν τραπέντας, αὐτοὶ μηδὲν παθόντες τῶν ἀνηκέστων.

B 32. Ἐν τούτῳ δὲ καὶ τέρας τελεῖται θαυμάσιον τῆς ὁσιομάρτυρος Θεοδοσίας, περὶ οὗ μὴ λέγειν ἱστοροῦντι καθ' ἕκαστον ἐμοὶ μὲν κίνδυνος οὐ μικρός, τὰ ἔργα τοῦ θεοῦ ἀνακηρύττειν ἄξιον ὄν, ζημία δὲ οὐκ ὀλίγη τοῖς μὴ ἀκούσουσι περιστήσεται·

firmato in proposito Magnesienses ulciscendi, ut suas copias ad id insufficientes deprehensas novis Romanorum delectibus augeret, omninoque prae se ferret se, nisi deleta illa sibi rebelli urbe, haud velle vivere. verum illis quos illic sub signis habebat Alanis, subinde reputantibus quid Cyzici passi essent, minime placebant quae tunc fierent. quare hi capto tempore omnes simul, numero quingenti, a castris magni ducis iniussu abeunt; et desperata facultate traiiciendi freti ad Callipolim, sicque in suas ipsorum terras recedendi, vagi, stationibus crebro mutandis, huc illucque ferebantur. eo incerto cursu perlati ad viciniam Pegarum certo loco extra oppidum tabernacula fixere. illic eos conveniunt missi ab imperatore, qui numerata ipsis pecunia non modica iuberent redire unde fugerant, ac signa repetere. at illi sic parati erant animis, ut mortem obire mallent quam sub exosi et irritati ducis imperium redire. interim occasio illis rei bene gerendae oblata est, quadam forte in illis partibus apparente Persarum manu, satis illa quidem valida, nongentorum videlicet armatorum; cui cum Alani occurrerunt, haud omnes simul aderant, sed ducenti dumtaxat, aliis trecentis, ex quo a castris recesserant, dudum varie dispersis. tamen ita opportune ita fortiter in Persas incurrerunt, ut multos eorum interficerent, reliquos fugarent, et fugacibus instando plurimos eorum caperent, nemine suorum aut desiderato aut graviter saucio.

32. Inter haec perpetratum est prodigiosum miraculum sanctae martyris Theodosiae. quod equidem horum historiam temporum tradere literis professus, haud citra periculum reprehensionis et inofficiosi culpam silentii, distincte hoc loco referre omitterem, utique cum dei opera vulgari et scriptis sermonibusque celebrari digna sint, nec fraudanda posteritas rei notitia utilissimae cognitu, quam nisi audiret me narrante, detrimento afficeretur haud modico. eadem porro promulgata certo demonstrabit ar-

ῥηθὲν δὲ πάντως καὶ τὴν τοῦ θεοῦ πρόνοιαν ἀκριβώσει, καὶ δεῖγμα τῆς πρὸς ἡμᾶς κηδεμονίας τοῦ κρείττονος παραστῇ. νεανίας τις ἀνὰ τὴν Κωνσταντίνου κωφός τε καὶ ἐνεὸς ἐπὶ χρό- C νοις ἦν οὐκ ὀλίγοις, καὶ τὸ πάθος καὶ αὐτὸν τῶν πρὸς τὸ ζῆν ἀποροῦντα θητείαις ἐδίδου, δι' ὧν ἐπολυωρεῖτο τοῖς ἀναγκαίοις, κἂν μὴ μόνιμος ἦν τὴν ἐφ' ἑνὶ δεσπότῃ θητείαν, ἀλλὰ τοὺς δεσπότας ἀλλάττων. θητεύει γοῦν πρὸς τοῖς λοιποῖς καί τινι Πηγωνίτῃ τοὔνομα, τοῦ περιφανοῦς που νεὼ τῶν θεοκηρύκων ἔγγιστα καταμένοντι. τούτῳ κατ' ὄναρ ἡ μάρτυς ἐφίσταται καὶ παρθένος, καὶ τὴν πρὸς τὸν νεὼν πάντως ἐκείνης σὺν κηρῷ τε D καὶ θυμιάματι παραγγέλλει ἄφιξιν. ὁ δ' ἐγείρεται, καὶ σχήματι μόνῳ προσηγτηκὼς τὰ ἀγγελθέντα, καὶ λαβὼν ξυνιέντων τῶν ἀκουόντων, προστρέχει τῷ ναῷ καὶ ἐφ' ἱκανῷ ποτνιᾶται, καὶ τῷ τῆς φωταγωγοῦ ἐλαίῳ χρισθεὶς, πεσὼν ὑπὸ πόδας κατὰ τὸ σύνηθες ἱκέτης τῇ μάρτυρι γίνεται. ἐπαναζευγνὺς δ' ἐκεῖθεν ἔδοξε τὸ οὖς ἐνοχλεῖσθαι. πολλάκις δὲ κνωμένου τῷ λιχανῷ ἐκπίπτει ἐκεῖθεν αὐτίκα, ὡς ἐδόκει, ζωΰφιον ἔμπνουν τε καὶ ὑπόπτερον, ὃ δὴ καὶ ἀφωμένου ἐν θαίματι καὶ πρὸς ἄμυναν ἰόντος ἀφανὲς παραχρῆμα γίνεται. ἔδοξε δ' ὅμως ῥᾷσαι τὸ ἐμφωλεῦον P 314 ἄλλως, καὶ ἐν χρησταῖς ταῖς ἐλπίσιν ἦν. ἀλλ' ἐφίσταται τῇ οἰκίᾳ ὁμοίως ἔχων καὶ αὖθις τοῦ πάθους. οἱ μὲν ὡς τὸ πάλαι

gumento invigilare rebus humanis providentiam divinam, nosque deo curae esse, praesenti quasi pignore fidem faciet. adolescens quidam Constantinopoli surdus annis non paucis et mutus fuit; qua ipsa miseria victum alia sibi ratione parare prohibitus, mercede famulans victitabat, idque non apud unum permanens constanter, sed subinde mutans dominos. locavit is inter alios operam cuidam Pegonitae nomine, proxime conspicuum templum dei praeconum Apostolorum habitanti. apud hunc muto iuveni diversanti sancta martyr et virgo per somnum superne apparens se obtulit, eumque omnino iussit ad suam ipsius sacram aedem cum cera et thymiamate proficisci. experrectus ille nutu et gestu, prout potuit, visum exposuit domesticis, ita ut satis illi perciperent; quare ab iis acceptis quae sancta virgo afferri mandarat, cum bis accurrit ad templum, illicque sat longo veneratus divam spatio et oleo lampadis inunctus, procidens sub pedes iuxta morem, supplex martyri fit. inde revertenti nescio quid moleste pruriebat in auris intimo. quare cum subinde illuc immisso indice non parceret scalpere, ecce inde inopinatissime decidit forma quaedam insecti, vivi, ut apparebat, et alis instructi. quod cum ille admirans contrectasset cupide, ac mox indulgens naturali odio quo ferimur in infesta, ulcisci noxiam bestiolam elidendo pararet, illud, quidquid erat, confestim ex oculis evanuit. solatio tamen fuit quod incommoda prurigo, qua in penitissimis auriculae cavernis importune punctus paulo prius fuerat, vel plane resedisse vel remissius inquietare videbatur. qua experientia eius animus quodam eventus felicioris augurio in spem plenae curationis excitabatur. in hoc gaudio, surdus tamen ut prius, ingressus herilem domum

τὸ πῦρ διένευον ὑπανάπτειν, φέροντες ἄλευρα, ὁ δ' ἐμπεσὼν ἐφύσα λιγέως. ἀλλ' οὔτε φλὸξ ὦρτο οὔτε πῦρ θεσπιδαὲς ἴαχε κατὰ ποίησιν, μόνος δ' ὑπετύφετο καπνός, καὶ εἰκαίως οὗτος ἐπόνει καὶ ἐδυσχέραινε. μετὰ πολλὴν δὲ πεῖραν τοῦ πυρὸς μηδὲν B ὑπακούοντος, μετεβλήθη τὸ ἆσθμα εἰς λόγους καὶ φωνὴν ἐκρήσσει· ἀρᾶται γὰρ τῇ ἑστίᾳ, ἀρᾶται μή ποτε ὑπανάψαι μηδὲ φλόγα τὸ σύνολον ποιῆσαι, μέγα βοῶν ἐκ βαρύτητος. ὃ δή, ὡς εἰκός, τοὺς ἐπὶ τῆς οἰκίας οὐκ ἔλαθεν. ὅμως δ' ἀκούσαντες ἐξεπλήττοντο, σφίσιν ἑαυτοῖς διαπιστοῦντες, καὶ δυοῖν ἡγούμενοι θάτερον, ἢ τὸ πῦρ τὴν φωνὴν ἀνεῖναι ἢ μὴν τὸν τέως κωφὸν καὶ ὃν οὐκ ᾔδεσαν φωνήν ποτε προϊέμενον. ὡς δὲ πόρρωθεν φωνοῦντες ἀνέκρινον τίνος ἡ φωνὴ αὕτη καὶ τὰ λαλούμενα, ὁ C κωφὸς ἀκούει, καὶ περὶ ἑαυτοῦ μαρτυρεῖ, ὡς αὐτὸς ἀκούσας ἀνακρινόντων, αὐτὸς ἦν καὶ ὁ τῷ πυρὶ ἰδίῳ ἐπαρασάμενος στόματι. καὶ εὐθὺς ἐπιστάντες τὸ φρικτὸν ἐκεῖνο τέρας κατανοοῦσιν, τὸν λόγον τε διεκδιδοῦσι, καὶ πᾶσιν ἀνάπυστον τὸ πραχθὲν γίνεται. εἶτα καὶ πρὸς βασιλέα φθάνει τὸ θαῦμα, καὶ φέρουσι παρ' αὐτὸν ὁρισθέν, παρόντος καὶ πατριάρχου, τόν ποτε κωφὸν καὶ ἐνεόν, ὃς δὴ καὶ ἐρωτώμενος ἀρχῆς ἀπ' ἄκρης τὸ πᾶν

5. ἆσμα P. 14. ὅτι αὐτὸς?

admonetur quibus solebat signis a familiari ministerio praefectis, ut ignem accenderet pani coquendo: iam enim a pistore farinam afferri mox in massam subigendam. ille ad focum advolans parendi studio, pruais insufflabat stridule. sed nec flamma micat, crepitaas neque fulgurat ignis iuxta poësim, solus se densa glomerat caligine fumus, dum labor sic in longum irritus trahitur, offensus iuvenis contumacia ignis ad tam crebro intenseque afflatos susurros persistentis surdi, spiritum in verba mutat, erumpitque voces penitus conceptam iram usitata declarantes indignantium formula. maledicit enim foco, et magno ex affectus vehementia clamore "nunquam ex te possit oriri flamma" sonore pronuntiat. exaudita cum stupore ingenti a domesticis vociferatio est. atque ii primo vix credentes auribus alterum duorum admittendum necessario videbant, ut aut ab igne prolata quam audierant vox esset, aut ab eo articulata homine quem ipsi mutum certissimo hactenus nossent. ergo procul inclamant "cuius haec vox est? quis ista loquitur?" tunc vero qui mutus esse desierat, etiam se non amplius surdum esse declaravit: auditis enim quae ex intervallo inclamabantur, apte intelligibiliterque reposuit eundem se qui auditu percepisset quae fuerant ipsi locuti, auctorem quoque vocis essa cuius ante sonum senserant, qua nimirum, irae impatientis aestu, ore ac lingua propriis foco maledixisset. illico igitur certatim omnes accurrentes prodigiosum illud miraculum praesentibus subiiciunt sensibus, ac per viciniam urbemque differunt. unde momento res vulgata ad imperatoris quoque notitiam pervenit. ad hunc, sic statim fieri iubentem, praesente etiam patriarcha, ducitur qui surdus et mutus fuerat. isque interrogatus a primo

ἐξαγγέλλει, αὐτὸς οἰκείῳ στόματι διηγούμενος. ταῦτα ἄρα καὶ μηδὲν κρίναντος δίκαιον τοῦ κρατοῦντος σιγῇ παρελθεῖν τὸ δρᾶμα, D πάννυχος ἐξ αὐτῆς παννυχὶς τῇ μάρτυρι διαγγέλλεται, μηδὲ αὐτοῦ βασιλέως ἐκεῖθεν λείποντος. μᾶλλον μὲν οὖν καὶ ἐπὶ πλέον οὗτος τὸ σέβας τῇ θαυματουργῷ θέλων φιλοτιμεῖσθαι, τοῖς μὲν ἄλλοις ἐφῆκε βαδίζειν ὡς βούλοιντο, αὐτὸς δὲ συνάμα συγκλήτῳ πάσῃ καὶ πατριάρχῃ ἀκρόνυχος πεζῇ βαδίζων πρὸς τὸν ναὸν τῇ μάρτυρι παραγίνεται.

principio rem totam, uti contigerat, ore proprio narravit. tam mirabilem eventum haudquaquam Augustus aequum censens silentio premi, agit statim cum patriarcha ut pervigilium noctis solidae hymnis et gratiarum actionibus apud templum sanctae virginis, miraculi auctoris, impendendae indiceretur. nec inde imperator abfuit. quin etiam ut abundantius ostenderet quam prolixo animo tam iuste debitum mirificae martyri gratulandi venerandique officium persolveret, permisso aliis ut vehiculo aut equo ad eius templum, si liberet, gestarentur, ipse sub crepusculum instantis noctis, universo senatu et patriarcha comitante, pedibus incedens ad templum pervenit, sanctaeque illic se stitit martyri.

Ζ.

Ἐπάνειμι δ' αὖθις ἐκεῖνα δώσων τῷ λόγῳ πρὸς ἃ δὴ καὶ αὐτὸς P 313 ἐπιεικῶς ἀπορεῖ ἡττώμενος τῷ μεγέθει τῶν γιγνομένων, ὥστ' εἰρημένον τοῦτο πολλοῖς περὶ ὧν ἕκαστος λέγειν προυτίθετο, ἐπ' ἐκείνοις μὲν τέχνης εἶναι τὸ ἐπιτήδευμα, καὶ εἰρωνεία τοῦ γράφοντος ἀντικρούει, ἐπὶ τούτοις δὲ καὶ μόνοις ἐπὶ τοσοῦτον πιστεύεσθαι B τὴν παραίτησιν, παρ' ὅσον καὶ πᾶς εἰδὼς μαρτυρήσει

12. εἰρωνείαν — ἄντικρυς?

VI.

Refero me rursus ad opus dudum susceptum, et traditurus literis ad quae ipsae, ut sic dicam, literae non mediocriter aestuent, vinci se fasse magnitudine dicendorum. non me fugit similia plurimos in suarum aditu narrationum praefatos. sed confido aequo arbitro, ubi argumenta comparaverit, suboliturum hoc ab aliis scriptoribus arte ac figura dicendi quadam lusuque ingenii iactari: eundem autem iudicaturum in his demum solis actis, quae mihi proposita ad prodendum in famam sunt, eo fidem haberi par esse proniorem significationibus timoris, quibus se auctor in procinctu operae quasi violenter retrahi a scribendi consilio declarat, quo ipsa perspecta omnibus, et nullius non hic hodie viventium tristi experientia comperta grassantium iam ab annis plurimis in nos malorum atrocitas ab unoquoque superiora nostra de his scripta legentium testimonium

τοῖς γραφομένοις, ὡς μηδὲ σιγῇ τὰ πλεῖστα παρενεγκών, καὶ τὸ τοῦ δαιμονίου μήνιμα πᾶς τις ἀναφανδὸν αἰτιᾶται τῶν συμφορῶν καὶ τὸ τῶν πραγμάτων ἀμήχανον. οὔπω γάρ τις ἔφθη ἑτέρῳ διεξιών, καὶ ὁ ἀκούων πικρὰ τῶν πραγμάτων καταστενάζων τὸ τῆς θείας ὀργῆς ἄφυκτον θαρρούντως ἀνωμολόγησε καὶ αὐτὴν C πᾶσαν ἀπέγνω πρὸς τὴν τῶν τελουμένων ἀντιπαλάμησιν, καὶ ἰλιγγιῶν πρὸς τοὺς λόγους ἔδειξεν ἀκοὴν χωρεῖν ὅλως ὡς οὐκ ἔχουσαν τὰ πολλῷ πλέον μὴ δυνάμενα λέγεσθαι. πλὴν δ' ἀλλὰ καὶ περὶ τούτων ὅπως ἔσχε διαληπτέον, τὸ τῆς ἱστορίας λεῖπον ὑφαίνοντες.

D 1. *Καζάνης μὲν οὖν ὁ τῶν ἀνατολικῶν Κάνις Τοχάρων,* ἐφ' ἓξ ἄρξας ἔτη καὶ πλεῖστα μνήμης κατεργασάμενος ἄξια, πεντεκαιτριακοστὸν χρόνον τὸν τῆς ζωῆς τελέσας ἁρπάζεται. συνέφθιτο δὲ καὶ ἡ ὑπ' αὐτῷ τῶν ὅλων ἐλπίς, καὶ τὰ δεινὰ P 319 ηὔξανε πανταχοῦ, καὶ μᾶλλον ἐπὶ Φιλαδελφείας, ἐπιτιθεμένων τῶν Καρμανῶν. ἐκεῖνος γάρ, ἵνα μικρόν τι τῷ λόγῳ προσδια-

5. ἀλκὴν?

elicit, clare profitens eum meam in plerisque horum enuntiandis sine dissimulatione liberam fidelemque diligentiam, tum cladium calamitatumque ipsarum immanitatem eo usque prodigiosam, ut nemo sit qui earum causam vindictae irati numinis non palam imputet, nemo qui contortam obliquitatem tam perplexe involventium sese in damna nostra dirorum casuum, qui vim ineluctabilem tot saevorum incursuum Martis adversi, non iam e libris cognoscens sed spectans oculis et dolore intimo sentiens, non ea inter suspiria et lacrimas effundens in aures obviorum, illis assentientibus, agnoscat ac fidenter praedicet utique manifesto incumbere in nos pondus gravissimum irae divinae, ea vehementia exitium inferens, cui sustinendae ac contra obmoliendo avertendae labor omnis sit inanis et conatus stultus. cui porro sit dubium quin tali praeoccupatis moestitia si quis poscens audientiam se offerat, expositurus quae geruntur, recusent aversenturque et aures habere tam prolixae malorum Iliadis omnino capaces negent? quae vero audiri prae incredibili acerbitate nequeunt, potiori scilicet ratione existimanda sunt nec exprimi dicendo posse. verum utcumque ista sunt, me quidem, cui mora non est libera debiti solvendi, resumere hinc protinus oportet promissam narrationem; ac partem gestarum rerum in tempus excurrentem subsecutum eventa superius conscripta historiae iam ante compositae continuando subtexere.

1. Cazanes igitur Orientalium Kanis Tocharorum cum ad sex annos imperasset et plurima digna memoria fecisset, quinto et tricesimo expleto aetatis anno rapitur. periit cum eo simul tota quae arridere coeperat spes restituendae imperio Romano tranquillitatis; et eo qui solus poterat et velle ostenderat atque adeo iam coeperat coërcere barbaros ipsi subiectos a nostris regionibus vastandis de medio sublato, non eo solum tenore quo coeperant, sed augmentis exaggerata gravioribus mala in nos ubique irruebant, praesertim autem Philadelphiae, redeuntibus fero impetu ad eius oppugnationem Carmanis. Cazanes (ut de illustri in paucis principe brevi

τρίψω, ἐπὶ τὴν ἀρχὴν παρελθὼν πρὸς Κῦρον ἐκεῖνον καὶ Δαρεῖον ἑώρα, καὶ τοῖς πραχθεῖσιν ἐκείνοις πάλαι λεγομένοις εἰς ἡδίω τρυφὴν ἐχρᾶτο ἢ τοῖς τῆς ἀρχῆς σεμνώμασιν ἐξηγάλλετο. μᾶλλον μὲν οὖν καὶ τὸν τοῦ Δαρείου νικητὴν Ἀλέξανδρον ἐπὶ λογισμῶν ἔστρεφε, καὶ ὑπὲρ πᾶν ἄλλο τὰς ἐκείνου πράξεις ὑπερηγάπα. δι᾽ ὧν καὶ αὐτὸς τῶν ἴσων τυχεῖν ἐφίετο, καὶ κλέος ἐπόθει λαβεῖν τοῖς ὁπουδήποτ᾽ ἐπ᾽ ἴσης ἀνδραγαθήμασιν. ὅθεν B καὶ πολλοῖς μὲν ὠγκοῦτο τοῖς παρασπίζουσιν, Ἴβηρσι δὲ καὶ μᾶλλον ἐπὶ πολέμοις ἐχρᾶτο, πλεῖστον μὲν τὸ γενναῖον καὶ ἐκ τοῦ γένους ἔχουσι, πολλῷ δὲ πλέον καὶ ἐκ τοῦ τῶν Χριστιανῶν καθαροῦ καὶ ἀμωμήτου σεβάσματος. παρ᾽ ἣν αἰτίαν καὶ σταυρὸν μαθὼν τὸ τῶν Χριστιανῶν τρόπαιον ὄν, οὐράγει σφίσι παρασπίζουσι κατὰ πόλεμον, καὶ πόλλ᾽ ἄττα δεινὰ τὸν τῶν Ἀράβων σουλτὰν εἰργάζετο, ὥστε καὶ αὐτοῖς τοῖς ἱεροῖς προσβαλεῖν Σολύμοις καὶ ἐγγὺς τοῦ παραστήσασθαι γεγονέναι, καὶ μᾶλλον C διὰ τὸ ζωηφόρον μνῆμα τοῖς Ἴβηρσι χαριζόμενος. ὁμοίως κακῶς καὶ τὴν Αἴγυπτον ἔδρα, εἰ μή γ᾽ ἐκείνῳ τὸ ἐν τῷ ..... τό-

digressione pauca non indigna scitu memorem) principatum iniens Cyrum et Darium imitandi studio spectabat, actaque ipsorum olim commendata literis avide perlegens plus ex eorum cognitione voluptatis hauriebat quam e cunctis insignibus summae qua pollebat potestatis. sed et hos ipsos veteres Persarum transcendens reges, Alexandrum Darii victorem mente potissimum versabat, et super omne allud historiarum argumentum res ipsius gestas suspiciens amabat, eius similem, qua se ille inclytum fecerat, et ipse assequi desiderans gloriam, et istius exemplo facinoribus euinsque generis arduis edendis immortalem sibi famam heroicae virtutis acquirere. hinc ille, prout erat consentaneum facere talia meditantem, numquam non speciose succinctus apparebat numerosa et lectissima praetorianorum manu: cum bellandum porro esset, Iberis potissimum utebatur, optimo et sibi probatissimo militum genere, quippe quibus praeterquam inerat pugnax a stirpe indoles generosaque alacritas periclitandi, accedebat maior etiam ab inculpatis amabilitas moribus, quod ii Christianam religionem pure inoffenseque profiterentur. quare non ignarus quantum vincendi omen in crucis signo constitutum esset, cui prosperorum experientia successuum celebrem appellationem tropaei Christianorum merito peperisset, huic praesertim Ibericae legioni, pro vexillo labarum cruce insigne praeferenti, confidebat in praeliis, eam sibi solitus circumdare, et loco triariorum extremo in agmine secum habere. qua bellandi ratione cum alia gravia Sultani Arabum damna intulit, tum ipsis quoque Hierosolymis hostiliter admotus parum abfuit ab urbe illa tanta, cui Sultan Christianis ereptae dominabatur, expugnanda suaeque subiungenda ditioni, id aggressus instinctu maxime gratificandi suis Iberis, quos sciebat aegre ferre Saracenos Christi domini hostes vivifico ipsius insistere victores et insultare monumento. in quo etsi baud illi contigit perficere quod optabat, tamen haud parum afflixit Sultanis partes, vastans quin etiam Aegyptum cladesque illic Arabibus non leves inferens, longe pluribus et gravioribus sine

πων ἀμμῶδες καὶ ἄνυδρον εἰς πολλὰ προσίστατο. καὶ ἐῶ τὰς
αὐτουργίας αὐτοῦ ἐν ὅσαις ἀσμένως ἄρχων ὢν καὶ τῶν ὑπερτά-
των ἐβαναυσίζετο, οὐ κατὰ χρείαν μᾶλλον ἀλλὰ κατά τινα τῶν
ὑφ' αὐτὸν παίδευσιν. ἐφεστρίδας μύωπας καὶ ῥυτῆρας ἵππων
καὶ πέδιλα καὶ μαχαίρας καὶ ἡμιτύμβια καὶ πᾶν ἄλλο βαναύσου
D τέχνης ἐξεργαζόμενος, καὶ τὰς ἀνακωχὰς τῶν πολέμων ἀσχολίας
τῶν τοιούτων ποιούμενος. ἀλλ' οἷα ἐφρόνει βάρβαρος ὤν, τὸ
παράδοξον. ἡγεῖτο γὰρ εἶναι μίμημα θεοῦ τὸν καλῶς ἄρχοντα
καὶ ὁσίως· καὶ ὥσπερ οὐκ ἔστιν ἐκείνῳ περὶ Ῥωμαίου καὶ Σκύ-
θου, Σαυρομάτου καὶ Ἕλληνος, ἔτι δὲ δικαίου καὶ μή, ἀκρι-
βολογεῖσθαι περὶ τὰς δόσεις, κοινῶς εὐεργετοῦντι καὶ ὑετοὺς καὶ
ὥρας καὶ ἥλιον, οὕτως ᾤετο δεῖν διακεῖσθαι καὶ τὸν δικαίως ἄρ-
E χοντα σὺν ὅλοις τοῖς ὑπ' αὐτὸν τὰς δωρεὰς διοικούμενον. ἔκοψε
δ' ἐξ ἀπέφθου χρυσοῦ καὶ Καζάνειον νόμισμα, καὶ πᾶσαν εὐ-
νομίαν ἐνομοθέτησεν. ἔμελε δ' αὐτῷ καὶ δικαιοσύνης ἐπὶ πᾶ-
σιν, ὥστε μὴ ταύτης ἄλλο τι λογίζεσθαι προτιμότερον. οὗτος

dubio damnis illos affecturus, nisi ei, ne penetraret interius, locorum arenis inviis et aquae inopibus late squallentium insuperabilis difficultas obstitisset. omitto accensere tanti viri laudibus humilem industriam vilium opificiorum, quibus latissime licet ac splendidissime dominans princeps perlibenter impendebat propriarum operam manuum, haud ille quidem lucri ususve gratia, quasi talibus egeret, sed quod institutione philosophica quadam pulcram existimaret universalitatem istam ad cuncta descendentis, in cunctis eminentis ingenii. ergo non quisquam illo concinnius ephippia, calcaria, habenas equis flectendis, ocreas, gladios, galeas aut id genus militaria capitum tegmina cuderet, sueret, ex quacumque scitissime materia formaret, nitidissime poliret, remissiones solitus militarium laborum mechanicis istiusmodi artificiis addicere. iam sensa mentis eius familiaribus declarata sententiis quam erant in barbaro inopinata mirandaque! dictitabat bene ac sancte imperantis hominis officium, dei supremi omnium domini acri affectanda studio imitatione contineri. sicut enim apud conditorem universorum discrimen nullum est Romani aut Scythae, Sarmatae aut Graeci, ac ne iusti quidem vel iniusti, quod largiendi profusionem attinet, utique cum eius liberali gratia aeque in omnes communia beneficia spargantur pluviarum, tempestatum, solis annuo fungentis gyro, pari quoque penitus affectum indulgentia debere principem praestare se indifferentem cunctis subditis necessariorum ad vitae cultum et desideratorum unicuique praebitorem, gratis beantem universos. caeterae porro Cazanis in rebus ex usu publico administrandis aequitatis specimen extat in re momenti non parvi ad fidem in commerciis servandam, monetae signatae probitate. ab ipso enim auctore celebre habet nomen Cazaneus ille nummus, ex auro cusus exquisitae puritatis. nec absimili diligentia in reliquis regiminis partibus versatus cuncta ubique institutis temperavit laudatissimis, nihil se habere antiquius aut ducere potius perfecta in omnibus absolutione iustitiae nulla non actione prae se ferens. idem morbo se absumi sensim diuturno et incurabili sentiens, curam ingressus sibi pa-

αὐτανέψιον ἔχων Τουκταΐν, ᾧ δὴ προσῆκεν ἐκ γένους καὶ ἡ ἀρχή, ἐπεὶ πρὸς θανάτῳ ἦν καὶ οὐ τοῖς ἰδίοις τρόποις τοὺς ἐκείνου συμβαίνοντας ὑπετόπαζε, παριδὼν αὐτὸν ἔφεδρον εἰς ἀρχὴν ἐκ P 320 τοῦ ἀναγκαίου ὄντα, πέμψας μετακαλεῖται τὸν αὐτοῦ ἀδελφὸν περί που τὰ τῆς Ἰνδίας μέρη σὺν ἰδίῳ στρατεύματι διατρίβοντα, ᾧ δὴ Χαρμπαντᾶς τοὔνομα· ὀρεοκόμον εἴπῃ τις ἂν ἐκεῖνον, οὕτω συμβὰν ἐπὶ τῇ γεννήσει, φανέντος εὐθὺς τοιούτου, ὡς εἴθιστο σφίσι γεννωμένοις ποιεῖν κατά τι νόμιμον. καὶ τοῦτον εἰς ἀρχὴν καταστήσας ἐπὶ τρισὶν ἔτεσι τὰ αὐτοῦ συνθήματά τε καὶ νόμιμα ἀπαρεγχείρητα μένειν ἐντολὰς ἐδίδου τὸ ἐπίταδε, εἶτα ἄρα καὶ δόξειε γίνεσθαι παρηγγύα. τοῦτ' ἀνάπυστον γεγονός, B ἐπεὶ καὶ κατὰ τὰς ἄκρας αἱ γραφαὶ διεδόθησαν καὶ ὁ κατὰ τὸν Εὔξεινον ἄρχων Χουτλουχάϊμ ἤκουε τὸ συμπεσόν, διαδέχεται τὴν φήμην ὁ Σολυμάμπαξ Πέρσης, ὃς καὶ γαμβρὸς ἦν ἐπὶ θυγατρὶ τοῦ Κουτζίμπαξι. καὶ οὕτω διαμηνυθέντος τοῦ συμβάντος τῷ βασιλεῖ, ὁ τοῦ Καζάνου θάνατος τοῖς ἐκείνου πρέσβεσι κατὰ πό-

10. εἶτα ὅ τι ἄρα?

randi e consanguinitate successoris, quod liberis carebat, Tuctaïnem quem habebat fraterno e genere proximum, quoniam huius mores ac sensus a suis ipsius abhorrentes certis ex indiciis agnoverat, promovere ad spem imperii noluit. ac ne ille se mortuo principatum commendatione generis malo publico arriperet, praecludendum ipsi ad hoc aditum stabiliendo in solio ipsius fratre, probatioris sibi iuvene indolis, putavit. hunc igitur, cui erat Carmpantas *) nomen, accersivit usque ab India, illis in partibus cum proprio exercitu morantem; eundemque occurrentem strenue proprio quodam ipsorum ritu ad ius legitimae in imperium successionis designavit; erudivit quin etiam, pro tempore, ad regni quod illi destinabat rectam administrationem, adeo efficacibus praeceptis ut quasi arte mansuetarii fera cicurata vel pullus indomitus parere lupatis a magistro doctus agasone, brevi tempore plane compositus et per omnia decessori similis imperii candidatus apparuerit, nihil iam minus de se sperandum praebens quam si Cazanis cretus sanguine institutisque a pueritia formatus, non autem frater educatus peregre ei decedenti subrogaretur. hunc talem compertum, nihil ultra moratus, in principatus possessionem Cazanes misit, enixe vetans ne toto triennio quidquam in constitutis a se legibus aut foederibus ac toto inchoati regiminis tenore mutaret, post illum terminum suo illum uti arbitrio ac libere, prout censeret, res gerere permittens. haec ita gesta divulgata brevi per Asiam sunt: nec enim ea satrapas bellum illic gerentes ignorare sinebant literae de his ad arces Romani limitis, quas tunc Persae obtinebant, actaque publica cum diplomatibus ista firmantibus rite missa. audivit ergo Chutluchaimus, qui regionibus ad Euxinum sitis praeerat, quod acciderat; excepitque mox rei famam Solymampaxes Persa, gener Cutzimpaxis; unde ad imperatorem quoque facti notitia pervenit. secuta post paulo Cazanis mors varie dimissis

*) immo *Carbadas*.

λεις δῆλος γίνεται, καὶ τὸ πένθος σφίσιν αἴρεται μέγα. ὅμως
C δὲ καὶ παρακαλοῦνται βασιλέως πέμψαντος. πλὴν ἀλλ᾽ Ἀμού-
ριος καὶ οὕτως καθυπεστέλλετο, οὐκ οἶδα εἴτε τὸν ἀπὸ τοῦ
Χαρμπαντᾶ φόβον (τὰς γὰρ τοῦ ἀδελφοῦ συνθεσίας ἐκεῖνος τη-
ρεῖν ἤθελεν) ἔτι ὡς εἰκὸς ὑφορώμενος, εἴτε τὴν ἀπὸ βασιλέως
εὐμένειαν προσποιούμενος, καὶ πέμψας ᾔτει βασιλέα τὸ τῶν πο-
ταμῶν μεσόγαιον ἀνὰ Σάγγαριν, Μεσονήσιον ἐτύμως ὠνομασμέ-
νον, ἐφ᾽ ᾧπερ τοῖς ἰδίοις οἰκηθησόμενον τοῖς ἐντὸς οἰκοῦσιν εἰς
φυλακὴν κέοιτο. ἀλλὰ τῶν τοιούτων τέως ἀνηρτημένων, τινὲς
D τῶν ἐκείνου κατ᾽ οὐλαμοὺς διεκθέοντες κακὸν ἀπάντημα Ῥω-
μαίοις εἰς τρυγητὸν ἐξιοῦσι τῶν ἀτημελημένων κτημάτων ἐγί-
νοντο. ἦσαν γὰρ ἐντεῦθεν τὰ πρόστιμα τῶν ἑαλωκότων φωρῶν
ἄντικρυς πρόστιμα, εἰ γῆν ἣν διὰ σπάθης ἐκτήσαντο ἐκεῖνοι πα-
τοῖεν καὶ τὰ σφίσιν ἐκ πολέμου περιγεγονότα καρπίζοιντο. διά
τοι ταῦτα καὶ μαχητὰς μισθούμενοι ἄνθρωποι ἀποτολμῶντες τὰ
E θαλάσσης ἐγγὺς ἐπιχειροῦντες δρέπεσθαι, οὗ μὲν ηὐστόχουν καὶ
ἀπεκέρδαινον, τὰ πλεῖστα δ᾽ ἐσφάλλοντο καὶ ἐσφάττοντο.

Καὶ ταῦτα μὲν ἐκτὸς τῆς Κωνσταντίνου ἐπράττοντο, ἐντὸς

ex aula legatis significata per civitates est, luctum passim ingentem declarantibus satrapis, quos imperator, destinatis ad unumquemque sul talis interpretibus officil, consolari humaniter studuit. illud tunc non iucommode praeter spem contigit, Amurium, quem sola Cazanis reverentia paululum antea repressum haud vanus erat metus eo sublato rediturum ad ingenium, continere sese tamen et pacis voluntatem prae se ferre, sive a Carmpanta timuit, qui foederibus a Cazaue fratre initis (inter quae nota erat cum imperatore conventio) stare se velle declaraverat, sive imperatoris gratiam ad suoa sibi fines utilem affectavit. missis bic igitur legatis ab imperatore petiit concedi sibi propriis frequentandam coloniis Interamnam ad Sangarim (hoc est terram inter flumina conclusam, quam Mesonesium ex eo uominant, quod media inter aquas undecumque fluentis amnium velut insula cingitur), quam sibi suisque habitandam ac custodiendam attribni addicique volebat ab Augusto. verum interim dum haec indeciso adhuc tractatu peudent, quidam ex huins castris manipulatim quoquoversum excurrentes hostiliter irruebant in Romauos, istarum velut indutiarum fiducia revisere ausos antiquas sedes quasi ad racemandum post vindemiam, et si quid e suis olim ipsorum rebus praedonum avaritiam fugisset, iude sublegendum. hos illi comprehensos statutis in fures poenis inexorabiliter plectebant: furtum enim ipsis videbatur esse manifestum, tollere quidquam ex terra quam ipsi ense ac bello propriam fecissent, cui victores insisterent, cuius ideo fructus omnes iure sibi quam optimo quaesitos conteuderent, servarique ut dominis illibatos aequum censerent. hoc nostri comperto conducebant privatis stipendiis milites, cum quibus erumpentes in loca praesertim mari vicina aliqua e suis quondam agris excerpere tentabant, nonnumquam feliciter, plerumque tamen pessimo successu: intercepti quippe trucidabantur.

Haec extra Constantinopolim fiebant. intra urbem porro ipsam pe-

δὲ τοῦτο μὲν ἡ πρὸς τὸν πατριαρχοῦντα τῶν πολλῶν ὑπονόησις, τοῦτο δὲ καὶ ἡ τῶν δυναμένων ἀπληστία, καπηλευόντων καὶ σῖτον καὶ ὤνια· καὶ γὰρ τὰ πλεῖστα καὶ κεχυδαίωντο αἰσχροκερδείας ἡττώμενοι, καὶ πάντα χρημάτων καταπροϊέμενοι πάντα μαλακῶς διετίθουν, καὶ τὰ τῆς πολιτείας δεινῶς ἐκυμαίνοντο. P 321 ἀλλ' ἡ μὲν καπηλεία καὶ λίαν ὠδύνα, ὡς φαίνεσθαι, τὸν πατριάρχην δημοχαριστοῦντα τὰ πλεῖστα καὶ κατὰ τῶν δυναμένων ὑπὲρ αὐτῶν, ὡς ἐδόκει, τοῦτον ἱστάμενον, ὥστε γράμμασι πρὸς τὸν κρατοῦντα παρρησιάζεσθαι, καὶ ὅρκοις ἰσχυρίζεσθαι ἦ μήν, ἢν μή γ' ἡ καπηλεία τοῦ σίτου ἐῷτο, ἀραῖς περιβαλεῖν ἐκ κοινοῦ συνεδρίου τοὺς καπηλεύοντας, καὶ τοῦ λοιποῦ ἐκ μέσου γίνεσθαι. καὶ ταῦτ' ἐπώμνυ, καὶ οὐδὲν ἤνυστο παράπαν, ὡς μέρος καὶ ταῦτα τῶν κατ' αὐτοῦ γίνεσθαι, ὅτι ἐπὶ ματαίῳ τὸν ἐξ οὐρανοῦ καταβάντα ἐπώμνυ τὸ καὶ τὸ ποιεῖν, εἰ μὴ ταῦτα γένοιτο, βούλεσθαι. (2) τοὺς δέ γε σχιζομένους ἐνάτῃ μετ' P 322

stea diversae grassabantur. prima erat invidia multorum in patriarcham gliscens, tacitis quidem suspicionibus et susurris interim exercita timidis, caeterum iis intumescens auctibus, ut brevi erupturam in tumultum appareret. altera tetrior inexplebilis videlicet avaritia potentum monopoliis tritici venaliumque id genus rerum flagellantium annonam. praeoccupabant nimirum emere alimenta et res alias humano victui ac cultui utiles prius quam foro importarentur; quas immani deinde ipsi pretio, quaestu suo improbo distraherent, nihil pensi habentes quo probro suo damnove alieno sordidae cupiditati obsequerentur. iidem porro gustu lucri semel capto rempublicam quoque ipsam quaestui habebant, suffragia iudicia munia sine meriti discrimine ad plus numerantes inflectendo, ita ut effunderentur omnia temere, nihil fortiter decerneretur, cunctae obnoxie mollique in gratiam largiri valentium indulgentia publicae res administrarentur. unde necesse erat statum politicum ac summam rerum periculosissime fluctuare. quia vero, quod maxime ex his urbanis malis in offensionem incurrebat popularem, erat ista plebem miseram strangulans nundinatio divitum, eam sibi esse exosissimam ostendit patriarcha, gratiam populi sic colligens, seque arte iste praemuniens contra factionem quam adversum se conflari non plane ignorabat. intelligens porro, quod res erat, coërceri avaritiam istorum nisi auctoritate superiorum ipsis et plus potentium minime posse, literas super eo argumento scripsit ad imperatorem liberrimas, in quibus minabatur, iuramento etiam interposito minas sanciens, se, nisi foeda ista et urbi famem invehentia frumenti praesertim monopolia desinerent, eorum auctores e communi synodi sententia diris et anathemati subiecturum, nec quieturum donec exterminaretur e civitate tam perniciosa corruptela. verum quamquam ille se ad ita omnino faciendum iureiurando conceptis prolato verbis adstrinxerat, nihil tamen est perfectum, ipso in comminationibus vanis exire in effectum ignavo terrore prohibitis totum impetum consumente zeli ambitiose ostentati. quo facto ad caeteras accusationes sui illam addidit gravissimam periurii consciti ea re, quam Christo deo e coelis ad nos delapso teste adhibito promiserat, minime praestanda. (2) caeterum schismate dudum avulsos ab ecclesiae

εἰκάδα Γαμηλιῶνος ὁ κρατῶν συνῆγεν. ἐξῆγε δὲ καὶ τῆς φυλα-
κῆς τὸν Ταρχανειώτην Ἰωάννην, ὃν ἐν ἀνέσει τὸ πρότερον ἔχων,
ἐπεὶ καὶ αὐτὸς τῷ πατριαρχοῦντι προσέκρουε, συνεκλείετο. τότε
δ' ἐκβαλὼν μέρος τοῦ συλλόγου καὶ αὐτὸν εἶχε. καὶ εἰς πάντας
προκαθίσας ἐδημηγόρει, καθημένων καὶ τῶν τυφλῶν μοναχῶν,
πρὸς οὓς καὶ μᾶλλον ὡς ἀξιωτέρους τῶν ἄλλων δοκοῦντας, ἔχων
B παρὰ θάτερα μὲν πατριάρχην παρ' ἑκάτερα δὲ ἀρχιερεῖς τε καὶ
κληρικούς, συμπαρούσης καὶ πάσης συγκλήτου καὶ μοναχῶν,
μάλα γενναῖον καὶ πεφροντισμένον λόγον διεξιών. "ἐγὼ λογίζο-
μαι καὶ ὑμᾶς εἰδέναι καὶ πάντας ἀνθρώπους ὡς οὐδὲν ἐμοὶ τῶν
πάντων ἥδιον τοῦ τὴν ἐκκλησίαν τοῦ θεοῦ, πάσης περιαιρεθεί-
σης σκανδάλου προφάσεως, εἰρηνεύειν, ἐφ' ᾧ καὶ σπουδή μοι
πᾶσα παρέστη ἤδη αὐτοκρατήσαντι, πάσης ἀσχολίας ἄλλης κα-
C θυπερτέρα, ὑπεριδόντι μὲν καὶ τρυφὴν βασίλειον ὑπεριδόντι δὲ
καὶ θεσμὰ φύσεως, ὥστε καὶ τῶν φιλτάτων προτιμηθῆναι τὴν
ὑμετέραν ξυμπάντων εἰς ἓν συνδρομὴν καὶ ὁμόνοιαν. καὶ ὅσον
ἦν εἰκός, ὡς ἔδοξε, καταπέπρακται, καὶ τῶν εἰς σκάνδαλον εὔ-
λογον ἱκανῶν οὐδὲν περιλέλειπται, οἶμαι. τὸ δὲ καθ' ὑμᾶς
θαυμάζειν με πολλάκις ἐπῄει, τίσι λογισμοῖς ὀχυρούμενοι τῆς
ἐκκλησίας διΐστασθε καὶ πρὸς φέγγος οἷον ἀληθινὸν σκαρδαμύτ-

Constantinopolitanae communione nona supra vigesimam Septembris die imperator congregavit, educto etiam ad hoc Ioanne Tarchaneota e custodia, in quam eum libere prius vivere permissum, deinde quod et ipse patriarchae adversabatur, incluserat. hunc suo iussu emissum carcere ubi praesentem habuit cum reliquis, alto considens ad universam concionem verba fecit, sedentibus coram et caecis monachis, ad quos potissimum uti praecipua columina factionis et summae auctoritatis a partiariis ipsorum habitos intendere disputationis aciem parabat, habens circa se hinc quidem patriarcham, inde autem episcopos et clericos, universo praeterea senatu ac monachis praesentibus. in eo tam pleno et spectabili conventu hanc vehementem et accuratam orationem recitavit. "confido equidem vobis notum et cunctis esse hominibus, nihil mihi fore iucundius, nihil a me magis optari quam videre dei ecclesiam, omni amoto scandali praetextu, in pace plena constitutam. ad eum scopum iam tum ex quo administrare imperium arbitrio meo coepi, nihil non studii et contentionis intendi, posthabitis huic uni negotiis, quantumvis urgentibus, caeteris, neglecto fructu voluptatum, quarum copia imperantibus affluit, despectis etiam naturae affectibus et dulcissimarum necessitudinum respectu calcato, emi bene quovis impendio ratus vestrum omnium tranquillam in unanimi consensione concordiam. itaque, quod me attinet, haud vano gloriaturus videor me, quantum homini fas fuit, in eo genere conatum. nihil, inquam, omnium quod ad amolitionem scandali turbantis hodie quietem ecclesiasticam recte ac convenienter conferri posset, a me fuisse praetermissum, non temere, ut puto, persuadeor intimo conscientiae testimonio. vos quod spectat, mirari plerumque subiit, quibus tandem innixi rationibus perseveretis ab ecclesia disiuncti vivere, et qua caecitate animi lumen se ve-

τειν αἱρεῖσθε. εἰ δ' οὖν ἀλλὰ καιρὸς τὸ τοῦ θείου Δαυὶδ ἐξει- P 323
πεῖν πρὸς τὸν θεὸν ποτνιώμενον 'κύριε, κλῖνον οὐρανοὺς καὶ
κατάβηθι· ἅψαι τῶν ὀρέων καὶ καπνισθήσονται· ἄστραψον
ἀστραπήν, καὶ φωτιεῖς αὐτούς,' ὡς ἂν μικρὸν παραμείψαιμι τὸ
ψαλτῴδημα. θεοῦ γὰρ μόνου τὸ τὰς ὑμετέρας συνειδήσεις φω-
τίσαι, ἀνθρώπων θεῷ μὲν βιοῦν προελομένων, θεοῦ δὲ πόρρω
κινδυνευόντων καθίστασθαι, οὐκ ἄλλης αἰτίας χάριν ἢ τοῦ τῆς
ἐκκλησίας ὀρθοδοξούσης καὶ καλῶς ὡς εἰκὸς ἐχούσης ἀπρὶξ ἀπο-
σχίζεσθαι. εἰ δὲ ταύτης σχίζεσθε καθολικῆς γε οὔσης, εἴπατε B
πάντως ᾗ τινὶ δὴ καὶ ἑνοῦσθε. μὴ ἔχοντας δὲ λέγειν τὴν κεφα-
λήν, ὑμᾶς ἁρμολογεῖσθαι κατὰ θεὸν πῶς εἰπεῖν εὔλογον; μηδ'
ἀρίζηλον τὸν σκοπὸν δεικνύντας πῶς οὐ δίκαιον πλάνης ἀποί-
σεσθαι ἔγκλημα; εἴθε δὲ τοῦτ' ἦν καὶ μόνον, καὶ ἴσως τὰ καθ'
ὑμᾶς εἰς δίκαιον ἔλεον περιίστατο. νῦν δὲ ἀλλὰ δεδοικέναι ἀνάγκη
μή πως (ἀλλ' οὐχ ἐμὸς ὁ λόγος, οὐδ' ἡ κρίσις κατ' ἄνθρωπον,
πολλῷ δὲ μᾶλλον τοῦ πνεύματος, ἐπεὶ καὶ ὅσα ἅγιοι φθέγγονται,
πνεύματι θεοῦ κινούμενοι φθέγγονται) μή πως γοῦν θεοῦ λατρευ- C
ταὶ καὶ τῶν ἀσφαλεστάτων δοκοῦντες τῷ τε τῆς ἐκκλησίας σχί-
ζεσθαι καὶ τῶν ποιμένων κατολιγωρεῖν λαθόντες τῷ ἀντικειμένῳ

B θεμένων τὰ καὶ τὰ πράξειαν. καὶ ταῦτα λέγων ὁ βάρβαρος
προσῆπτε τὰς αἰτίας τῷ βασιλεῖ ὡς ἐκεῖθεν τὸ πᾶν παθόντων
ἐκείνων, σοβαρευόμενος ἐπὶ τούτοις καὶ σεμνοποιούμενος, εἴ τι
που καὶ γέγονε δυσχερές, εἰς αἰτίαν ἀνάγων εὐσχήμονα, καὶ ὧν
τὴν αἰτίαν εἰλήφεσαν Ἰταλοὶ ἐξ ἀλαστορίας συνήθους, εἰς τὴν
ἀπὸ βασιλέως πρόφασιν μεταφέρων, καὶ δικαίας τοὺς εἰργασμέ-
νους ἀπολύων μέμψεως. τέλος προσετίθει καὶ ὡς οὐδὲν μὲν αὐ-
C τοὶ ἀδικοῖεν, ἀποστερούμενοι δὲ τῶν μισθῶν ἀφαρπάζοιεν κατ᾽
ἀνάγκην τὴν χώραν κακοῦντες. τὸν μέντοι γε βασιλέα Μιχαὴλ
δυνάμεις περὶ αὐτὸν ἔχοντα Ῥωμαϊκὰς ἀκούειν κατ᾽ αὐτῶν ἱέναι
ὡς ἀδικούντων βούλεσθαι. ᾧ δὴ καὶ διὰ τοὺς ὅρκους οἷς πρὸς
τὴν βασιλείαν ἐπώμοτος ἦν, ἐπὶ πόδα καὶ γόνυ χωρήσειν μέχρι
καὶ ἐς τεσσαράκοντα ἴχνη διεβεβαίου, τοὐντεῦθεν δὲ καὶ αὐτῷ με-
λήσειν τῆς σωτηρίας αὐτοῦ τε καὶ τῶν ἰδίων· κἂν αὐτὸς πίπτοι,
D πεσεῖται, κἂν ἐκεῖνος, τὸ μόρσιμον. καὶ τοῦ λοιποῦ μὴ χρῆναι
σφᾶς φροντίζειν περὶ κυρίου, ὡς ἀναγκαῖον ὂν ἀμύνεσθαι τοὺς
ὑπάρξαντας, καὶ μὴ καθυφεικότα τῆς ὑπὲρ τῆς σωτηρίας σπου-
δῆς ναυαγεῖν ἐν λιμένι. ταῦτα καὶ τοιαῦθ᾽ ἕτερα κορύζης

famelicos cogeret obviis copiis rapiendis non abstinere. sic loquens barbarus reum peragere imperatorem conabatur scelerum omnium quae sui latrones perpetrassent, omnium damnorum quae illata miserrimis tractuum illorum fuissent incolis. quin et eadem impudentia iactantiae perrexit sibi quidem ac suis arrogare laudem omnem prospere gestorum, longe vero plura quae male successerant, et illas offensiones belli successusque barbarorum, unice imperatoris imprudentiae aut parsimoniae tribuere, non argumentis id ille quidem idoneis evincens, sed consueto Latini generis et fastu et iniquitate in Graecam nationem eam onerans invidia eorum quae peccasset ipse cum suis, et eos absolvendo, nos condemnans. ad extremum intulit a se nihil suisve iniuriose actum, quod iniuste fraudati stipendiis debitis, redactique ad incitas, unde viverent manu quaesivissent, diripienda in quam vocati fuissent regione. audire se tamen Michaëlem Augustum Romanas circa se habentem copias, minari exercitum infestum in ipsos immittere. huic viro, ut imperatoris filio et imperii consorti, scire sese nec dissimulare quid deberet. adeoque perstantem in fide debita iuratae illi subiectionis, paratum esse ipsum venerari procidendo ad pedes flexo et humi posito genu, vel usque ab quadragesimo vestigio. de caetero, si vim inferret, se haud cunctanter repulsurum, nihilque omissurum quod suae ac suorum expediendae saluti necessario adhibendum videretur. praelii successum in sortis arbitrio fore: se enim et cadere tali certamine paratum, et quemlibet se contra inferentem occidere. nec velle suos augurandis eventibus solicitos esse de domino. nam talium cura viris fortibus in discrimine negligenda est, uno proposito vigentibus intrepide pugnandi ulciscendique se ac frangendi intentam ex adverso vim. itaque non committemus, stulta salutis obiiciendae periculo formidine, ut iniuriae succumbentes servitutique inique mancipati naufra-

Ἰταλικῆς πλέα σοβαρευσάμενος, τὰ μὲν τῶν Ἰταλῶν κακὰ παρατρέχων καὶ εἰς αἰτίας μεταφέρων εὐλόγους, ὡς ὑπελάμβανε, τὰ δὲ τῶν βασιλέων ὑποκοριζόμενος ἀναισχύντως, μᾶλλον ἑαυτῷ τε καὶ τοῖς ἰδίοις πιθανὸς ἢ τοῖς ἀκούουσιν ἔδοξεν.

Οὐ πλείους ἐξ ἐκείνου τῶν δέκα παρῆλθον ἡμέραι, καὶ B γνοὺς οἷς οὐκ ἐχρῆν λόγοις ἐξαμαρτών, ἢ καὶ τὴν παρὰ τοῦ βασιλέως Μιχαὴλ δεδιὼς ἐπεξέλευσιν (ἠγγέλλετο γὰρ καὶ ταῦτα, ὡς στρατολογοίη ὁ βασιλεύς, κἂν παρὰ τοῦ πατρὸς καὶ βασιλέως ἐπείχετο γράφοντος), πρύμναν κρουσάμενος αὖθις γράμματα πλήρη δουλείας πεπόμφει πρὸς βασιλέα, ἀπολογούμενος μὲν αὐτῷ, εἴ τί που ἄρα καὶ παρεξελέχθη πικρὸν καὶ ἄλλως ἀπρεπὲς τὴν ἀπὸ τῶν Ἰταλῶν ἀνάγκην καὶ τὸν ἐκεῖθεν κίνδυνον ὑπονοουμένῳ, P 357 ἀξιῶν δὲ λογίσασθαι μὲν καὶ τὴν καινοτομίαν τῆς χώρας ὁπόση, παρακατασχεῖν δ' ὑπὲρ ταύτης ὁπόσον καὶ βούλοιτο, παρ' ὃ καὶ μόνον τὸ λοιπὸν ἐξ ὧν χιλιάδων ἀπῄτουν διδόναι, κἂν οὐ νῦν τὰς πάσας, ἀλλ' οὖν τὰς πλείους τῶν ὅλων τέως, ἐπὶ δὲ τῷ λείποντι εἰς διωρίαν προσαναρτᾶν. εἰ δ' οὖν, B ἀλλ' αὐτὸς μὲν ἔλεγε δοῦλος εἶναι καὶ πάλιν καὶ τοῖς εἰς τὴν βασιλείαν ὅρκοις ὑπεύθυνος, ἔχειν δὲ καὶ σὺν αὐτῷ χιλίους τοὺς

gium in portu faciamus. haec et huius generis plura Italae plena insolentiae licentissime blaterabat barbarus, foeda suorum Latinorum facinora speciosis, ut putabat, integeus obtentibus, res imperatorum extenuans deprimensque impudenter, sed eo dicendi successu, ut sibi solum ac suis, nulli autem aliorum qui audirent, probabilia loqui sit visus.

Non plures decem ex hac habita concione dies effluxerant, cum visus est intelligere Rontzerius sese ultra quam fas foret dicendo provectum, sive id illi sua ipsius prudentia suggessit, sive istam inspiravit poenitentiam metus ab Augusto Michaële, impetum, ut dicebatur, mox in ipsum facturo et ad hoc exercitum augente novis delectibus, quamquam literis patris ab eo consilio retrahebatur. utut sit, cursu, quod aiunt, reflexo Rontzerius literas plenas humilitatis cum obnoxia professione servitutis ad Augustum seniorem dedit, excusans solicite si quid ipsi erga eius maiestatem acerbius aut alloqui minus dictu conveniens nupera concione excidisset. si quid tale foret, sibi summa vi expressum, necessitate deliniendi concitatos in seditionem in seque adeo ipsum irruere hostiliter paratos feros Italorum animos. de negotio ipso flagitatorum ab his tanto furore stipendiorum, sic nunc sibi videri rem posse confici. aestimari iubeat maiestas eius damna nuper illata regioni praedis rapinisque Catelanorum. eam summam in stipendiorum retro debitorum partem imputet, eoque nomine retineat ex illis quae poscunt nummorum millibus, quantum ex aequo censuerit. reliquum debitum repraesentet modo, si non totum, saltem ex parte maiore: caeterum solutionem suspendat, pollicendo se in tempore provisurum. sese quod attineret, iterum ex animi sui sententia verissimo affectu profiteri subiectum se maiestati eius esse, ac pro iurisiurandi religione obsequentissima voluntate praeparatum ad ei serviendum. habere etiam sibi satis morigeros e suis mille; quos si sit opus et imperator iu-

εὐπειθεῖς, τοῖς δ' ἄλλοις ἂν αὐτῷ ἢ βουλομένῳ μάχεσθαι, ἐπεὶ
κἀκείνοις σκοπὸς ἢ λαβοῦσιν ἠρεμεῖν ἢ μὴ λαβοῦσι τὴν χώραν
καταδραμεῖν, καὶ αὐτὸς συνάμα ταῖς βασιλικαῖς δυνάμεσιν ἐπιτί-
C θεσθαι. (19) τὰ δ' αὐτὰ ταῦτα καὶ Κατελάνοι πρέσβεις πρὸς
βασιλέα τρεῖς πέμψαντες, ἐπὶ διωρίᾳ πεντεκαίδεκα ἡμερῶν, μετ'
P 358 εὐσχήμονος καὶ τρόπου τῷ δοκεῖν καὶ προσώπου διεπρεσβεύοντο·
οἷς δὴ θέλων καὶ αὐτὸς βασιλεὺς ὑπ' ὄψιν θεῖναι τὰ σφίσι πρα-
χθέντα, καὶ δεῖξαι ὡς πολλὰ μὲν ἔσχον καὶ θέλοντος αὐτοῦ καὶ
μὴ θέλοντος, οὐδὲν δ' ἔπραξαν ὅσα μισθοὺς ἐφέλκεσθαι δύναν-
ται, ἐνάτῃ Κρονίου τοὺς ἰδίους συνεκκλησιάσας, παρόντων καὶ
τῶν τῆς πολιτείας χρησίμων ἐν κοινῷ, καὶ αὐτὸς ἀρχῆς ἀπ' ἄκρης
τὰ κατ' αὐτοὺς διεξῄει, ἐμοὶ δοκεῖ, ἀντίτομα τῆς ἐκεῖ δημηγο-
ρίας συνεργαζόμενος ἄντικρυς. διεξῄει γὰρ καὶ οὗτος πρὸς τοὺς
B πρέσβεις λέγων ἀρχῆθεν τὴν ἀπὸ τῆς Σικελίας τοῦ ἄγοντος σφᾶς
ἀξίωσιν, καὶ τὴν αὐτοῦ ἐπὶ τούτοις νεῦσιν καὶ πρόσκλησιν, καὶ
ὅτι οὐ τόσους μετεκαλεῖτο ὅσους ἦν ἀγαγὼν ἐκεῖνος, καὶ ἀγαγὼν
ἠξίου πρὸς καιρὸν δέχεσθαι, ὅτι τε διαχειμερίζοντες κατὰ Κύζι-
κον καὶ ἐς ἔαρ οὐχ ὅπως ἐνήργουν κατὰ τῶν πολεμίων, ἀλλὰ καὶ
πόλλ' ἄττα τὴν χώραν εἰργάσαντο δυσχερῆ. εἶτ' ἐπισυνῆπτε

5. βασιλέως P. 11. ἀπ' deerat.

beat, dncere non dubitet adversus alios in contumacia perstantes et adhuc vociferantes se, si pecuniam qnam petunt accipiant, quieturos, sin minus, regionem incursuros hostiliter. horum ulcisci proterviam conserendo cum his praelio in animo sibi esse, ubi suarum caeterarum copiarnm idoneum ad spem victoriae subsidium adiungi sibi Augustus insserit. (19) eadem porro vel his similia Catelani post sumptum qnasi ad deliberandum iutervallum quindecim dierum, trium e suis legatione ad imperatorem missa, non sine decora specie submissionis venerabundae ac compositae iam mentis exposuerunt. qnibus volens imperator ob oculos ponere qnae fecissent, et ostendere istorum quae poscerent pleraque iam ipsos praesumpsisse, partim volente partim nolente se, nihil vero in suum obsequium egisse omnium qnae attrahere mercedem in sedulos ministros nt merentes possnnt, nona die mensis Martii, congregatis in conventum palatinis familiaribus, adhibitis etiam eodem e civium corpore quorum tali negotio praesentia ntilis videretur, ipse inde usque ab ultimo res initio repetens, super et actis et postulatis et meritis Catelanorum exorsus est dicere. mihi videtur opportunum eius orationis summam hic in pauca contractam ponere. principio ergo quid scribens e Sicilia dux eorum petierit, ntque ipse ac qnatenus annuerit ipsumqne vocaverit, memoravit, magnopere observari iubens sese handqnaquam tot accersivisse quot ille duxisset; quos tamen iam adductos qnia dnrum esset continuo dimittere, precibus ducis indultnm a se ut ad breve dumtaxat tempus retinerentur. executus hinc est nt illi hibernantes apnd Cyzicnm ibique ad ver usque adultum diversantes non modo nihil contra hostes egerint, sed multa interim gravissimaqne damna incolis eius regionis intulerint. adiunxit his

καὶ τὰ κατ' ἀνατολήν, καὶ ὡς πόλλ' ἄττα καὶ δεινὰ οὐ τοὺς ἐχθροὺς ἀλλὰ τοὺς Ῥωμαίους διατεθείκασι. καὶ νῦν δὲ διαπεραιωθέντες, C ἔλεγε, πόλλ' ἄττα καὶ ἀτάσθαλα κατὰ δύσιν πράξειαν, ὧν οὐδὲν ἐκ τοῦ εἰκότος αὐτῷ οἱ ἄπυστον εἶναι. ἐξ ὧν ἱκανῶς ἔχειν τῶν μισθωμάτων, ἥν τις λογίζοιτο, σφᾶς. ἅπερ ἄξιον ὂν δεινῶς μετελθεῖν οὐ μετῆλθεν ὅμως, ἀλλὰ καὶ ἄλλα προσφιλοτιμεῖται, καὶ πρὸς ἀνατολὴν πέμπει, χώραν ἱκανῶς ἔχουσαν σφᾶς τρέφειν. ἐκεῖνοι δὲ ἀλλὰ σοβαρευόμενοι ἀπειθοῦσι, καὶ προσέτι προσαπειλοῦσι, μηδὲν ἀκριβῶς εἰδότες τὴν βασιλείαν Ῥωμαίων ὁπόσον ἰσχύει καὶ ὡς εὐπετῶς ἔχει καὶ τριήρεις ναυπηγήσασθαι D καὶ μαχηταῖς ἐξαρτύσασθαι, μηδὲν δεομένη συμμάχων ἐκείνων, ἀλλ' ἐπὶ τοσοῦτον τὰς δυνάμεις ἀποχρώσας ἔχουσα ὥστ' εὐμαρῶς ἔχειν φόβον καὶ τοῖς μακρὰν ἐμβαλεῖν, κἂν τῷ τέως αἰτιῶν πολλῶν προσίστανται ἁμαρτίαι. εἰ τοίνυν ἀγαπῷεν λαμβάνοντες τὰ διδόμενα. εἰ δ' οὖν, καὶ αὐτὸν ἔχειν ἀμυνεῖσθαι ἀλιτηριώδεις φαινομένους ἀντὶ συμμάχων, εἴ που τοῖς καθεστῶσι

6. ὂν decrat. 13. τέως ἐξ αἰτιῶν?

quae iidem deinde in tractu Orientali fecissent, ut nimirum iniuriis et contumeliis plurimis non hostes sed Romanos affecerint. et nunc quoque traiecto Hellesponto quam saeve ac flagitiose vexaverint Occidui tractus Romanos habitatores attexuit; quorum quidquam ignotum inauditumque sibi esse si opinarentur, vehementer errarent. atque haec tot locis ab his corrasa si quis aestimatione rite inita in summam colligat, reperiet haud dubie plus satis iam eos stipendiorum ac mercedum accepisse. ubi cum indignandi locus esset quod quae violenter extorsissent iterum seditiose minaciterque reposcerant, bis in eodem idque intolerabiliter peccantes, tamen consueta se utentem lenitate, non modo rapta non repetere, sed super haec offerre donum gratuitum pecuniae, si se ad modestiam componant, ipsis numerandae, assignareque regionem in qua commode vivant, provisis iam a se copiosis alimentis, in Orientali continente, quo transfretare ipsos iubeat. quid ad haec autem illi? nempe consueta fremunt audacia, et praeterquam contumaciter obsequium detrectant, etiam insolenter minari non verentur, non reputantes quale ac quam potens sit Romanum imperium, quam ipsi facile et triremes fabricare et fortibus easdem complere copiis, sicque ostendere quam non egeat auxiliis ipsorum; quippe quod optimo militum genere ita, cum vult, abundat, ut terrorem sui in dissitas procul gentes praferre soleat, utcumque nunc provocata peccatis multorum dei vindicta, cladibus attritum inopinatis langueat paululum, non sine spe tamen pristini vigoris cito resumendi. consulant isti ergo rebus suis, et contenti, si sapiunt, donativis ex mera sua liberalitate oblatis pacate se conferant quo iubentur. sin furere pergunt, sane sciant se haud cunctaturum amplius, quod facile queat, rebelles sceleratos poenis meritis subiicere; nec passurum ut, quod hactenus fecerunt, hostes se Romanis crudelissimos, nomine sociorum admissi, perfidiose prae-

E παρεγχειροῖεν. μηδὲ γὰρ ἀγνοεῖν ὅλως ὁπόσοις ἐκ τῶν Ῥωμαίων ὀλίγου ἐνικανώθησαν χρόνου, καὶ ταῦτ᾽ ἐφ᾽ ἱκανὸν ἐς Θευδερίχου πολέμοις συνεχέσι ταλαιπωρούμενοι, καὶ μηδὲν ἀπονάμενοι τῶν ὅσα δεικνῦσιν εὔπορον. σημεῖον δ᾽ εἶναι τὸ ἐκεῖθεν ἀπαλλάττοντας μηδὲν ἐς νέωτα ἐπιφέρεσθαι, ἀλλ᾽ ὥσπερ ἐν ἐρήμοις διάγοντας, οὕτως ἐκεῖθεν φανῆναι γυμνούς τινας καὶ ἀνόπλους
P 359 καὶ μηδὲ τῶν καθ᾽ ἡμέραν ἐς τροφὴν εὐποροῦντας. νῦν δ᾽ ἀλλ᾽ ἀργοὶ κάθηνται καὶ ὑπερηφάνους τὰς μισθοφορίας ἀπαιτοῦσι, τί καὶ πράξαντες ἀγαθὸν καὶ μαχητῶν ἔργον γενναίων, τοὺς ἐχθροὺς καὶ ταῦτα ἐγγὺς ὁρῶντες, πολέμοις συντραφέντες καὶ μάχαις, ὡς λέγουσιν. ὧν χάριν ἐγκαλύπτεσθαι δέον, οἳ δὲ καὶ ἀπειλοῦσι κατατρέχειν τὴν χώραν, ὥσπερ ἂν ἔρημος προύκειτο τοῦ πολυωροῦντος, καὶ ὡς οὐκ οἴδασιν ὡς κατὰ νώτου τούτοις ὁ βασιλεὺς καὶ αἱ περὶ αὐτὸν δυνάμεις, ὧν μὴ ὅτι γε τὴν προσβολήν, ἀλλ᾽ οὐδὲ τὴν φήμην προσπελαζόντων ἐνέγκαιεν.

B 20. Ταῦτα καὶ πλείονα τούτων διαλαλήσας ἐκείνοις μὲν τὸ σφίσι συνοῖσον ἀφῆκε βουλεύεσθαι, αὐτὸς δὲ τὸν τοῦ οἰκείου

2. ἐς] ἐν?

beant. sese porro facultatesque circumspiciant suas, nec obliviscantur quod palam est, ipsos, quidquid habent, quo vivunt et spirant, a Romanis accepisse; quos dudum fame et egestate perisse necesse fuerat, nisi omnium inopes e Theuderichi castris Romanum imperium fomentis recreatos opportunis, incolumes ad hoc tempus perduxisset. pallidos, exangues, miseras reliquias belli Siculi, nudos vos atque inermes excepimus, omnibus indiciis monstrantes quam sterilem ac damnosam alibi militiam militaveritis; ex qua utique vobis, quantum apparebat, ne unde quidem in diem posterum vel misere vesceremini supererat. nam ita facie luridi, ita vestibus laceri, ita professionis etiam instrumentis vestrae, armis, inquam, destituti in littus estis nostrum expositi, quasi e deserto quodam et vasta solitudine in terras demum cultas transiretis. nunc vero impinguati nostris copiis otiosi videlicet desident: quin et feroces tumidique laborum, quos ignave vitarunt, mercedes flagitant. quanam vero eas navanda opera promeriti? agite, quid memorabile gessistis? quo forti vos facinore manu rem gerendo commendastis? atqui hostes non deerant, quos ante oculos habebatis, summo vestri contemptu ferentes agentesque late cuncta. haeccine decora vestra sunt, hominum, si ipsis de se praedicantibus creditur, bellis innutritorum ac praeliis? qui si vera memorant, pudere ipsos, quod a pristina virtute tam probrose degeneraverint, deceat, et latebras ignominiae suae quaerere. atque hi tamen sunt quos audio minari hostiliter incursuros terras nostrae ditionis, tamquam regiones nostro subiectae imperio praesidiis tutelae ipsarum invigilantibus careant. neque cogitant imminere ipsis a tergo Augustum Michaëlem, tot ac talibus instructum copiis, quarum ne famam quidem adventantium, nedum impetum ac vim irruentium queant sustinere.

20. Haec et plura horum prolocutus imperator Catelanos, ut de rebus suis secum deliberarent, dimisit. ipse autem proprii germani Con-

αὐταδέλφου τοῦ πορφυρογεννήτου Κωνσταντίνου υἱὸν ἀναδοχῆς ἀξιώσας μείζονος ἢ κατ' ἀδελφόπαιδα, ἅμα δηλῶν ὡς τάχα ἂν καὶ τῷ πατρὶ τούτου καλῶς ἐς ἅπαν ἐχρᾶτο καὶ διὰ τέλους ἤγαλλεν, εἰ μή γ' ἐκεῖνος τὰ πρὸς αὐτὸν ἐφωράθη δύσνους, τιμᾷ οὔπω τελέως τοῦ ἑπτακαιδεκάτου ἐπιβάντα ἔτους τῷ τοῦ πανυπερσεβάστου ἀξιώματι, πλὴν οὐ κατὰ τὸ ἀρχῆθεν τῆς ἀξίας ταυτησὶ σχῆμα, ἀλλὰ καὶ τοῖς ἐκ τῶν κιρρῶν παρασήμοις σεμνύνει, ἃ δὴ τῆς ἐπαρχίας πρότερον σύμβολα ἦσαν, ἀξύμβολον ὅσον ἐπὶ P 360 τούτοις τοὐντεῦθεν τὸν ἔπαρχον καταστήσας. οὕτω γὰρ πρότερον κἂν δυσὶν ἐπάρχοις, τῷ τε Ὑπερτίμῳ καὶ τῷ Χαλκεοπούλῳ, πεποίηκεν, ἀξυμβόλους καταστήσας σφᾶς, ὡς ἄξιον ὂν τὸν ἐγγὺς βασιλέως ὄντα καί γε πρὸς αἵματος, λέγων, παρασήμοις τοιούτοις σεμνύνεσθαι. ταῖς δὲ περὶ τὸν υἱὸν καὶ βασιλέα δυνάμεσι πέμψας προστάττει, ἐπεὶ ἐκείνους οὕτως ἀπέπεμπε, συναχθείσας περί που τὴν Ἄπρω στρατοπεδεύεσθαι, κἂν που συνεξορμῷεν σὺν Ἀμογαβάροις Κατελάνοι, πειρᾶν ἐπέχειν πολέμῳ. καὶ B ταῦτα μὲν ἔπραττε βασιλεύς, οὐδὲ τὸν γαμβρὸν ἀφιεὶς ὅλως τῆς προσπαθείας καὶ ἀπαρτῶν τῆς κηδεμονίας, ἀλλὰ παντοίως προσποιούμενος καὶ Καίσαρα ἤδη φημιζόμενον, ἐπεὶ καὶ ἡ σύζυγος ἐκείνου τὰ Καισαρικὰ ἅμα δεξαμένη περιεβέβλητο. καὶ

4. ὑφοράθη P.

stantini Porphyrogeniti filium in maiorem honorem provehens quam sperare a patruo verisimiliter potuerat fratris filius (significare videlicet, opinor, volens; se patri huius adolescentis mortuo constans exhibiturum fuisse, dum viveret, officium benevolentiae fraternae, nisi ille se sibi infensum manifestis indiciis monstrasset) ornavit eum, nondum anno aetatis septimo decimo egressum, panhypersebasti dignitate, quamquam ei non concessit a principio habitum eius tituli proprium, sed gilvis eum insignibus honoravit; quae praetoriae prius erant symbola potestatis, ita ut deinceps praetor ornatum non haberet qui uni ipsi conveniret proprie. sic enim et prius duobus praetoribus Hypertimo et Chalceopulo fecerat, propriis eos privans insignibus, dum horum usum communicat aliis. aiebat autem rationem reddens facti huius imperator videri sibi peculiariter aptum colorem gilvum insigniendis qui gradu ac consanguinitate proxime imperanti sunt admoti. iam quoniam providebat a Catelanis, super repulsam etiam obiurgatione a se irritatis aspera, insultum iure aliquem timeri posse, Michaëlem Augustum iussit, collectis cunctis in unum copiis circa arcem Apro dictam castra metari, ac si qua erumpere cum Amogabaris Catelani conarentur, vi eos pugnaque cohibere. atque haec sic agens imperator haudquaquam affinem suum intimum et quasi generum Rontzerium plane abdicabat, aut benevolentiae curaeque, quas talis necessitudo posceret, omnino expertem relinquebat, sed e contrario genere omni blanditiarum demulcebat, iam utique paene declaratum Caesarem: Caesarea quippe insignia uxor eius ab Augusto accepta induerat. sata-

ταῦτ' ἔπραττε τῶν πολλῶν διιστᾶν ἐκεῖνον πειρώμενος, ἐπεὶ καὶ
αὐτὸς τοιαῦτα πέμπων πρὸς βασιλέα διεμηνύετο.

C 21. Ὁ δέ γε πατριαρχεύων Ἀθανάσιος τὰ πολλὰ παρὰ
τοῦ βασιλέως συγκροτούμενος, οὐδὲ αὐτός, ὡς ἐδόκει, καθυ-
φίει τῆς πρὸς ἐκεῖνον θεραπείας, καὶ μᾶλλον ὅτι γε καὶ πολλῶν
τῶν δυναμένων βασιλεῖ συνεῖναι καὶ ξυνεργεῖν εἰς τἀγαθὸν ἔρημον
τοῦτον ποιεῖν συνέβαινε, τοῦτο μὲν ἀποφυγόντων ἑκουσίως ἐς
πόλεις ἑτέρας, τοῦτο δὲ καὶ αὐτῶν αἰτίαις περιβαλλόντων ἐκεί-
D νους ὧν ἕνεκα καὶ ἀπηρτημένοι βασιλέως ἦσαν. καὶ διὰ ταῦτα
ὑποποιούμενος τὸν καιρὸν οὗτος συνεχέσιν ἀγρυπνίαις καὶ λιτα-
νείαις περιεσπᾶτο, στῖφος μοναχῶν συγκαλῶν καὶ ἱερωμένους καὶ
πλῆθος ἄλλο, καὶ πολλὰ ὑπερπαθῶν τῷ δοκεῖν συνόδοις ὁλοημέ-
ροις μόνος ἀρχιερέων, μόνος τῶν προυχόντων τῆς ἐκκλησίας,
P 361 τοὺς μὲν παραπέμπων ὡς δῆθεν εἰς τὰς λαχούσας, τοὺς δὲ καὶ
παρὰ φαῦλον τιθέμενος, τὰς ἀμφισβητήσεις τοῦ πλήθους δια-
λύειν πειρώμενος, κἂν ἄλλως κακῶς εἶχε τὸ τῆς ἐκκλησίας πλή-
ρωμα, τῶν περιφανῶν ἐν ἐνδείᾳ καὶ ἀτιμίᾳ διαβιούντων. οὐ

gebat videlicet hac arte a communibus gentis suae consiliis Rontzerium abducere, occasionem eius spei e missis ab hoc arcano ad se nuntiis sumens, quibus studiose persuadere conabatur se devoto perstare in Augustum animo, sed quandam agendi loquendique adversus imperatorem simulationem extorqueri sibi metu ac minis suorum, quorum contumaciam tacitus detestaretur.

21. Patriarcha porro Athanasius ut ingenti semper favore atque applausu imperatoris honorabatur, ita nec ipse videri volebat ulla vicissim in re cessare quae ad ei gratificandum obsequendumve pertineret. ad quod illum stimulabat maxime solitudo imperatoris et destitutio a multis sua causa absentibus, quorum praesentis et opera in tot illis difficultatibus gravissimi temporis iuvari potuisset, quibusdam eorum exillum sibi sponte consciscentibus recedendo in civitates alias, et iisdem caeteros implicantibus in easdem causas ob quas ipsi ab imperatore discessissent. quare patriarcha congruentem tristitiae temporum sollicitudinem ostentans, continuis vigiliis et litaniis numen propitiando rerum in praecipiti pendentium ruinas fulcire conabatur. multus igitur erat in congregandis ad orationem monachorum coetibus, sacerdotum quoque ac turbae caeterae, prae se ferens ex animo se compati calamitatibus publicis. quotidianas quin etiam celebrabat synodos, quamquam solus ipse quidem archiepiscoporum, solus ecclesiasticorum procerum, quippe cum reliquos ipse ab urbe amandasset omnes, alios quidem ad suas ecclesias praesenti cura regendas ire iubens, alios delationibus vulgi ad suum tribunal vocatos, secundum accusantium vota fere iudicans, ignominia deformatos cogens declinare conspectum multitudinis et prae pudore dedecoris iniusti latebras peregre quaerere. reliquum vero ecclesiasticorum corpus graviter universum laborabat, illustrioribus quibusque horum partim inopia conflictatis, partim honore imminuto de gradu splendoris pristini deiectis. non enim

γὰρ ἐξήλλακτο τῷ ἀνδρὶ τὰ τοῦ ἤθους οὐδ᾽ ἐς βραχὺ καταστάσεως τῆς ἀρχῆθεν, καίτοι γε τοῦ βασιλέως πληροφοροῦντος, ὅτ᾽ αὐτὸν ἐπὶ τῶν ἐκκλησιαστικῶν καὶ πάλιν πραγμάτων ἐποίει, ὡς τὸ ἦθος ἐνήλλακται. ὅλως δὲ ἀθώπευτος ἦν καὶ ἄτεγκτος, καὶ ἵν᾽ οὕτως εἴπω, κατὰ τοὺς κερασβόλους κυάμους ἀμάλακτος, B βαρὺς μὲν μοναχοῖς, ἐξαλλάττων καὶ αὐτὰ τὰ τῶν μονῶν τυπικὰ καὶ μονοφαγίαν δι᾽ ἔτους ἐξακριβούμενος, ὡς καὶ ἐννατίζειν ἀεί, κἂν ἐφιστῷτο δεσπόσυνος ἑορτὴ καὶ τῶν πασχαλίων, βαρὺς δὲ καὶ κληρικοῖς, βαρὺς δὲ καὶ λαϊκοῖς, καὶ τὰ πάντ᾽ ἄγων καὶ φέρων εἰς θεῖα δικαιώματα, οἷς οὐδ᾽ ὅλως οὐδ᾽ οἱ ὁμολογουμένως περὶ τὰ θεῖα ἠκριβωμένοι κατεχρήσαντο. καὶ ἐπορεύετο κραταιούμενος ἐπὶ τούτοις βασιλέως συγκροτησμοῖς, κἂν πάντες, C καὶ μᾶλλον τῶν ἐπιδήλων, δυσχερῶς εἶχον τοῖς παρ᾽ ἐκείνου πραττομένοις. τὰ γὰρ ἐκείνου ἤθη πρὸς τὰ τῶν ἄλλων ἐξαίσια ἦσαν καὶ οὐδ᾽ ὅλως ἐκείνοις συνέβαινον, τοῖς μὲν ἐξ ἐναρέτου δῆθεν δοκήσεως, τοῖς δ᾽ ἐξ ἐμφύτου γνώμης δοκοῦν, τοῖς δ᾽ ἐμπαθοῦς διαθέσεως κατὰ γνώμην τῶν πάλαι. ὁπόθεν δὲ τοῦτ᾽

vel ad breve tempus Athanasius immutare quidquam aut remittere da illa morum acerbitate priori patriarchatu odiosissime exercita curaverat, utcumque et credidisset imperator et persuadere eliis spondendo studuisset, quando illum ecclesiasticis rursus negotiis praeposuit, alium plane iam ipsum a primo illo dudum exoso ac formidato nunc esse factum, cum tamen is tunc maxime nullis se verborum officiis delinibilem, praerigidum plane quendam, et ut sic loquar, prout de fabis aiunt cornu tactis, nulla coctura emollibilem praeberet, gravem quidem monachis (quibus ipsum quotidie numerum psalmorum et cantus ecclesiastici, usu monasteriorum singulorum dudum definiti, modum passim exaggerans mutaret, eisdemque de novo praescriberet, tamquam instituti observationi monastici necessario annexam, religionem continuati citra intermissionem ullam per totum aeque annum ieiunii, unica in die refectione contenti; unde fiebat numquam plane hora prius nona gustare quidquam monachos, ne in festis quidem domini aut ipsis Paschalibus), gravem etiam clericis, gravem et laïcis, dum omnia omnium ad divinarum, ut aiebat, iustificationum normam acerbe aemper emendans revocat; quali severitate nullum eorum qui omnium confessione haberentur divinarum legum observatores exactissimi, usum fuisse constabat. inter hos ille velut inanes contemptim fremitus erecta fronte, quo intenderat gradiebatur, fretus sibi paratissimo, et quo magis pergeret, benignius semper aspirante favore imperatoris, quantumvis interim omnes ringerentur, maxime autem insigniores quique aegerrime ferrent quae ab illo videbant fieri, tantumque abessent a dignandis assensu vel approbatione sua ulla eius actis, ut mores ipsius in comparatione cum aliis laude omnium celebratis praesidibus ecclesiarum plane sibi videri monstrosos atque horribiles non dissimularent. in eam alios sententiam adducebat recta aestimatio verae virtutis: alii sensu quodam innato et quasi genii abhorrentis incitabantur impulsu. nonnullos, nec forte paucos, stimulabant irae in Athanasium veteres, prioris olim eius regimi-

ἦν, ἔξεστι γίνεσθαι τοῦ πείθοντος λογισμοῦ. ἀμέλει τοι καὶ
μὴ μόνον τοῖς ἀρχῆθεν σχιζομένοις ἀλλὰ καὶ τοῖς ἄλλοις ἀγλευ-
D κὴς ἐδόκει καὶ ἀτενοῦς ἤθους καὶ ὅλως δυσπέμφελος. βασιλεὺς
δὲ οὐ μᾶλλον ἐκεῖνον ἢ τὴν οἰκείαν συνιστῶν οἷον, ὡς ἐῴκει,
γνώμην, ἐφ' οἷς καὶ τὴν ἀρχὴν ἐκεκρίκει, οὐδ' ἐς βραχὺ τῆς
ἐπ' αὐτῷ πολυωρίας καθυφίει. ἐπεὶ δὲ καὶ φάμουσ' ἄττα ῥι-
φέντα μέχρι καὶ ἐς αὐτοῦ χεῖρας πεφθάκει, δείν' ἄττα λέγοντα
καὶ ἀπᾴδοντα, οὐκ ὀλίγην κἀκεῖνος εὑρίσκει σχεδιασθεῖσαν τῷ
πατριαρχοῦντι σύστασιν ἐξ αἰτίας τοιᾶσδε. εἶχε μετὰ πολλῶν
E ἄλλων ἡ πόλις καὶ Ἀρμενίους ἐποίκους. τῶν τις καὶ προεπε-
φθάκει προσδραμὼν τῇ καθολικῇ ἐκκλησίᾳ καὶ μύρῳ τῷ ἁγίῳ
χρισθείς. παρ' ἣν αἰτίαν καὶ ἄλλοις μὲν τοῖς ὁμογενέσιν ἀπό-
στοργος ἦν, διαφερόντως δέ γε τῇ ἀδελφῇ. ὡς δὲ καὶ πικρῶς
εἶχον καὶ ἐλοιδοροῦντο τῷ ἀποκλίναντι διὰ τὴν μετάθεσιν, ἐνε-
πικραίνετό οἱ καὶ ἡ ὁμαίμων, καὶ μέσον τούτων ἔχθρα συνίστατο.
ὧν ἐν μιᾷ διαλοιδορουμένων, κἀκείνου προσαπειλοῦντος ἀναφέ-
P 362 ρειν τῷ πατριάρχῃ καὶ τὰ παρ' αὐτῶν ὀνείδη διεγκαλεῖν, εἷς
παρευρεθεὶς ἐκείνοις καὶ ἀναξιοπαθήσας οἷον, τὴν ἔγκλησιν

nis iniuriis accensae, quarum memoriam praesens similium experientia refricabat. cuiusmodi praeiudicia quos insederint animos, iis nimirum facile persuadent iustis se nec repreheusieui ebnexiis moveri ediis, dum ees aversantur quos tam merite cuuctis exesos intelliguut. verum Athanasius vel ignarus vel sic tauquam ignoraret securus adee flsgrantis in ipsum invidiae, nen iis solum quos priori functione patriarchalis potestatis irritaverat vexando, absciudique a sui communione coëgerat, durum indomitumque se praebebat, sed et sine discrimine cunctis aliis acerbus, austerus, merosus, ac velut mare procellosum, minaci semper apparere pergebat, si non etiam affectabat, terribilis specie. porro imperator non magis illum quam proprii a priucipio de ille declarati auctoritatem iudicii constantia perseverabat irrevocabili tueri; nec ei consulendi eiusque invigilandi securitati providam solicitudinem remittebat. quoniam vero tam licenter in vulgus spargebantur libelli adversus Athanasium famosi, ut quidam eorum gravia et valde absons contiueutes usque ad ipsas imperatoris pervenirent manus, inventam is eccasionem cupide arripuit patriarchae de nevo ad populum commendandi ex causa qusm mox exponsm. hsbebat urbs inter alios variarum gentium inquilinos plures etiam aliquoa Armenos. horum quispiam relicto suorum ritu nostrae se catholicae aggregaverat ecclesiae, sacre ad hec uuctus chrismate; quo nomine magnum in se concitarat odium popularium suorum, praesertim vere sororis, adeo ut passim eum cum caeteri consanguinei conviciis proscinderent, qued e religione patria ad aliam descivisset, tum eundem amarissime ob id ipsum germana increpare non desineret. eratque tali ex causa coutinuum inter eos commissum iurgium. quod dum die quadam ferventius agitaretur, hinc de more conviciautibus homini domesticis, inde illo minante se ad patriarcham relaturum quae sibi exprobrareut et eos apud ipsum accusaturum, repertus illic quidam est qui, velut rem indignam ra-

ἐβλασφήμει καὶ πίστιν καὶ πατριάρχην, τὸν καταφρονητὴν ὑπεμφαίνων, ὡς ἥκιστα φροντιῶν, εἰ ἐπικαλοίη. μικρὸν διῆλθε τῆς ὥρας, καὶ ἀποστὰς ἐκεῖθεν, μεταξὺ τὴν ὁδὸν διερχόμενος, παρὰ μηδεμίαν αἰτίαν ἐμφανῆ ξυμποδίζεται καὶ πίπτει πτῶμα δεινόν, καὶ ἔδοξεν ὑποσχὼν δίκας τῆς βλασφημίας, δεινῶς συντριβεὶς τὸν πόδα. ταῦτα μαθὼν βασιλεύς, καὶ ὡς εἰκὸς τὸ B πραχθὲν ἡγησάμενος θαυματούργημα, τὸ πᾶν τοῦ παραδόξου τῷ πατριαρχοῦντι προσανετίθει, δέον ὄν, οἶμαι, καὶ μᾶλλον θεῷ καὶ τῇ πίστει, ἣν ἐκεῖνος ἀφρόνως βεβλασφημήκει. καὶ αὐτίκα πρωΐας σύναξιν κοινὴν παραγγέλλει, ἐπιτάττει δ' ἐνεχθῆναι καὶ τὸν καταραχθέντα ὡς εἶχεν ἐπὶ τοῦ σκίμποδος. οὗ δὴ καὶ ἐς μέσον τεθέντος, πολλὴν καὶ διωλύγιον διεξῄει δημηγορίαν, συνιστῶν ἐντεῦθεν ὃν συνιστᾶν ἤθελε, τῶν δ' ἀπ' αὐτοῦ σχιζομένων, καὶ μᾶλλον τῶν ἰδίως ζηλούντων, τὰ πλεῖστα καθήπτετο, C κἂν ἐκεῖνοι τὴν γνώμην ἀμετάθετον εἶχον ἐφ' οἷς ἀρχῆθεν ἐπισχυρίζοντο. καὶ ἔπασχον μέν, ἔπασχον δ' ἂν καὶ τὰ μέγιστα, εἰ βασιλεὺς ὑφίει καὶ συνεχώρει. ἀλλ' ἀνεῖχεν ὅλως τὰς ἐπ' ἐκείνοις τῶν ἄλλων ὁρμὰς τρόποις χρηστότητος.

22. Ἐν τούτῳ καὶ ὁ ἀπὸ μεγάλου δουκὸς Ἰταλὸς μὲν τὸ P 363

tus intentari ipsis auctoritatem alieni patriarchae et iudicii eius periculum denuntiari, erupit in maledicta, diris devovens et fidem et patriarcham istum, quem contemnere se nec nauci facere, aut quid de se censeret, si coram eo citaretur, omnino curare demonstrabat. nondum huic tota a prolatis verbis talibus hora effluxerat, cum abscedens inde, dum per urbem ambulabat, ex nulla quae appareret causa supplantatur sterniturque humi diro casu, visus blasphemiae poenas pendere, quod eo lapsu pedum illi contritus alter est. eo imperator cognito, eventum ex prima statim specie manifesto miraculo imputans, pro caetera sua admiratione patriarchae, prodigium id esse a deo declarante suum in ipsum amorem et eius apud se merita mirabiliter patratum sine ulla dubitatione credidit, verisimilius, ni fallor, opinaturus, si fidei ab isto blasphemia violatae repetitam sic a numine ultionem fuisset interpretatus. postridie igitur mane confestim concionem frequentem advocat. praecepit autem eo in lectulo deferri eum qui pridie pedem, ut dictum est, fregerat, quo in medio posito sane longam et verbosam e superiore Augustus loco effudit orationem, exquisitis evehens praeconiis quem volebat commendare, abscissos autem ab eo, aut potius ei privatim invidentes, haud parce omni occasione incursans, frustra id quidem, quantum ad eos de sententia dimovendos pertinuit. adeo enim quidquid imperator diceret, nullam vim eorum animos immutandi habuit, ut contra in antiquis adversus Athanasium iudiciis et odiis magis magisque confirmarentur. et patiebantur illi quidem ab Athanasio multa, multo plura et gravissima passuri, si permitteret eum imperator ad extremum indulgere maligno suo genio. inhibebat enim ille omnino et ab illis arcebat, innatae mansuetudinis instinctu, saevos ferosque imminentium iis perdendis Athanasianorum impetus.

22. Inter haec is qui magnus dux fuerat, Italus quidem genere, sed

γένος, ταῖς δ' ἀπὸ τοῦ βασιλέως ὀνομασίαις ὡς γαμβρὸς κλειζό-
μενος, πέμπων πολλάκις πρὸς βασιλέα καὶ τεχνιτεύων τὰς σκαιω-
ρίας, τέλος ἀποσταλέντα καὶ αὖθις τὰ τοῦ Καίσαρος σύμβολα
κατὰ τὴν ἡμέραν τῆς τοῦ ἁγίου Λαζάρου ἐγέρσεως ὑποδέδεται
καὶ Καῖσαρ φημίζεται, δέχεταί τε παρὰ βασιλέως καὶ χρυσίου
B νομίσματα χιλιοστύας τρεῖς πρὸς τριάκοντα. ξυνέκειτο δὲ σφίσι
λαμβάνειν καὶ σίτου τοπικοὺς μοδίους ἑκατὸν χιλιάδας, καὶ μέχρι
καὶ ἐς τρεῖς χιλιάδας μαχίμων ἀνδρῶν παρακατασχόντα τοὺς ἄλ-
λους ἀποπέμπειν, καὶ αὐτίκα περᾶν κατ' ἀνατολήν. ἀλλ' ὅμως
ἐκ σκαιωρίας καὶ αὖθις οὐχ ὑπελείπετο πρόφασις, ἀλλὰ πολλοὺς
μὲν ἀνὰ Κύζικον πέμπει πολλοὺς δ' ἀνὰ Πηγάς, ἱκανὴν δὲ μοῖ-
ραν καὶ τῷ Λοπαδίῳ προσνέμει. αὐτὸς δὲ καὶ τοὺς περὶ τὸν
Μπυριγέριον θάλπων ἤδη ἀποστατήσαντα, ἔτι δὲ καὶ τοὺς ἀμφὶ
C τὸν νόθον ἀδελφὸν Θευδερίχου ὑποποιούμενος, τούτοις μὲν μέχρι
καὶ Μιτυλήνης τὸν πλοῦν περιώριζεν, ἐκείνους δὲ παρακατεῖχε
καὶ προφάσεις ἐπλάττετο καὶ ἄλλας μέν, τέως δέ γε τὴν ἔκδηλον,
ὡς ἀκαθέκτους ὄντας οὐ δύναται καθυπάγειν εἰς τὸ οἰκεῖον θέ-
λημα, καὶ ταῦτα μηδὲ ταῖς κεχρεωστημέναις μισθοφορίαις ἱκα-
νωθέντας. ὑπεποιεῖτο δὲ καὶ τὴν τῶν ἑκατὸν χιλιάδων τοῦ σίτου
συναγωγήν· καὶ ἀνὰ μέρος μὲν οἱ τοῦ βασιλέως συνῆγον ἐκ τῆς

2. βασιλεῖ P.

qui generi appellatione ab imperatore honorabatur, mittens subinde ad Augustum et fraudum illum suarum artificiis implicaus, denique rursus ab eo missa Caesareae dignitatis insignia, die qua Lazari resurrectio celebratur, induit et Caesar acclamatur. accepit autem ab imperatore tria et triginta nummorum aureorum millia. conveneratque iuter illos tradenda praeterea illi fore modiorum frumenti mensurae locis illis usitatae centum millia. ipse autem spoponderat tria se dumtaxat bellatorum fortinm millia e suis copiis retenturum, ac dimissis reliquis cum illis traiecturum in Orientem. quibus in cunctis administrandis consuetas adhibebat astutias, variis praetextibus illudens. nam ex illis quos se dimissurum promiserat, multos Cyzicum misit, multos Pegas; nec modicam eorum partem Lopadii collocavit. interim ipse Mpyrigerium palam imperatori rebellem fovebat, et cum fratre notho Theuderichl eiusque clsse piratica familiare commercium habebat, idoneis eos officils deliniens. ac Siculis quidem illis apatium incursandi maris uaqne ad Mytilenem praefinivit: Catelanos autem quos dimissurum se promiserat contra pacta retinens, fictas perfidiae excusationes obtendebat, cum alias, tum illam iam tralatitiam, haud posse se adigere quo cuperet homines infraenes, qui praesertim debita dudum sibi nec adhuc repraesentata stipendia reposcerent. nec temperabat quin fraudandi occasiouem arriperet ex imperata de qua diximus comportatione frumenti, ipsi prius quam transfretaret in Aaiam admetiendi. ne enim unquam constitutus modiorum numerns plene posset confici, ut quamque illius partem regii ministri conferri locum in

χώρας ἐκείνῳ τὸν σῖτον, ἀνὰ μέρος δ᾽ ἐκεῖνος τοὺς ἰδίους πέμ-
πων ἐξεφόρει τὸ εὑρισκόμενον, προφάσει μὲν ὡς ἐπιταχύνων τὴν D
ἀπανάστασιν, τὸ δ᾽ ἀληθὲς καὶ ὃ μᾶλλον κατενοεῖτο, τὰς ἐπι-
θυμίας ἐμπιπλῶν καὶ καταφρονῶν ἐς ὅτι μάλιστα. ἐν τοσούτῳ
δέ, ἵνα δὴ καὶ πλέον τὸν βασιλέα ὑποποιήσηται, ἅμα δὲ καὶ
κατά τινας ἑτέρας προφάσεις, τὴν μὲν πενθερὰν καὶ τὴν σύζυ-
γον τῷ ἐγγαστρίῳ βαρουμένην φόρτῳ πέμπει κατὰ πόλιν πρὸς
τὸν κρατοῦντα, περιαργῶν τὴν διαπεραίωσιν ἐκ προφάσεως, ὡς P 364
εἰ μὴ ἐπανέλθοιεν αὗται ἐξηνυσμένων καὶ τῶν ἀπαιτουμένων,
οὐδ᾽ ὅλως περαιωθησόμενος. (23) αὐτὸς δὲ συμπαραλαβὼν B
οἷς καὶ μᾶλλον ἐθάρρει, ποσουμένους περί που τοὺς ἑκατὸν καὶ
πεντήκοντα, ἔγνω πρὸς βασιλέα Μιχαὴλ κατὰ τὴν Ἀδριανοῦ διά-
γοντα ἀπελθεῖν, προφάσει μὲν καὶ τῷ φαινομένῳ ὡς προσκυνή-
σων καὶ βλέψων ὃν ἐς τόδε οὐκ εἶδεν, ἔτι δέ γε, καὶ ὡς ἔλεγε,
συνταξόμενος μέλλων διαπερᾶν, τῷ δέ γε βαθυτέρῳ, καὶ ἐφ᾽
οἷς ὑπωπτεύετο, κατασκοπήσων τὸ περὶ τὸν βασιλέα στράτευμα.
καὶ γὰρ οὐδ᾽ ἐκεῖνοι πρὸς τὰς αὐτῶν ἀτασθαλίας ἠρέμουν, ἀλλ᾽ C
ὑπονοοῦντες τὴν ἀπιστίαν, καὶ μᾶλλον Ἀλανοὶ καὶ τὸ ἐκ παλαιοῦ

praescriptum curaverant e variis regionibus tractus Occidui, eam statim per a se missos iubebat tolli exportarique praetextu accelerandae migrationis Augusto exoptatae Catelanorum, revera autem, quod satis clare pellucebat peritis rerum, inexplebili suae indulgens cupiditati et Romanum imperium licentissime ludificans. sub haec, ut imperatorem tanto adstringeret artius, prout ei erat opportunum ad varios quospiam perplexarum machinationum fines, socrum suam et cum ea uxorem gravidam in urbem ad imperatorem se conferre iubet, allegaturas ei, quibus scilicet invitus a transfretando prohiberetur, causas plausibiles, a contumacia recusantium id facere militum ductas, professus etiam discedentibus matronis haud se sperare prius posse persuadere Catelanis traiectum, vel cum iis, ut iubebat Augustus, in Asiam unquam transmissurum sese, nisi reversae confectas impetratasque ab imperatore referrent militum petitiones et pecuniam plene solvendis suffecturam stipendiis cunctis retro debitis. (23) ipse autem sumens secum cohortem amicorum quibus maxime fidebat, numero circiter quinquaginta supra centum, decrevit ad imperatorem Michaëlem Adrianopoli degentem proficisci, specie quasi veneraturus et visurus principem quem nondum viderat, praetereaque vale ipsi dicturus, stans velut in procinctu transmissionis in adversam continentem: altiori tamen, quod sagaces suspectabant, ad id impulsus consilio, nimirum ut sic praesens exploraret quales essent et an tantum metuendae Michaëlis Augusti copiae. haud enim adeo hebes erat Rontzerius ut prorsus non intelligeret, quod satis eminebat, infensum infestumque sibi ac suis Catelanis istum esse exercitum, quippe fama irritatum immanium iniuriarum per quas illi Romanos, cives ipsorum, quin et plerosque familiares et consanguineos, avarissime ac contumeliosissime vexassent. ad hunc ulciscendi praeterita scelera impetum adiungebatur cura praevertendi futuram rebellionem, cuius mox erupturae multa extabant indicia paene manifesta.

Περσικόν, οὓς καὶ Τουρκοπούλους ὠνόμαζον, οἱ μὲν περὶ τὸν ἐκ Βουλγάρων Βοσσίλαν καὶ τοὺς οἰκείους κοσμήτορας, τὸ δὲ Ῥωμαϊκὸν περὶ τὸν μέγαν πριμικήριον τὸν Κασσιανὸν καὶ τὸν Δούκαν καὶ μέγαν ἑταιρειάρχην ταττόμενοι, τὰ τῆς Μακεδονίας D τε ὀχυρὰ διελάμβανον ἀπαναστάντων τῶν οἰκητόρων κατὰ βασιλικὴν διὰ τὸν κίνδυνον πρόσταξιν, καὶ κύκλῳ περισχόντες τὸν τόπον ἐφ' ἡμέραις ἐστρατοπεδεύοντο, τοῦ μὲν προσβαλεῖν Ἰταλοῖς ἀποσχόμενοι, ἔννοιαν δὲ διδόντες ὡς ἐπιθήσονται φανεροῖς εἰς ἀποστασίαν καταστᾶσιν, ὡς ἐκ πολλῶν ὑπωπτεύετο. ἦν τοίνυν ἐντεῦθεν καὶ κατασκοπήσεως ὑποψία, ὡς εἴρηται, αὐτόθεν E ἀφικνουμένῳ, ὅτι γε καὶ ἑκάστῳ τῶν κατὰ δύσιν φρουρίων, οἷς ἐπισταίη, ἰδίους ἐκ Κατελάνων ἁρμοστὰς καθίστη καὶ φύλακας. Βοηδρομιῶνος τοιγαροῦν ὀγδόῃ λήγοντος ἦν, καὶ ἠγγέλλετο τῷ κρατοῦντι Μιχαὴλ ἡ τοῦ Καίσαρος ἄφιξις ἀνὰ τὴν δεῖξιν ἅμα τῷ στρατῷ διάγοντι. ἀγγελθὲν δὲ τοῦτο παρὰ τοῦ γυναικαδέλ- P 365 φου ἐκείνου Ἀσὰν θαῦμα ἦν· καὶ πέμψας ὁ βασιλεὺς ἐπυνθάνετο πῶς ἂν καὶ παραγένοιτο, εἰ ὁρισθὲν αὐτῷ παρὰ τοῦ βασιλέως τε καὶ πατρός, ἢ αὐτὸς καὶ γνώμης ἦλθεν αὐτοθελοῦς. καὶ ὃς τὴν πρὸς αὐτὸν μὲν δουλείαν καθωμολόγει, καὶ ὡς προσκυνήσων πάρεστιν, ἅμα δὲ γε καὶ κατὰ τὴν προκειμένην ὁδὸν τὴν ἐπ' ἀνα-

18. ἢ] εἰ P.

et hanc in partem eminebant Alanorum maxime studia, Persicorumque itidem veterum sub signis Romanis ordinum, qui Turcopulorum nominabantur. horum quibusdam praeerat oriundus e Bulgaris Bossilas. alii praefectis e sua gente sibi propriis parebant. Romanae vero legiones, quas ductabant magnus primicerius Cassianus et magnus hetaeriarcha Ducas, munitiora situ Macedoniae praeoccupaverant, iussu Augusti fuga incolarum ob metum instantis periculi deserta, et castris circum positis amplexae locum illum, stativa ibi a diebus iam aliquot habebant, abstinentes quidem a committendo cum Italis praelio, ansam autem illis dantes opinandi, haud omissuros se impetum in ipsos facere, simul, quam moliebantur cuiusque suspecti merito erant, defectio in effectum prorupisset. haec prudentiores nostrorum reputantes non fere dubitabant, quin explorandi animum alio fucans Rontzerius obtentu istum ad Michaëlem Augustum accessum affectasset, maxime cum recordarentur certis nuper nuntiis auditum, quaecumque in Rontzerii venissent potestatem arces tractus Occidui, studiose ab eo Catelanis praefectis fuisse commendatas, attributis cuique ad earum tutelam validis ex eadem gente praesidiis. octava igitur supra vicesimam Martii mensis dies illuxerat; cum imperatori Michaëli occasione census militaris apud exercitum forte tum versanti Caesaris adventus ab Asane fratre Caesarissae illius coniugis nuntiatus est. hic statim Michaël per missos Caesarem interrogavit, cur, quo animo, cuius impulsu veniret, an sponte ipse ad id consilium appulisset animum; et qui sibi obsequium iam rite professus esset, an debitam exhibiturus venerationem sibi se vellet sistere, valeque dicturus ad mox capessendum sibi praescriptum in Orientem iter. ad ea ille cuncta

τολῆς αὐτῷ συνταξόμενος. ὁ δ' αὖθις ἀντέπεμπε καὶ λόγοις ἐδεξιοῦτο προσήκουσι. τετρὰς ἦν τῆς τοῦ Θωμᾶ λεγομένης ἑβδομάδος, καὶ τὴν ἑσπέραν ἀνέσας, βασιλεῖ φανεὶς καὶ φιλοφρονηθεὶς B ὡς εἰκὸς ἀξίως βασιλικαῖς ὁμεστιάσεσι, τὴν μετ' αὐτὴν ἡμέραν συνάμα βασιλεῖ τὴν Ἀδριανοῦ εἴσεισι. ταύτην δὲ καὶ τὴν μετ' ἐκείνην ἀγήλας φιλοτησίαις αὐτὸν βασιλεὺς παρῄνει τὰ εἰς προσήνειαν διοριζόμενος, ὡς μηδὲν ὅλως τῶν Ῥωμαίων χωρούντων τοιαῦτα ἤθη τυραννικὰ καὶ ἀπόκροτα. ἐκεῖνος δ' ἔτι σπεύδων τὴν ἀποχώρησιν οἱονεὶ συνετάττετο, καὶ τὴν παραίνεσιν ἀσμένως ἐδέχετο. (24) οἱ δὲ Ἀλανοὶ ἐθύμαινον κατ' αὐτοῦ, C τὸν καιρὸν ἐπιτηροῦντες, ἔχοντες μεθ' ἑαυτῶν καὶ τὸν Γεωργοῦν, οὗ ὁ υἱὸς κατὰ τὴν Κύζικον ἀπεκτάνθη, καθὰ φθάσαντες εἴπομεν. παρηκολούθουν οὖν τούτῳ σιγῇ ἔνθεν κἀκεῖθεν. δοθέντος οὖν ἐκείνῳ καιροῦ τὴν Αὐγοῦσταν ἰδεῖν μόνον, τῶν ἄλλων Ἰταλῶν πάντων ἔξω που ἑστώτων, ἀπερχόμενος καὶ ἤδη τῆς πύλης ἀνοιγομένης τοῦ οἰκήματος ἐν ᾧ ἡ Αὐγοῦστα ἦν, δέχεται D καιρίαν τὴν πληγὴν ὄπισθεν διὰ τῶν νεφρῶν παρὰ τοῦ Γεωργοῦ ζητοῦντος τὸ αἷμα τοῦ ἰδίου υἱοῦ. καὶ οὕτω παραχρῆμα πίπτει, ἀνὴρ βάρβαρος μὲν καὶ ἄδικος καὶ ὡς τὰ πολλὰ φρονηματίας,

6. ἐκείνης P.

obsequiosis humilibusque occurrens responsis, fidem pacifici ac submissi accessus plenam fecit. quarta erat feria hebdomadae quam Thomae nominant, quando sub vesperam admissus ab Augusto Caesar cum caeteris utriusque personae dignitati congruis affectus est honoribus, tum mensae regiae communi participatione dignatus. postridie simul cum imperatore in urbem Adrianopolim invectus est; qua et consequenti die omnibus indiciis liberalissimae benevolentiae deliniens suum hospitem Michaël Augustus eum interim magnopere hortabatur ad tractandos modestius ac mansuetius Romanos, libere quin etiam denuntians fieri non posse ut li ampiius obnoxie quieteque tolerarent tyrannicos istos et rigidos ipsius et suorum mores. eam ille admonitionem libenter audire prae se ferens, quasi festinans ad imperatam viam dimitti se postulavit, officiosissime in digressu vale dicens. (24) at Alani qui tum erant in Michaëlis comitatu, dudum infensi Rontzerio, eius ulciscendi occasionem observabant, haud lenem ad id instigatorem secum habentes Georgum illum, cuius filium apud Cyzicum Catelani occiderant, prout superius narravimus. hunc igitur taciti quocunque se conferret sequebantur. contigit autem ei poscenti dari horam admissionis ad Augustam, quo erat ipse solus introducendus, Italis quos ducebat comites, procul extra fores palatii iussis subsistere. hoc momentum suis consiliis aptissimum Alani cupide captantes, destitutum praesidio suorum Caesarem in ipso cubiculi Augustae aditu a tergo plaga letali in renibus transfodiunt. auctor vulneris ipse Georgus fuit, poenas interfecti filii repetens. eo Caesar ictu protinus concidit, homo barbarus ille quidem et iniustus, magnorum tamen plerumque spi-

ἀλλ' οὖν ὀξὺς εἰς πολέμους καὶ διεγηγερμένος. θροῦς ἐντεῦθεν
P 366 *ἐγείρεται, καὶ οἱ ἀπ' ἀνατολῆς, ὡς εἰπεῖν, ἐκεῖνον διεσπάραξαν*
καὶ ἀπερρόφουν τοῦ αἵματος, τῶν ἰδίων μεμνημένοι· οὕτως
ὥπλιζεν αὐτοὺς ἡ κακία. ἄραντες οὖν τὸν νεκρὸν ἐκείνου ἔξω
που καταρρίπτουσι. τοῦτο μαθὼν ὁ βασιλεὺς καὶ μόλις ἑαυτοῦ
γεγονὼς ἠρώτα πρὸ πάντων περὶ τῆς Αὐγούστης εἰ περιῇ· φόνος
γάρ, ὡς ἤκουεν, εἰργασμένος ἐν τῷ αὐτῆς οἰκήματι μή τι κἀκεί-
νη πέπονθεν ἀνήκεστον φοβεῖν ἐπῆγεν. ὡς γοῦν τὰ χρηστὰ μὲν
περὶ τῆς Αὐγούστης μαθὼν ἦν, κἂν οἷον ὑπερπαθήσας τοῦ ἀν-
δρός, ὅμως φρόνιμος ὢν προεμηθεύσατο πάνυ σοφῶς, καὶ
B *προσέταττε μὴ ἐκφανθῆναι τὸ σύνολον τοῖς ἄλλοις Ἰταλοῖς ἑκα-*
τὸν καὶ πεντήκοντα τὸν ἀριθμὸν οὖσιν. ἐκείνους οὖν μηδὲν εἰ-
δότας τῶν συμβάντων σιγῇ κατὰ τὸ πρόσταγμα περικυκλώσαντες
ἐκέλευσαν ὁρισμῷ τοῦ βασιλέως τὰ ὅπλα εἰς γῆν θεῖναι, καὶ ἀκο-
νιτὶ ἐχειρώσαντο, ταῖς εἱρκταῖς ἀνόπλους ἐγκατακλείοντες. ἐν-
τεῦθεν οἱ Ἀλανοὶ καὶ ἀνατολικοὶ τοῦ Καίσαρος φονεῖς φανέντι
τῷ βασιλεῖ τὴν τόλμαν ἀπελογοῦντο, ὡς οὐκ ἄλλως οὐκ ὂν μὴ
C *τὸν πολλῶν ἀλάστορα, αὐτῶν δὲ βασιλέων ἀποστάτην τὴν γνώ-*
μην, ἀνηλεῶς κατασφάττοιεν. ἄλλοι δὲ καὶ μείζοσιν ὁρμαῖς

rituum altaeque mentis, nec non acute providus expeditique in bellis consilii, ad haec experrectus et acer in occasionibus rei gerendae. strepitu per hunc casum concitato cohors quaedam non longe inde distans militum Asianorum prima quod acciderat cognovit. hi memores gravium iniuriarum quibus Routzerius suos ipsorum cives populsresque, quin et plerorumque cognatos intimosque affines afflixerat, ea in ipsum irruerunt rabie ut eius sanguinem ligurire velle viderentur. discerpserunt ergo moribundum insatiabili furore, atque exangue iam cadaver in locum extra seductum proiecerunt. consternatus isto inopinato tumultu Augustus Michaël primum omnium, quod vim in Augustae cubiculo factam audiret, de ipsa timuit, ne quid sinistri passa esset. percontatusque, ut cognovit salvam esse ipsam, solum trucidatum fuisse Caesarem, etsi viri casu indoluit, tamen, ut erat prudens, praevertendum strenue putavit, ne quid a Latinorum Caesaris comitum desperata rabie funestae commotionis oriretur. primum accuratissimam dedit operam ne ullum ad eos, foris ubi stabant, rei gestae indicium emanaret; interimque iussu eius praetoriani maximo numero circumdantes illos nihil minus opinantes et funditus ignaros patrati facinoris, iusserunt Augusti nomine arma quae gestabant humi deponere. sic eos sine certamine exarmatos et comprehensos universos custodiis incluserunt. sub haec danti se in conspectum Augusto Alanorum primores auctores caedis et adiutores Asiani fidenter excusabant factum, iure occisum a se falsum istum Caesarem aientes, cum in ultionem rapinarum et flagitiorum quibus Romanos insolentissime vexasset, tum in praecautionem rebellionis quam perfidiosissima in Augustos machinaretur, prout evidentibus erat indiciis compertum. interim vero totis trepidabatur castris, alio alium Michaëlis militum passim adhortante ad erumpendum in Latinos morte ducis ipsorum superatu faciliores futuros. in pri-

ἀλλήλους παρακροτήσαντες, καὶ μᾶλλον Ἀλανοί, ἐπιβάντες τῶν
ἵππων ἐξέθεον πανταχοῦ, ὅπου ἂν καὶ καταλήψαιντο Κατελά-
νους. ἀλλ' ὁ βασιλεὺς μαθὼν τὴν ἐκδρομὴν ὅλην τῶν στρατευ-
μάτων, καὶ δείσας περὶ ἐκείνους μή πως ἀσυντάκτως ἐκθέοντες
ἡττηθῶσι καὶ εἰς κίνδυνον αὐτοῖς ἡ ὁρμὴ περιστῇ, πέμψας τὸν
θεῖον αὐτοῦ Θεόδωρον συνάμα καὶ ἄλλοις ὑποστρέφειν ἐπείρα.
οὐ μὴν δὲ καὶ ἤνυτε τὸ παράπαν, ἀλλ' εὐθὺς ἐξέθεον καὶ τόποις D
τισὶν ἐφιστάμενοι Ἰταλοῖς μὲν (οὐδὲ γὰρ ἄπυστά πω σφίσι τὰ
τοῦ Καίσαρος ἦσαν) φόνον ἐπῆγον, ἵππους δ' ἐκείνων καὶ ὅπλα
καὶ χρήματα τοὺς μὲν ἀπῆγον τὰ δὲ συνέλεγον. φθάνει δ' ἐπὶ
τούτοις καὶ τὰ τῆς φήμης ἐντελέστερον, καὶ ἀκαρεῖ ἅμα Κατε-
λάνοι πάντες τὴν Καλλίου εἰσελθόντες (ἦν γὰρ ἐκ πλείστου κατη-
σφαλισμένον τὸ φρούριον) ἑαυτοῖς μὲν προνοοῦσι τὴν σωτηρίαν, E
τοὺς δ' ἐν αὐτῇ Ῥωμαίους παμπληθεὶ κτείνουσι, μηδ' αὐτῶν
φειδόμενοι τῶν νηπίων. τέλος περὶ τῶν ἰδίων, ὧν τε Καῖσαρ
ἐπήγετο καὶ τῶν ἐν τῇ πόλει καὶ τῶν ἑκασταχοῦ πεμφθέντων,
δείσαντες μὴ κἀκείνοις κίνδυνος περιστῇ, κατασχόντες τοὺς πε-
ριόντας φυλακαῖς ἐτήρουν. ἔμελλον δὲ καὶ τοὺς περὶ τὸν νόθον
ἀδελφὸν Θευδιρίχου ἐγγύς που ναυλοχουμένους εἰσφρήσεσθαι·
ὡς δ' οὐχ ὡμολόγουν περὶ τὰ συμφωνούμενα, ἐκείνοις μὲν ἐφῆ- P 367

7. καὶ ante τόπ. deerat. 8. ἔκπυστα?

mis Alani conscensis raptim equis cum alia manu in istam incursionem feruntur. cuius certior rei Augustus factus, ac veritus non immerito ne suae fere universae copiae iniussu inexplorato solutisque ordinibus ruentes, insidiis exceptae aut iniquo uspiam deprehensae loco, clade aliqua insigni temeritatem privatam damno magno publico luerent, misso post eos solicite patruo suo Theodoro cum aliis, revocare conabatur, nequidquam id quidem, obfirmatis inflexibiliter cunctis in audaci proposito; praeterquam iam plus aliqui praecurrerant quam ut eos assequi serius egressi potuerint. itaque in manus aliquas stativaque sparsim posita Italorum inciderunt nostri, et perculsos eos nacti fama quadam necis Caesaris facile fuderunt fugaruntque, equis eorum abactis, armis et pecuniis direptis. pleniore autem cunctos iam imbuente Catelanos tristis eventus notitia, momento concurrerunt universi Callipolim, quam sibi arcem ex longo provide in perfugium dubiorum temporum paraverant. huc primo impetu delati, flagrantis irae vim saevam in Romanos illic repertos effuderunt, universos trucidantes, nulla vel aetatis tenerae vel infantiae misericordia. deinceps tamen reputantes eos e suis qui Caesarem comitati euntem fuerant, tum quosdam Constantinopoli degentes et varias in partes ad tractanda negotia communia dimissos, haud dubie detentum a Romanis iri, quibus permutatione redimendis utile foret habere Romanos in custodia, quos inde potuerunt capere, incolumes custodierunt. conati etiam per legatos sunt persuadere fratri notho Theuderichi, classem non longe habenti, ut infeste exscendens in terras imperii sese ipsis adiungeret. sed propositis hinc inde conditionibus haud coalescere foedus inter

καν κατατρέχειν τὰς νήσους, κωφὴν ἑαυτοῖς συμμαχίαν καὶ ταῦθ' ἡγούμενοι, αὐτοὶ δ' εἰς στερρὰν παρεσκευάζοντο μάχην.

B 25. Ἀλλὰ μὴν οὐδ' ὁ βασιλεὺς Μιχαὴλ ἠμέλει τὸ σύμπαν, ἀλλὰ τὰ τῶν Βουλγάρων ἐν ἀνακωχαῖς θέμενος τοὺς ἀμφὶ τὸν μέγαν πριμικήριον ἐξορμᾷ, ὃς καὶ περικαθίσας τὸ φρούριον πολιορκῶν ὡς εἶχεν ἐμάχετο, ἔστι δ' οὗ καὶ κατετροποῦτο. πληθυμένων δ' ἐκείνων καὶ ἤδη θαρρούντων τὰς ἐκδρομὰς διὰ τὴν κενὴν τῶν Ῥωμαϊκῶν δυνάμεων ἀσχολίαν (ὁ γὰρ Μπυριγέριος περιεβουκόλει τὰς ἐλπίδας τῷ βασιλεῖ, καὶ πέμπων παρ' C αὐτὸν τὴν δουλείαν καὶ τὸ ὑπήκοον ὑπεκρίνετο ὡς ἐν κενοῖς καὶ τῶν φόνων γενομένων, ὡς ἔλεγεν, ἀνακωχὰς σκαιωρῶν ἐντεῦθεν) κατοχυροῦσι μὲν ἐκεῖνοι καὶ αὖθις ἐπὶ πλέον τὸ φρούριον, μακραῖς δ' ἑπτὰ ναυσὶ καὶ ἄλλαις ἐννέα μικραῖς μάχιμον ἐμβαλόντες λαὸν εἰς τὸν κατὰ τῶν παραιγιαλίων σκυλευμὸν ἐκπέμ-

ipsos potuit. tandemque Siculis infecto societatis Catelanicae negotio, libera iu fructum cessit incursatio depraedatioque insularom; Rontzerianis exclusis illa spe, totam fiduciam collocantibus in munitione Callipolitanaa arcis: in qua, si oppugnarentur, acri atque invictae se accingebant resistendi constantiae.

hae impune secureque immanitates exercebantur, specioso commendatae obtentu, exequendarum dei iustificationum, quibus ipse qui sic ageret, quantumvis, ut homo, nihilo quam homines caeteri minus obnoxius, in se ipso tamen minime uteretur. atque hanc illi quidem propter peccata nostra nos ita conculcandi licentiam ex alto concessam, non est dubium. caeterum qui ad alios castigandos a deo vocatur, timeat praeiudicium infamis ministerii, peccantium in deum cruciandorum; quippe ad quod rei solum et mali, non autem boni adhiberi angeli consueverint. verum uti apparet, id curabat deus ut Romani aeque omnes, imi summi, ecclesiastici laici, intra urbem et extra degentes, plecteremur malis in genere dissimili vix disparis gravitatis. licet foris quidem haec ab hostibus, intus a civibus inferrentur, noxa illic in corpore haerente, hic etiam penetrante usque ad animae intimum. sed ista quo deo visum fuerit agantur. utinam autem reflectantur in melios. nostra porro deinceps reddatur opera reliquis, prout sunt gesta, referendis.

II.

Ἤδη μὲν οὖν τοῖν βασιλέοιν τῷ μὲν εἰκοστὸν καὶ τρίτον τῷ δὲ P 393
δωδέκατον αὐτοκρατοροῦσι ξυνέβαινεν ἐξανύεσθαι, καὶ τὰ μὲν
κατ' ἀνατολὴν καὶ ἐς τόσον ἐνόσει ἐκ τῆς τῶν Περσῶν ἐπιθέσεως
ὥστε καὶ ἀνηκέστως ἔχειν δοκοῦντα παρεῶσθαι τὸ ξύμπαν, καὶ

16. παρεώφται P.

VII.

Ambobus iam imperatoribus, seniori quidem tertium et vigesimum, iuniori autem duodecimum annum imperii evolvi contigit, quando regiones quidem Orientales adeo a Persarum incursionibus laborabant, ut velut desperatae curationis ac prorsus conclamatae negligerentur, et quae inde

ἀποπροσποιεῖσθαι τὰ περὶ ἐκείνων λεγόμενα οἷς οἷοις τ' ἦν ἀκού-
ουσιν ἂν ἐξιᾶσθαι, τὰ δὲ κατὰ δύσιν, ἔνθεν μὲν Ὀσφεντίσθλα-
B βος τὰ Ἐλτιμηρῆ κατῆκοα, οὐδὲν ἐπευλογούμενος ὅτι μὴ τὴν ἐς
βασιλέα οἱ ἀπόκλισιν αἰτιώμενος, ἄγων καὶ φέρων τὰ πάντα ἐξε-
λῄζετο, μηδ' αὐτῶν τῶν Ῥωμαϊκῶν ἀπισχόμενος, ἐκεῖθεν δὲ
Ἀμογάβαροι τῷ καθ' αὑτοὺς κρατυνόμενοι θράσει ἐξ ὑπογύου
κατὰ τὴν μάχην εὐημερήσαντες οὐδὲν ὅτι τοῦ ἐντὸς ποταμοῦ Μα-
ρίτζης, οὕτω πως ἐπιχωρίως λεγομένου, ἀδεὲς εἴασαν καὶ ἐν κα-
C ταστάσει. εὐέφοδος δὲ καὶ ὁ κατὰ Θρᾴκην ἔκειτο τόπος, καὶ
τοῖς προσοικοῦσιν ὅσα δὴ καὶ τὸν περὶ ψυχῆς τρέχουσι κατήπειγε
τὸ μεταναστεύειν, τὸ πάντ' ἔρημ' ἦσαν τῶν ἐνοικούντων, πλὴν
οἷς ἀφροντιστοῦσι κινδύνου σκυλεύειν καὶ φωρίοις ἀποζῆν ἐξ ἀλα-
στορίας εἴθιστο. ὁ μέντοι γε βασιλεὺς Μιχαὴλ τὸ Διδυμότειχον
ὑπεισδύς, οὔ τι ἑκούσιός γε, ἀλλ' οὐκ ἦν ὅλως πρὸς ἡδονὴν τοῖς
στρατιώταις ἐπισπέσθαι οἱ ὀκνήσει ἰσχομένοις, τὰς ἐκ τοῦ πολέ-
D μου τρώσεις ἐθεραπεύετο. βασιλεὺς δ' ἀπογνοὺς ἐντεῦθεν τὴν
πρὸς Κατελάνους μάχην, ἄνδρας ὅλως δυσθανατῶντας καὶ τὸ
ζῆν ἐν πεττοῖς ὡσανεὶ τιθεμένους, ἄλλως ἔγνω τὰ κατὰ τούτους

3. ἀπολογούμενος? 11. τὸ πάντ'] ὥστε πάντ'? 14. ἦν] ὄν?

tristia nuntiabantur, ab iis qui rebus praeerant quasi nihil ad ipsos pertinentia reiici solerent ad alios, si qui uspiam forent, quibus facultas non deesset malis cognitis remedium adhibendi. in Occiduo vero tractu hinc quidem Osphentisthlabus terras Eltemerae subiectas, nihil aliud praetexens nisi eius inclinationem ad imperatoris partes, agebat ferebatque hostiliter diripiens, ac ne Romano quidem abstinens limite; inde autem Amogabari successu nuper pugnae prospero in audacia confirmati nihil in regione, quanta patet citra fluvium vulgo Maritzam dictum, aut securum a terrore aut intactum a vi saeva integrumque sinebant. limes quin etiam finitimae Thraciae nullo praesidio munitus ad arcendam horum vim, si vellent irrumpere, expositam eam totam istorum iniuriis provinciam praebebat, cogebatque sui periculi conscios eius incolas certam necem matura fuga praevertere. quod cum strenue fieret a cunctis, vasta et habitatoribus vacua cuncta erant per Thraciam, solis ibi remanentibus, quibus antea periclitari latrocinando solitis velut familiare institutum nefaria professio placebat rapto ac per scelera vivendi. porro imperator Michaël Didymoticho, quam arcem subierat, clausum sese continebat, haud ille quidem volens: sed erumpere gestientem necessario sistebat, quod militibus alacritas et animus deerat ipsum sequendi, si prodiret. nempe hi fracti animis ob acceptas clades ignava desidia torpebant; unde is nihil tunc agere aliud valens accepta bello vulnera per otium curabat. hoc Augustus senior comperto desperavit rem geri a suis manu cum fiducia successus prosperi contra Catelanos posse, homines eo difficiliores occisu quo se promptius ad necem offerunt. quod enim nihilo cunctantius vitas in praelio quam in ludo calculos in aleam iaciant, ut abundant ad quidvis aggrediendum audacia, ita nihil non quod susceperint ista intrepiditate perficiunt. igitur aliam a periculis aperti Martis ineundam sibi de-

μεταχειρίσασθαι, καὶ μάλισθ᾽ ὅτι ἠγέλλετό οἱ Πέρσας μὲν καὶ αὖθις, ἣν νηῶν τύχοιεν, ἀντιπερᾶν ὡρμῆσθαι, εἶναι δὲ ταύτας, ἣν βασιλεὺς θέλοι, τὰς βασιλέως ἐκείνῃ πῃ σαλευούσας καθ᾽ ὃν καὶ λέλεκται τρόπον, ἐπείτοι γε καὶ δι᾽ ὑποψίας Ἀμο- B γάβαροι γενόμενοι τῆς ἐπὶ τὴν Καλλίου σὺν αὐτοῖς εἰσόδου διεκωλύοντο. αὐτοὺς δὲ Κατελάνους γνωσιμαχοῦντας εἰς τὴν μετὰ τοῦ βασιλέως εἰρήνην ῥέπειν, ἤν τις τὰ πιστὰ σφίσι διδοίη. ἔτυχε δὲ καὶ γραμματεὺς τοῦ Καίσαρος, Ἰάκωβος τοὔνομα, ἁλοὺς ἐπὶ Τενέδου γραφὰς παρὰ τοὺς ἐν Σικελίᾳ κομίζων, ὃν ἐπαναχθέντα πρὸς βασιλέα βασιλεῖ πληροφορεῖν ξυνέβαινεν, ὡς ἢν μή γε καὶ P 394 ἄλλοι προστεθεῖεν σφίσι Σικελίηθεν ἀναχθέντες, τὰς ὁρμὰς αὐτοὶ ὑποκλώμενοι ἕτοιμοί εἰσιν εἰρηνεύειν. τὸ γοῦν ἐκεῖθεν ἰέναι τινάς, ὅσον τὸ ἀφ᾽ ἑαυτοῦ συνεργοῦντος εἰ ἐπισταίη, ἁλόντος ἀνακεκόφθαι. εἶναι δ᾽ ἐντεῦθεν εὐχερὲς αὐτοὺς μετελθεῖν καὶ τὸ τῆς εἰρήνης προβεβλῆσθαι σχῆμα βασιλεῖ τὰ μὴ μάχιμα ἐπαγ-

5. γινόμενοι P.

crevit rationem eorum a se ac suis violentiae avertendae. et causae commodum aderant cur sperari posset eos non gravate compositionis mentionem admissuros. primum enim abducendi ab iis auxillares Persas facultas offerebatur, siquidem hos novae sub Catelanis militiae taedebat, nec dubitabatur quin, si copia navium ad traiectum in Asiam ipsis suppeteret, redituri statim ad suos forent. posse autem, si vellet imperator, commodari eis ad istum usum imperatorias naves, in illo tunc mari, quo dictum modo est, morantes. adeo autem palam graviterque a Catelanis dissidere admixtos iis Persas fama erat, ut hos illi ab ingressu secum ipsis hactenus communi liberoque urbis Callipoleos novissime arcere coepisse satis constaret. quin et de Catelanis ipsis sciri, pugnare illos invicem sententiis de summa rerum suarum, nec paucos ipsorum ad consilium inclinare ineundae pacis cum Augusto, si eius secure tractandae facultas offerretur. super haec isto ipso articulo rerum peraccommodate ad spes tales iactandas contigit capi quendam apud Tenedum, Iacobum nomine, qui paulo prius a commentariis Caesari Rontzerlo fuisset, ac post eius necem missus a Catelanis in Siciliam ad auxilia ipsis illinc evocanda literas inde referebat, cum quibus deductus ad imperatorem est. his ille visis, auditoque captivo, magnopere in hac persuasione firmatus est, despondere Catelanos animum, nec suis praesentibus fidere viribus satis, ut bellum a Romanis sustinere se confidant posse, nisi externis auxiliis roborentur; qualia cum e Sicilia, unde petierant, intercepto illuc misso tractatore non expectaturos ipsos verisimile sit, apparere non alienos a consiliis pacis fore. quam in sententiam Augustum Iacobi quoque huius, intime conscii status ipsorum, affirmatio trahebat, aientis sibi commissum uni id negotium fuisse: se iam capto antequam responsis perlatis conveniri de re tota potuisset, fractam hanc prorsus nec ultra processuram negotiationem esse. addebat videri sibi facile iam fore induci Catelanos ad tractandum disquirendasque communiter utilis utrimque conventionis vias, modo imperator nec ipsum se propendere ad belli consilia non gravaretur

B γέλλοντι· πέμπειν δὲ τοὺς πιστοὺς ἐς τὰ μάλιστα σφίσι δόξαν-
τας, καὶ οἷς ἦν ὡς ἥκιστα διαψεύδεσθαι ὑπειλῆφθαι. ταῦτ' ὕρα
καὶ βασιλεῖ τοὺς λόγους ἀποδεξαμένῳ, τὸ μὲν αὐτῷ ἐπιστέλλειν
τὰ τῆς εἰρήνης συνάμια καὶ ἄλλοις διαπρεσβεύσασθαι, ὅσον τῶν
ὀνηΐστων, τοσοῦτον οὐκ ἐχέγγυον ἐκ τῆς πρὸς τὸ γένος οἱ οἰκειό-
τητος κατεφαίνετο, ἄλλως δὲ τὰ τῆς γνώμης κατασφαλισαμένου,
οὐδὲν ἐμποδὼν ὑπετόπαζε τῷ τούτοις ἐπιχειρεῖν αὐτοῦ γε πρε-
C σβεύοντος. ὅθεν καὶ ὅρκοις προκατελάμβανε, καὶ σὺν αὐτῷ τὸν
τῶν Λατινικῶν ἑρμηνέα Κορόνην ἐξαποστέλλων ἐκέλευε τὴν τα-
χίστην ἰέναι καὶ τὰ τῆς εἰρήνης πειρᾶν ὡς οἷόν τε διαπράττεσθαι.
καὶ δὴ παραγενόμενοι οὐ πολλῷ ὕστερον σφίσι συνάμα καί τισιν
ἄλλοις τρισίν, καθημένων δ' ἔν τινι τῶν φρουρίων καὶ μηνυτῇ
χρησαμένων, οἱ ἐν τῷ φρουρίῳ Καλλιουπόλεως Κατέλανοι ὁμή-
ρους δόντες κατὰ πίστιν τοῦ μή τι παθεῖν ἐκείνους ἀνήκεστον,
D ἵππους πέντε πέντ' οὖσιν ἐξαποστέλλουσιν, ἐφ' ᾧ καὶ ἐς αὐτοὺς

3. τὸ] τῷ P.

uitro monstrare, missis ad eos hominibus maxime fidis, quorum promissa quiu secuturis certo effectibus deinde sancirentur, nulla posset ratione dubitari. bac imperator oratione Iacobi penitus iu auimum admissa, praeterquam plane assensus ei est iucubuitque omniuo iu voluntatem pacificationis cum Amogabaris tentandae, etiam cogitare coepit de isto ipso talis auctore consilii iu eius exequendi sequestrum et miuistrum adhibeudo, quibusdam illi ad boc additis sociis. ac peridoneus is quidem, pro peritia Catelanicarum reruin, si par erga res imperii studium ac fides non deforet, ad eiusmodi negotium futurus videbatur. timere tamen cogebat consanguinitas eius et iutima necessitudo cum bostibus, ne omuia in favorem suorum unice trahens aliquod fortasse rei Romanae grave damnum importaret. verum contra istam formidinem confirmavit imperator facile animum, autumans vel aliorum sibi fidissimorum interventu collegarum vel caetera sua vigilantia praecavendum omne incommodum eiusmodi. minime igitur periculosum arbitratus et bunc in parte legationis ad pacem Catelanis propouendam mittendae censeri, dummodo sibi fidem ad id recte agendum obstriugeret, ius ab eo iurandum exegit et accepit, eoque sic religione praeoccupato deinceps securus comitem ei adiuuxit Coronen quendam, quo Latinarum literarum interprete utebatur. bis duobus tres insuper alii sunt additi. qui omnes mandatis ab imperatore onerati urgeutibus etiam atque etiam negotii commissi quam maxima possent arte atque industria gerendi, confestim itineri se dare rectaque ad Catelanos celeriter se conferre iussi suut. admoverunt se illi Callipoli primum, quam proxime tutum fuit; admissique in illic situm imperatorium castrum inde miserunt indicatum Catelanis babere se quae ipsis proponerent imperatoris, a quo mitterentur, uomine, paratos ad ipsos accedere, modo missis obsidibus suae ipsorum securitati caveretur. aequa et impetrabilia peti visa sunt. mittuntur ergo Callipoli postulati obsides, in castro Romano custodiendi, quoad in potestate Catelanorum missi ab imperatore perstitissent, in pignus fidei qua nihil ipsos passuros acerbum Catelani promittebant. mittuntur et equi quinque pro numero legatorum,

γίνωνται· πλὴν ἑκάστῳ συνεπωχεῖτο ὄπισθεν ὁ φυλάξων τὸν ἐπιβάτην, τῷ μὲν δοκεῖν, μή πως ἐξ ἐφόδου τις ἐκπηδήσας τῶν Κατελάνων ἄχαρί τι δράσοι τὸν πρεσβευτήν, τῷ δὲ βαθυτέρῳ, ὡς ἂν μηδὲ καιρὸν διδόντες σφίσι προμαθεῖν τι περὶ ἐκείνων ἔκ τινος περιεργίας ἐπερωτήσασιν. (2) οἳ καὶ ἐπιστάντες ἔλεξαν P 395
τάδε. "βασιλεὺς Ἀνδρόνικος ἡμέτερος μὲν δεσπότης, σφῶν δ' ὑμῶν κλήτωρ, τάδ' ἐπήγγειλεν ὑμῖν. χρεὼν ἀνδράσι θεοῦ μὲν τιμᾶν αἱρουμένοις δίκην, βασιλεῖ δ' ἐς τὰ μάλιστα μεμνῆσθαι χαρίτων δικαίοις οὖσι, μὴ ὅ τι βουλομένοις ἂν εἴη σφίσιν, ἀλλὰ καὶ ὅ τι συνενέγκοι ἂν ἐς τὸ μετὰ ταῦτα σκοπεῖν. τὸ μὲν γὰρ ἀβούλου καὶ πρὸς τὸ παραυτίκα μόνον ἀφορώσης γνώμης, τὸ δὲ τὴν εἰς τὸ μέλλον πρόνοιαν ἀταμίευτον οὐκ ἐᾷ κεῖσθαι. καὶ B
ὑμῖν τοίνυν, εἰ μὲν τὴν ἀρχὴν τὰ τῶν ἐχθρῶν ἑλόμενοι ἐς τὴν Ῥωμαίων γῆν ἐσβαλεῖν ἔγνωτε, οὐ δικαίως ἂν νεμεσᾶν ἔχοι τις· μηδὲ γὰρ ἀνθρώποις ἀσύνηθες τοῦτ' εἶναι, καὶ μᾶλλον ὅτε καὶ τὰ γένη διαλλάττοιεν, οἷς ἔνι μὲν σπονδαῖς χρῆσθαι, ἔνι δὲ καὶ ὁμόσε ταῖς μάχαις ἰέναι. ἐπεὶ δὲ ξύμμαχοι προσκληθέντες τὰ

cum militibus totidem, quibus erat mandatum ut a tergo imperialium missorum eodem cum ipsis equo veherentur. ratio inexpectatae praescriptionis allegabatur securitas legatorum, quos sic custos adhaerens ab insultibus forte obviorum hominum sui generis, ab agnitis e veste Romanis haud facile temperaturorum manus, defenderet. sed praetextus hic fuit. vera enim, ut qui penitius introspiciebant iudicarunt, causa eius facti erat, ut per affixos ipsis arbitros legati prohiberentur explorare circumspiciendo percontandoque statum Callipolis praesentem curiosius quam tutum tali tempore Catelanis in arce una illa summam rerum habentibus videretur. (2) illi introducti haec dixerunt. "imperator Andronicus, noster quidem dominus, vester autem vocator, haec nos vobis dicere mandavit. convenit viris dei vereri iustitiam ultro professis, principi autem supremo maxime, gratos se praebere bene meritis, non solum quoniam ita deliniunt et sibi magis devinciunt eos quibus rependunt acceptam gratiam, sed vel si praesens fructus eius facti nullus foret, quoniam id esse in posterum conducibile, qui recte iudicant praesentiunt, ipsa eventuum experientia semper deinde suffragante. porro praesentibus dumtaxat attendere inertis est animi et ad boni prosecutionem infirma incertaque languescentis voluntate. prospectus vero futuri, et verisimiliter expectandorum praesumpta solicitudo successuum, campum late detegit oculis exploratricis providentiae, eique longe consulenti nullas umbras aut caecas latebras, quibus suspicio subesse insidiarum possit, nihil obscurum ac non clare perspectum esse sinit. ac vobis quidem si a principio hostilem in nos animum professis susceptus deliberate fuisset impetus terras Romanorum manu armata invadendi, queri iuste nemo posset. haud insuetum est etenim hominibus, praesertim origine divisis et generum diversorum, dissidere sententiis committique odiis, arcanosque istos sensus conatibus expromere invicem infestis. iure quippe communi genti cuivis licet aut pacem cum alia colere aut bello eandem oppugnare. postquam autem ad auxiliandum nobis bellantibus vocati hostes vos statim iniuriis atrocibus,

τῶν ἐχθρῶν, οὐ δέον ὄν, ἐκ τοῦ ἐξαίφνης ἀνθείλεσθε, πῶς ἂν
C μὴ θέλων τις ὑμῖν νεμεσᾶν ἐκφύγοι τὸ νεμεσᾶσθαι; μνήσθητε
γὰρ πρὸς ἐκείνους χεῖρας ἀνταίροντες, ὑπὲρ ὧν κινεῖν ὅπλα πρὸς
τοὺς σφίσι πολεμοῦντας μεγάλων ὡμολογήσατε τῶν μισθῶν. πῶς
δὲ δίκαιον καὶ νόμιμον, κειμένων εἴτε θείων εἴτε καὶ ἀνθρωπίνων,
θέσθαι μὲν ἐν ἀλογίᾳ τὰ ὀμωμοσμένα, μεγάλων δὲ χρημάτων ὧν
εἰς ὑμᾶς ἐδαπανήσαμεν, τὰς καθ' ἡμῶν ὁρμὰς ἀντιδοῦναι; τί
δ' ὑμῖν καὶ ἀποκριθείη ἐς τὸ μετέπειτα ὄνομα; συμμάχους ὀνο-
P 396 μάσειέ τις; ἀλλ' αἱρετέα τὰ τῶν ἐχθρῶν ὑμῖν ἔδοξεν. ἀλλ'
ἐχθρούς; καὶ τίς ἂν καὶ τίνας μεγάλων μισθῶν ἐπὶ σφετέρῳ πο-
νήρῳ προσκαλεῖσθαι δέξαιτο; ἀλλὰ συμμάχους μὲν τὸ πρῶτον,
πολεμίους δ' ἐσέπειτα καταστάντας; καὶ τί γ' ἄλλο ὑμῖν τις ἐπι-
καλοίη δεινόν, εἰ σύμμαχοι ἐπιστάντες, πολλῶν καὶ ταῦτα τῶν
ἀναλωμάτων, ἔπειτα ἐσπείσασθε μὲν τοῖς ἐχθροῖς δι' οὓς προσε-
κλήθητε, μετ' αὐτῶν δὲ τὴν ἡμετέραν ληΐζεσθε; τί δὲ καὶ ἀπο-
λογούμενοι Χριστιανοὶ Χριστιανοὺς τὰ ἀνήκεστα δρᾶτε, τῷ μὴ
B ἐς ἀναβολὰς θέσθαι, κακοὶ δόξαι ὥσπερ αἱρούμενοι; τί γὰρ τῶν

13. πολλοῖς P.

quod nefas est, polliciti socios, monstrastis, quomodo qui vos arguere noluerit, meritam ipse iudicii parum aequi et malo faventis reprehensionem non incurrat? conscientiam hic provoco vestram, utique recordantium vos manus in eos ipsos violentas iniecisse, contra quorum hostes arma moturos, magnis in hoc auctorati mercedibus, receperatis. cui autem videri iustum queat et legibus seu divinis seu humanis consentaneum, nullam quidem pactorum iuratorum rationem ducere, pro ingentibus autem pecuniae summis, quas in vos impendimus, impetus in nos hostiles rependi a vobis? quonam vero vos deinceps apto appellare nomine licebit? an socios quis dixerit? sed vobis isti vocabulo praeeligere acerbitatem hostilis nominis placuit. hostes igitur vocemus? sed obstat quod, cum nemo utique mercede magna hostes ad sibi nocendum conduxerit, vos accitos a nobis et largis auctoratos stipendiis hostes dici contra rationem omnem est. forte distinguens aliquis tempora, prius socios fuisse vos, deinde mutatis animis factos esse hostes dicet. atqui ad vestram nihil hoc quidem foedius memorari contumeliam queat. quid enim vobis obiici odiosius vel ab amarissimis obtrectatoribus possit quam fide vos fracta, quam amicis oppigneraveratis, maximis in sinus per manus illorum vestros largitionibus effusis, repente depravata voluntate foedus quidem icisse cum hostibus contra quos vocati suppetias eratis, coniuncta vero cum iisdem hostibus opera et ira terras amicorum, ad quos iuvandos veneratis, qui ampla vobis numeraverant stipendia, pari furore devastasse. agite proferte, si quid habetis in excusationem vestram, quo videamini vel in speciem defendere facinus hoc vestrum, quo Christiani Christianos vehementissimis afficitis iniuriis; nisi non recusatis quin statim, citra ulteriorem inquirendi moram, crudeles perfidique iudicemini, quod esse ultro elegistis. quid enim mali non a vobis actum est? nonne

κακῶν οὐκ εἴργασθε; οὐ χώρας ἠνδραποδίσατε; οὐκ ἄνδρας ἐκτείνατε; οὐ νήπια καὶ πρεσβύτας ἀνθρώπους οἰκτρούς, τὰ μὲν ἀνηλεῶς διεχρήσασθε, τοὺς δὲ πᾶσαν ἰδέαν βασάνων διενεγκεῖν ἀναγκάσαντες ἔπειτα ἐκποδὼν ἔθεσθε; τί ὑμῖν τοῦ πράκτορας τοσούτων γενέσθαι κακῶν αἴτιον; Καῖσαρ ἀπώλετο. ἀλλ' οὐχ ἡμῶν γε θελόντων, οἶδεν ὁ πάνθ' ὁρῶν ὀφθαλμός· ἀλλ' οἷς ἐντέτροφε μῖσος τὸ κατ' ἐκείνου ἔκ τινων παλαιῶν μηνιμάτων, C τούτοις καὶ μόνοις αὐτόβουλον εἴργασται τὸ πραχθέν. τὸ παθεῖν οὖν ἐκεῖνον τὰ χείριστα, ὡς οὐχ ἡμῖν μετὸν ὅλως εἰς ζημίας δόκησιν, σφίσιν αὐτοῖς εἰς ἐκδίκησιν περιγράφετε. καὶ μὴν παῖς ἦν ἡμῖν ἡ ἐκείνῳ συνοικοῦσα, ὥστ' ἂν καὶ συγγνωστέα ἐδόκει, ἤν πού τί οἱ καὶ πεπλημμέλητο. καὶ τὸ οὕτω τὰ πεπλημμελημένα μετέρχεσθαι τοῖς τῶν Ῥωμαίων ἤθεσιν ἥκιστα χωρητέα. καὶ τοῦτ' ἦν ἴσως εἰ προὖπτον ἦν τὸ ἀδίκημα. ἢν δὲ μηδὲν ἔχοι τις ἐγκαλεῖν ὡς καὶ αὐτοῖς ἡμῖν βουλομένοις εἰδέναι ἂν εἴη, πῶς ἂν D

4. τοῦ] τοὺς P.

vos totas provincias pueris et mulieribus servitum abductis, viris trucidatis, desolostis? nonne in iis parvulos et senes invalidos, turbam miserabilem, illos quidem immanissime transfixistis discerpsistis, hos autem, ut thesauros videlicet proderent, crudelissimis prius tormentis excruciatos, enecastis? quid vos autem impulit ad tam execrabilia patranda? Caesar periit. sed nobis quidem haud volentibus. scit qui cuncta vidot oculus dei. at manu illorum qui longa in eum ex antiquis offensionibus ira in animo nutrita, oblatam veteris doloris ulciscendi occasionem incautum opprimendo arripuero. illi hoc soli focinus proprio consilio, libera voluntate suscepero; his unis oequum est eius invidiam criminis adscribi, non autem nobis, praeterquam inconsciis, etiom illo ipso scelere violatis. nostrum, inquam, quod insciis et invitissimis nobis Coesar passus est, nostrum ipsorum et quidem gravo reputamus damnum, gratum ideo habituri si poenis per vos, qui potestis, condiguis afficiontur auctores caedis, nostrae quoque domui funestissimae, per quam orbati genero sumus. scitis enim nostram fuisse filiam illius coniugem. quae tam arta necessitudo facile suspiciones diluit nostrae cuiusdam ab eo aversionis ob nonnulla praecedentia dissidia. quis enim, cui mores perspecti sint nostri, non facile intelligit, etiam si quid ab illo molestiae accepimus, paratos magis nos futuros od venia impertiendum tam intimum affinem quam praecipites ad rapiendam ex eo perfidia et crudelitate cumulatam ultionem, a qua Romani propria generis lenitas immane quantum abhorret? hinc patet neque si manifesta praecessisset in nos Coesaris iniuria, debuisse quemquam suspicari de nobis tantam in eum saevitiam; unde quivis prudens perspiciat quanto incredibiliorem illam sit consentaneum haberi, cum eo quidem temporo quo Caesar oppressus est, nullam ei nobiscum intercessisse controversiam, nihil nos quod illi succenseremus habuisse, vobis quoque ipsis, si volueritis inquirere, constare manifesto queat. sed fingite nos adeo feros ut sine causa ludibunde in familiarium prorumpamus caedes: etiamne tam imprudentes opinabimini, ut ultro attentemus

αἱρετέα ἡμῖν τὰ μὴ ξυνοίσοντα ξυνέβαινεν εἶναι; χωρὶς δὲ τού-
των, τοῖς μὲν οὐκ ἔχουσιν ἂν ὅπῃ τραπεῖεν, ἤν πού τι τῶν ἀβου-
λήτων παρά τινων γένοιτο, ἐκείνοις ἂν ξυμβαίη καὶ παρὰ τὰ οἰ-
κεῖα ἤθη παρατολμᾶν. οἷς γὰρ σφίσιν ἐν στενῷ κομιδῇ τὰ τῆς
ἐκδικήσεως, ἐπιχειρητέα καὶ τὰ ἥκιστα ἂν ἐς ἅπαν συνήθη· φέ-
ρει γὰρ εἰς καιρὸν ταῦτα τὸ ἀπογνῶναι καὶ τὸ τῶν δρασειόντων
E ἀσθενὲς καὶ ἀμήχανον τοῦ καὶ τὰ συνήθη παραβαίνειν. καὶ ὧν
πραττομένων ἡ μέμψις ἐφῆπται, αἰτιάσαιτ' ἄν τις δικαίως· οἷς
δ' ἐν ἰσχύϊ τὸ μετελθεῖν ὡς βούλοιντ' ἄν, τὸ αἱρετὴν αἰσχύνην
περιβαλέσθαι σφίσιν ἑαυτοῖς πῶς οὐκ ἀβούλητον; τῶν μὲν οὖν
πεπραγμένων οὐχ ἧττον ξυγγνώμονας εἶναι χρή, ἢ ἐκδικητὰς βού-
λεσθε γίγνεσθαι, τοὺς οὐκ ἂν εἰ μὴ αἱροῖντο κακοὶ φαίνεσθαι καὶ
ἐκσπόνδων χείρους ζημιωθησομένους τὸ σύνολον. εἰ δ' οὖν, ἀλλ'
P 397 ἐκ τῶν φθασάντων σκεπτέα ἂν εἴη ὑμῖν ὁπόσοις, δέον παρ'
ἐχθρῶν πλουτεῖν, ἐκ τῶν ἡμετέρων ἐξωλβίσθητε. καὶ ἀφίημι

7. τὰ] εἰς τὰ P.

quae minime conducibilia, immo maxime damnosa nobis ipsis futura clare provideantur? cui autem queat esse dubium gravi nostra pernicie cecidisse Caesarem, in quo tot spes futuri, tantos effusos in eum ornandum sumptus, tam necessarium gravissimo nostro tempore praesidium imperii uno momento perdidimus? praeter hoc, ad plane nos omni suspicione procuratae necis Caesari purgandos efficacissimum apud recte indicantes argumentum sit, quod in istiusmodi immania ruere consilia eorum est qui passi a quopiam quod non vellent, quo se vertant non habent, omni destituti facultate desideratae sibi satisfactionis, aut prosequendae apud potentiores viis legitimis, aut per se palam iusta potestate usurpandae. nam tales, urente intus iniuriae dolore, ultra morem interdum ac fas efferri ad conatum quamvis iniustae ultionis, exemplis, quam esset optandum, crebrioribus cernitur, quod hos efferare soleat desperatio iuris aut honoris imminuti alia ratione reparandi. quibus vero, qualis nostra dei beneficio conditio est, quibus, inquam, auctoritas et vis ad manum prompta suppetit contumeliarum, si quas accepimus, legitima et inculpata ratione vindicandarum, hos nemo sane sapienter aestimans autumaverit, probrosis potius pudendisque quam rectis et honestis ultro malle modis uti rei aut dignitatis quoquo modo detractae reponendae. maneat igitur ex his evictum evidenter non nisi per iniquissimam calumniam imputari nobis posse partem aut conscientiam ullam sceleris interficiendo Caesare patrati; vosque nihil fere minus grave, quam quod ulcisci velle videmini, conscituros crimen, si poenas illius caedis ab iis repetere pergatis, quos in illam consensisse, cum id facere nequiverint nisi non solum iurata foedera perfidiosissime violando, sed etiam capitalissima ultro in se ipsos stultissime attrahendo infortunia, perspicuum ratione utenti cuivis est nullo posse pacto verisimile videri. nunc ad vos vestraque acta referre orationem convenit, considerareque ex gestis huc usque quantum vos, quos ditescere ex damnis hostium par erat, ex nostris, sociorum, ut iungebamini, vestrorum, e Romanorum, inquam, quibus defendendis evocati veneratis, avarissime iniuria vestra direptorum praedis spoliisque locupletati hactenus fueritis. praetereo quae contra ius fasque usurpastis nulla

ὅσα ἠλογηκότες τῶν εἰς Ῥωμαίους σπονδῶν καὶ συνθηκῶν ἠνδραποδίσασθε· ἀλλ' ὁπόσους ἡμῶν διδόντων ἢ καὶ ἐκκεχωρηκότων λαμβάνειν ἀπώνασθε. τὸ γὰρ τῶν συμμάχων σχῆμα, καὶ τὸ ἔτι δοκεῖν τῶν ἡμετέρων ὑπερπονεῖν, ὡς λαμβάνοντας διετίθει τοὺς οὐδὲν ἧττον διδόντας, κἂν τις καὶ ἄκων εἶναι ἐδίδου προσαφαιρούμενος. τούτων μνήσθητε, καὶ τὰς ἐξ ἀρχῆς ὁμολογίας αἰδεσθέντες αἷς ἐμπεπίδωσθε, Καίσαρα μὲν πρόφασιν τοὐντεῦ- B θεν ἀπόθεσθε, ἔννοια δὲ εἰσίτω ὅπῃ γῆς προσκαθήμενοι ταῦτ' ἐργάζεσθε, καὶ εἰ ἀκίνδυνα σφίσιν αὐτοῖς τὸ ἐς νέωτα ἔσται. ἡμῖν μὲν γὰρ καὶ ἐς τόδε δόκησιν παρασπονδήσεως, ὡς ἥκισθ' ἡμῖν πρέπουσαν, ἀποκλίνουσι μαλακώτερον τὰ τῆς μάχης ἐπικεχείρηται· δεινὰ γὰρ τὰ ξυγκείμενα ἀπρακτεῖν πείθει καὶ τὰ δεινότατα πάσχοντας, καὶ πάσχουσίν ἐστι καταφυγὴ ἡ τῶν διομωμοσμένων αἰδώς, ἥν τις καὶ μέμφοιτο. ὑμῖν δὲ ὅποι περιστή- C σεται τὰ τῆς τόλμης, οὐκ εἰς μακράν, εἰ μὴ παύσησθε, εἴσεσθε.

2. αἰδόντων P. 12. πείθειν?

ratione babita societatis cum Romsnis initae: illa solum nunc recordari vos vellm, quse nobis conniventibus aut permittentibus accepistis. diu enim nos verecundia fuederis et uomen amicitiae vobiscum dissimulare coëgit, dum rapinae vestrae narrarentur, iudicium doloremque de his uostrum, nosque ita gerere, quasi crederemus iure acquiri, sociorum tunc adhuc nomen gerentibus et militare nostro imperio visis, quae illi non a libenter dantibus accipiebant, sed vi aut minis extorquebaut ab invitissimis miserrimisque Romanis. ista, inquam, sola computari a vobis postulo, quae longo illo nostri silentii vestrae licentiae patrocinantis tempore, depraedationibus rerum, captivitatibus hominum, in lucra vestra congessistis. ex his reperietis in eam vos auctos opulentiam, ut et quaestuosissimum vobis fuisse foedus nobiscum ictum fateri debeatis, et nostrae admirari constantiam fidei in illo inter tot ac tam vehementes rumpendi causas tam perseveranter observando. unde patebit manifesto unam allegari causam posse cur deinde palam defeceritis a nobis, quod uihil reveritis autiquas nobiscum conventiones vestras ultro ac ludibunde vobis prosilire collibuerit in apertum earum et iniquissimum contemptum. desinite igitur allegare necem Caesaris. praetextus hic merus et vanissimus est. illud cogitate potius, in eamque vestra causa curam ingredimini, ubi tandem terrarum considentes talia non dubitetis agere, et unm vos putetis impune ad extremum tam infanda scelera laturos. uec vestram in hoc genere confidentiam alat experientia successuum parum vobis, ex quo nos oppuguatis, adversorum. nondum enim in vos uti totis nostris voluimus viribus, religione adhuc quadam iuratae vobis olim amicitiae cobibiti. grave quippe ac turpe adeo foedifragae perfidiae crimen existimamus, ut pro eius a nobis amolienda vel levi et vana specie ne maxima quidem damna recusaverimus paciscl.¹ remissius ergo hactenus bellando adversum vos egimus, minus reputantes quid vos mereremini quam quid nos deceret. deinceps vobis clare denuntio, nulla uos nimis iam a vobis rupti manifeste foederis verecundia tardabit; atque adeo quantam in perniciem rerum ac capitum vestrorum vestra ista, nisi eius temere ruentis impetum

ἀλλ' ὅμως χρὴ καὶ προαναστέλλειν λέγοντας· οὕτω γὰρ καὶ τὴν τοῦ ἐσαῦθις λελεῖφθαι ἡμῖν λόγον συγγνώμης παρὰ τοῖς τὰ δίκαια κρίνουσι δόξαν ἀποισαίμεθ' ἄν, καὶ προσέσται τὸ δίκαιον αὖθις, τὰς δίκας λαμβάνειν, ὑμῶν διδόντων καὶ ἀκόντων, σὺν ἀρήξει θείᾳ προαιρουμένοις, ἐπείπερ ἄρχειν τῆς μάχης οὐ κατοκνεῖτε. δεῖ γὰρ τὴν τοῦ παρασπονδεῖν δόκησιν ἐς ἅπαν ἐκκλίνειν. D ὁ γὰρ ἐπὶ τοσούτοις δεινοῖς τὴν ἀρχὴν ἐς εἰρηνικὰς ἀξιούμενος καὶ μὴ θέλων, ἐκεῖνος καὶ τὴν τοῦ παρασπονδεῖν τὴν ἀρχὴν δόκησιν δικαίως ἂν ἀπενέγκαιτ' ἄν. τοῖς γὰρ ἐπιοῦσι τὸ πρῶτον, οὐ τοῖς ἀμυνομένοις τὸ ἄδοξον τοῦτο πρόσρημα περιστήσεται, ἤν πού τις ἀδικῶν τὰς συνθήκας τὴν ἄμυναν προσκαλοῖτο. δυοῖν οὖν ἑλέσθαι θάτερον ἀναγκαῖον ἴσως καὶ οὐκ ἀπὸ τοῦ τῷ παρόντι καιρῷ πρέποντος, ἢ πάντα λαβόντας πρὸς τὰ ὑμέτερα ἐπανήκειν ἤθη, ἢ πάντ' ἔχοντας ἡμῖν προσφοιτᾶν, ὡς ἐπὶ μισθοῖς καὶ αὐ-

2. ἐλελεῖφθαι P. 6. δεῖν P.

sistitis, praecipitet audacia, cito sentietis. ultimum hoc, ut exitium praeverteremus vestrum, vobis si posset fieri ad frugem revocandis, experiri monitum placuit. quod ipsum pignus habetote nondum prorsus obsepti ad nostram gratiam reditus, si eam vel sera promereri poenitentia velitis. in quo potestis agnoscere reliquias meae veteris aegre abrumpentis se a vobis et adhuc in vos pronae voluntatis. quo vituperabilior, iudicio aeque arbitrantium, vestra censebitur durities, si nunc quoque oblatam a nostra maiestate tam graviter laesa veniae tam benignae conditionem aspernabimini; minusque miseratione digna vestra videbitur calamitas, cum mox, quod deo iuvante faciemus, meritas a vobis poenas exegerimus, bello iam sine ulla dubitatione iustissimo, postquam id primi vos lacessere nobis ultro impugnandis non estis veriti, nulla sumpta curs colore saltem, ut oportuerat, aliquo velandae nefariae transgressionis pactorum iuratorum. cuius ne ulla tergiversatione declinare vobis probrum liceat utcumque conantibus, extremum hoc ad eam ineluctabiliter evincendam accedet argumentum, e recusatione oblatae nunc a me, si resipiscere velitis, veniae ducendum. quis enim non eum manifeste reum iniuste illati ab initio belli habeat, qui nec idoneam allegare ullam eius suscepti causam quiverit, et ab iis quos voluntarius impugnet invitatus ad redintegrationem gratiae superbe id pergat aspernari? arma ergo nostra, quibus post longam patientiam ultum denique ibimus perfidiam foedifragae rebellionis vestrae, nemo tam iniquus reperietur qui arguere possit infractionis initorum vobiscum foederum. nam iis qui primi pacta infringendo vim intulerint, non illis qui vim sic illatam aut necessaria defensione repellere aut legitima ultione vindicare sint conati, probrosum illud et odiosum foedifragorum vocabulum adiungitur. totaque invidia malorum et calamitatum e tali bello secuturum iis solis imputatur, qui provocaverunt violandis iniuste conventionibus. quod superest, duarum vobis optionem conditionum fero, quarum alteram eligi a vobis, si rebus vestris in harum praesenti statu consulere salutariter velitis, plane arbitror necessarium, nempe ut aut praedis quas congessistis vobiscum omnibus ablatis domos vestras repetatis, aut haec ipsa ut vobis iam propria spolia servantes ac-

θις ἐσομένους, τῇ τῶν Ῥωμαίων ὑπηρετεῖσθαι ἀρχῇ. οὕτω γὰρ E
κατ' ἄμφω καὶ ἐπὶ βεβαίῳ τῆς κτήσεως συμβαίη ἂν τὰ πάντα
κεκτῆσθαι, καὶ τὸ εἰς ἄγαν τὰς σπονδὰς ἠμελῆσθαι ἥκιστ' ἂν
δόξειε. καὶ ὅποι ποτ' ἂν προσχωρήσητε, τὴν τῆς ἐν ἀσφαλεῖ
συμμαχίας δόξαν οὐκ ἐς ἅπαν ἀποβεβληκότες εἴητε, ἐπεὶ τίν' ἔχει
λόγον ἐφισταμένους ἀμύντορας, ἔπειτα ἐπίκλημ' ὅ τι τύχοι προ-
βεβλημένους ἐχθρῶν καθίστασθαι τὰ πικρότατα; εἰ δὲ καὶ μι- P 398
σθοφορίας, ὡς πέπυσμαι, προτενεῖτε, αἰδὼς καὶ μόνον τὸ λέ-
γειν. τίνων σπουδασμάτων χάριν καὶ πόνων; καλά γε ἐς Ῥω-
μαίους, καλὰ καὶ δίκαια μεγάλους ἐφέλκειν μισθούς. τὸ πράτ-
τειν γοῦν ταῦτα ὁμολογοῦντες ἐχθρῶδες εἶναι τοὺς ὑπὲρ τούτων
μισθοὺς ὡς σύμμαχοι ἀπαιτήσετε; καὶ ποίαν ἄρα ἀγνωμοσύνης
οὐχ ὑπερβαλεῖσθε ὑπερβολήν; ἃ γὰρ ὑπὲρ Ῥωμαίων πεπρᾶχθαι
σφίσιν ἡμῖν ἔδοξε, καὶ ὑπὲρ τὸ δίκαιον ἔμμισθ' ἂν εὕροιτ' ἂν B
σκοπούμενοι· τὰ δὲ κατ' αὐτῶν πεπραγμένα τόσον ἐφέλκειν μι-
σθοὺς δίκαιά εἰσιν ὅσα καὶ δίκας αὐτῶν ὑποσχεῖν δίκαιοι ἂν λο-
γισθείητε. χρεὼν οὖν ἐντελεχέστατα βουλευσαμένοις ὅπῃ δοκεῖ
ποιητέα εἶναι, ταῦθ' ἑλέσθαι, ὡς ἡμῖν γε τὸ ἀπὸ τοῦδε λόγος

5. ἔχειν P. 6. ἀφισταμένους P. 12. ἀγνωμοσύνην P. 16. ὅσον?

cedatis denuo ad nos, et nova conventione ineunda sub pactis statutae mercedis uostris deinceps vos militaturos auspiciis profiteamini. hoc enim utrovis modo certa vobis et per nostram iam cessionem iusta continget possessio istarum opum iniuria partarum; et ignominiosum praeterea dedecus neglectorum a vobis foederum sic purgasse quodsmmodo videbimiui. quod ni facitis, quocumque vos continget ire, odia in ves hominum concitabit eo prius delata vestrae foederum transgressionis infamia. quodsi super ista quae raptu licet acquisita condonare vobis parati sumus, alias etiam, retro videlicet debitorum stipendiorum nomine, pendi vobis e nostro aerario pecuniae summas petieritis, quod vos audio velle facere, id profecto adeo pudendam vobis est, ut si vestri vos honoris cura taugit aliqua, sedulo abstinere vel a prima rei talis meutione debeatis. euimvero quorum, quaeso, recte factorum, quorum laborum, cuius operae Romanae reipublicae navatae mercedes reposcitis? an hostilium illarum grassationum, quibus vos in Romanos usos ipsi quoque fatemini, praemia nunc uti nihilominus sociis vobis rependi aequum ducitis? quod quam ingrati ac scelerati animi nou transcendat hyperbolem? nam si quid vobis videmini pugnando unquam pro Romanis meruisse, huius et ipsi vobis estis conscii iusto etiam ampliora stipendia tulisse; ut iam qui recte calculos posuerit, nihil aliud nos debere vobis nisi poenas inferre patratorum in nos scelerum clare perspiciat. optimom ergo fuerit, his cunctis attente consideratis, prudenter statuere quid consilii vobis deinceps capiendum, in quam agendi viam ab hoc velut cardine deliberationem inflecteudam arbitremini. hoc vobis ultimum de his decerneudi tempus est. nam nisi quae proposuimus accipitis, nullam in posterum scitote collo-

οὐδεὶς πρὸς ὑμᾶς, ἢν πῇ γε ἄλλως ἢ ὡς ἡμῖν ἁνδάνῃ γνοίητε." οἱ μὲν οὖν πρέσβεις τοσαῦτα εἶπον, ἐκεῖνοι δὲ τοὺς λόγους ἐνδε-
C ξάμενοι οὐδὲν ὅ τι πρὸς εἰρηνικὰς ἐδόκει σπονδὰς ὑπεκρίνοντο, ἀλλὰ πλήρεις κορύζης Ἰταλικῆς λόγους ἐξέφερον. καὶ τέλος "ἢν βουλομένῳ βασιλεῖ εἴη" ἔφασκον "ἐνσπόνδους ἡμᾶς ἀπαλλάσσεσθαι, παρεκτέα μὲν τοὺς μισθοὺς ὧν δεδουλεύκαμεν, ἀπολυτέα δὲ καὶ τοὺς ἡμετέρους, τούς τ' ἀλλαχοῦ καὶ τοὺς κατὰ πόλιν, αὐτούς τε καὶ νῆας, Γεννουΐτας πείσαντι, ἐξωνητέα δὲ καὶ τοὺς ἵππους τιμῆς δικαίας, ἔτι δὲ καὶ τὰ ἀνὰ χεῖρας σκῦλα καὶ αἰχμαλώτους. καὶ οὕτως ἀφέντες ὑμῖν πολεμεῖν τὴν ταχίστην
D ἀπαλλαξόμεθα. ὡς ἡμῖν μὴ οὐχὶ τοῦ βίου τὴν ἀρετὴν ἀνταλλάττεσθαι, ἣν αἵρεσις ἀμφοῖν κέηται, αἰδὼς καὶ πόνος οὐχὶ μικρός." ταῦτ' εἰπόντες, καὶ τὴν πρεσβείαν ἐξ αὐτῆς ἀποπέμψαντες, ἐρασταὶ πραγμάτων ἀτόπων ἐκτόπως ἦσαν.

P 400 3. Ξυνηνέχθη δὲ καί τι ἐπὶ τῷ σφῶν ἐς μάλιστα ἀγαθῷ, ὃ καὶ αὐτίκα ὡς λέξων ἔρχομαι. οἱ μὲν οὖν μετ' αὐτῶν Πέρσαι μερῖται τῶν σκύλων ἐκείνοις γενόμενοι τῆς ἴσης ἠτέμβοντο καὶ παρὰ δύο ἓν λαμβάνειν ἐδικαιοῦντο, τὰς ἐπ' ἴσων ἐν πᾶσι μερίδας τὰ συγκείμενα ἔχοντες. Ἰταλοὶ δὲ ἱππεῖς σφᾶς αὐτοὺς παρὰ

12. αἵρεσιν ἀμφοῖν κέητε P.

quendi vos nobiscum habituros copiam." haec ut fuerant ab imperatore scripta, legati Catelanis cuncta recitarunt. quibus illi auditis nihil sane pacati reposuere, sed voces Italico fastu et arrogantia plenissimas. per quas iracunde ac minaciter debacchati satis, illud ad extremum pro ultima et irrevocabili voluntatis ipsorum declaratione subiecere. "si vult imperator placatos nos benevolosque e terris suis recedere, persolvat retro debita stipendia pro tempore quo ipsi militando servivimus; emittat custodia liberosque reddat nobis quotquot nostri ab ipso et suis in urbe aut uspiam alibi detinentur; naves nostras a Genuensibus captas, impetratas aut redemptas ex iis qui ceperunt, nobis restituat; equos nostros, quos navigaturi relinquemus, iusto numerato pretio emat; pro praeda et spoliis, quae in manibus habemus, tum praeterea pro lytro captivorum quos servamus, aequa aestimatione taxatam pecuniam rependat. haec ubi fecerit, desinentes bello vos persequi statim abibimus. sin noluerit, sic habeat, in parte magna probri ac dedecoris pudendi numeraturos nos, si optione oblata vitae ignave ac precario servandae aut fortiter bellando moriendi, vel tantillum cunctaremur in praeoptanda saluti virtute." his dictis, dimissaque confestim legatione, sua se improbitate involverunt, nihil pensi habentes demonstrare palam placere ipsis quae prave fecerant, et abundare nefariam voluntatem adhuc peiora faciendi.

3. Ad horum porro rationes peraccommodatum mox contigit quippiam, quod modo referam. qui cum ipsis erant Persae in divisione spoliorum fraudati aequa parte fuerant. cum enim pacti essent praedam partam communiter aequa ipsis et Latinis portione sortiendam, ita ut ex duobus paris pretii unum ipsis competeret, Itali cavillantes sibi ut equi-

πεζοὺς ἐκείνους τοὺς πλείστους συνέκρινον, καὶ ἄλλ' ἄττα δι-
καιολογούμενοι, δεινὰ ποιούντων ἐκείνων εἰ τῶν ἴσων στεροῖντο, B
ἠμέλουν ἐς ἄγαν. ὅθεν καί τισιν ἐκείνων ἀντιπερᾶν ἐδόκει, καὶ
τῶν τινὶ Ῥωμαίων προστυχόντες ἐν ῥηταῖς ὁμολογίαις καὶ ὅρκοις
συνεφώνουν αὐτοὶ μὲν διδόναι ἄξιον τὸ πορθμεῖον, ἐκεῖνος δὲ
ἀκακουργήτως διαπερᾶν. ἀλλ' ἐκ τοῦ αἰφνηδὸν περαιουμένοις ὁ
Ἀνδρέας Μουρίσκος ἐφίσταται, καὶ μέσον τοῦ πορθμοῦ προστυ-
χὼν τοὺς μὲν Ῥωμαίους περιποιεῖται, Πέρσας δὲ ὡς ἂν μὴ ὢν
αὐτὸς ἐπώμοτος ἔργον μαχαίρας ποιεῖται. τοῦτο γνωσθὲν Πέρ- C
σαις τῆς ἐπὶ τὰ οἰκεῖα ἤθη ἀφίξεως καὶ λίαν ἀνεῖργει, καὶ οὕτως
ἐσαῦθις πρὸς Ἰταλοὺς κλίναντες σὺν αὐτοῖς τὰς Θρᾳκικὰς κατα-
τρέχουσι χώρας. ἀλλ' ὁ μὲν Μουρίσκος βασιλεῖ παραγεγονώς,
ἅμα δὲ καὶ τῶν τριήρεων τῆς ἐπὶ τῷ πορθμῷ ἀσχολίας ἀπαλλα-
γεισῶν, ἐκεῖνος μὲν τὴν τοῦ ἀμηραλῆ ἀξίαν παρὰ τοῦ κρατοῦν-
τος λαμβάνει· Ἰταλοὶ δὲ καὶ Πέρσαι, ἐπεὶ οὐδεμία τῶν βασι-
λικῶν τριήρεων ἐκεῖσέ πη προσεκώχευε, τὰ πιστὰ ἐπὶ τῷ φρου- D
ρίῳ τῷ τῆς Καλλίου σχόντες, ὀλίγους τινὰς κατὰ φυλακὴν ἀφέν-
τες ὅλαις ὁρμαῖς τὰ προστυγχάνοντα ἐξεληΐζοντο, ἄνδρας κτεί-
νοντες, τὰς δ' ἐν ἡλικίᾳ γυναῖκας καὶ παῖδας ἀνοικτὶ ἐξανδραπο-

tibus plus quam illis plerisque peditibus in partitione deberi, quantum collibuerat sumpserant, particula dumtaxat, quantulam sat fore quaestuoso ipsis sibi faventium arbitrio statuerunt, in Persas socios, uti nihil plus quam gregarios, asperso. sic se iuluste ac contumeliose defraudari non ferentes Persae de hac iniuria et quibusdam aliis multum, sed frustra querebantur, surdis ad omnia, et quidquid laesi obtenderent, susque deque habentibus secure ac superbe Catelanis. hinc natum Persarum nonnullis consilium retro se, unde venerant, trans mare referendi. ergo cum forte occurrente navarcho quopiam Romano clam transiguut ut se taxato naulo, et certis conditionibus in quas utrimque lureiurando dato est conventum, trans fretum innoxie ac fide bona deportaret. dum sic traiiciunt, medio in cursu navem qua vehebantur Andreas Muriscus luvadens occupansque Romanos quidem in ea repertos servavit, Persas autem, ut quibus nulla ipse sacramenti religione cavisset, gladio peremit. nuntiatum id Persis reliquis apud castra Catelanorum similia revertendi consilia versantibus, longe hos deinceps ab eiusmodi cogitationibus avertit, coactosque ad patienter tolerandam qualemcumque conditionem peregrinae militiae, cui essent insolubiliter implicitl, perpulit ad couiungendam denuo cum Italis militarem operam, Thraclcis communiter regionibus incursandis. sub haec Muriscus remissa triremibus fretl custodlendi taediosa ipsis ac publice salutari statione cum lis Constantinopolim rediit, ubl benevole exceptus ab imperatore praemium rei bene gestae Ameralis dignitatem tulit. verum Itali ac Persae recessu animadverso triremium, quarum ipsis fuerat vicinia terrori, nihil iam deinceps arci Callipoleos imminere periculi cernentes, paucis suorum uti iam suffecturis ad eius custodiam ibi relictis, effuso impetu obvia sunt cuncta depopulati, viros quidem occidentes, adultas vero mulieres et pueros immisericorditer servitum abdu-

διζόμενοι καὶ χρήματα μυρία συλλέγοντες, ζώων αὐτῶν καὶ τῶν P 401 εὐώνων πραγμάτων παρορωμένων. λήϊα δὲ καὶ θημωνίαι μυρίαι, τὰ μὲν παρηβηκυίαις ἔφριττον ταῖς ἀθέραις, αἱ δὲ ἀτημελημέναι κείμεναι καθωρῶντο.

B 4. Οὐ μὴν δὲ καὶ Ἀλανοῖς ἑτέρωθεν, ἔτι δὲ καὶ τοῖς ἐξ ὑπογύου Χριστιανοῖς Τουρκοπούλοις, οἳ δὴ καὶ οὐ πολλῷ πρότερον χρόνῳ ἐκ τῶν βορείων βασιλεῖ προσεφοίτησαν, οὐδ' αὐτοῖς ἀλώβητον διετηρεῖτο τὸ ἔνσπονδον, ἀλλὰ μίαν μὲν εἶχον τὴν γνώμην ἀποστατοῦντες, ἑκάτεροι δὲ τὰ ὀχυρώτατα κατασχόντες, οὐδὲν ὅπερ οὐ καταθέοντες ἐξηφάνιζον. καὶ οἱ μὲν Τουρκόπου- C λοι ἄλλῃ πῃ ὠχύρουν τὰς μετοικίας, ὁπόθεν ὡς ἐξ ὁρμητηρίου ἐκθέοντες δεινὰ Ῥωμαίους εἰργάζοντο· Ἀλανοῖς δὲ Κουτζίμπαξις, καθὼς ἐρρέθη τὰ πρότερα, ἐπιστὰς ἄλλως ἢ ὡς ἐπ' ἀγαθῷ Ῥωμαίων, ἢ καὶ ἀπέσταλτο, δόξαν παρεῖχεν ποιεῖν. ἦρξε γάρ οἱ τοῦ ἐπὶ τῷ δοκεῖν Ἀλανοῖς ἐκθύμως ἀποστραφῆναι τὰ βασιλέως καὶ δὴ καὶ πιστεύεσθαι ἡ τοῦ Τουκτάϊ πρὸς βασιλέα καὶ περὶ αὐτοῦ ζήτησις, καὶ ἐπεὶ συνάμ' ἐζητοῦντο αὐτός τε καὶ D Ἀλανοὶ ὡς ἀρχῆθεν τῇ τῶν Τοχάρων ἀρχῇ προσήκοντες, αὐτοῦ γε καὶ μᾶλλον σὺν ἑτέροις ἄρχουσι παρὰ βασιλέως πρὸς ἐκεῖνον

14. ἐπέσταλτο P. 15. τοῦ ἐπ' ἴσων δ.?

centes, pecuniae autem immensos congerentes cumulos, adeo ut animalia et caetera utcumque magno et facile vendibilia, ultro in manus incurrentia, nec tollere curarent, ditiori pleni praeda; qua etiam ex causa segetes in campis maturae struesque manipulorum in areis, illae perire defectu metentium, hae neglectae iacere passim cernebantur.

4. Aliunde porro neque Alanis neque Turcopulis recens ad Christianam traductis religionem, qui non multo ante haec tempore e Septemtrionalibus tractibus ad militiam imperatoris advenerant, fides et in observatione foederis initi perseverantia constabat: verum pari utraque gens consilio defecit palam a nostris, et munitissimis locis occupatis erumpentes inde nihil tutum aut securum per circuitum sinebant, incursionibus infestis lato cuncta corrumpentes. ac Turcopuli quidem alibi sibi receptacula munierunt, unde ut ex arce procurrentes ingentia Romanis inferebant mala. Alanis vero Cutzimpaxis, ut est prius dictum, superveniens brevi dedit occasionem opinandi, haud istum cum iis congressum ad procuranda Romanorum commoda, ad quod mittebatur, fuisse collatum. coeperunt enim statim ab hoc audito Alani animosius quam antea partes imperatoris aversari, prae se ferentes certo credere iam so, id de quo prius dubitaverant timide dumtaxat suspicando; persuasum, inquam, plene iam habentes, missum a Tuctaïne ad imperatorem Cutzimpaxim ad repetendos suos antiquos milites Alanos, eosque secum postliminio reducendos ad terras Tocharorum, ad quos pertinerent et quorum dudum auspiciis mili-

πρεσβεύοντος. ταῦτ' Ἀλανοὶ ὡς πρὸς αὐτῶν ἐκ τοῦ τύχης καὶ αὐτομάτου γεγονέναι δόξαν καὶ λίαν ἀποδεξάμενοι, ὑποποιοῦνται παντοίως τὸν πρεσβευτήν. καὶ ὁ τέως ἐξημερώσων σφᾶς βασιλεῖ ὅλος, ὡς δόξαι, ἐκείνων γίνεται, καὶ ἐς τοσοῦτον οἰκειοῦται E *σφίσιν ὥστε καὶ ἄλλην τὴν τοῦ πρωτεύοντος ἐκείνων Κυρσίτη ἀδελφὴν ἀγαγέσθαι ἐς σύζυγον. ἤ . . . . . . Ἀλανοὶ τὰς τῆς Νεάδος σκοπιὰς καταλαβόντες τόπον διαρκῶς ὀχυροῦσι ταῖς κατὰ σφᾶς ἁρμαμάξαις, αἷς δὴ καὶ διεκομίζοντο. γύναια δὲ καὶ παιδάρια καὶ πᾶσαν ἄλλην περιουσίαν ἐκεῖ συγκλείσαντες, ἐντεῦθεν αὐτοὶ ὡς ἐπὶ βεβαίῳ τῆς ἱδρύσεως ἐξορμώμενοι τὰ πάνδεινα* P 402 *διετίθουν Ῥωμαίους, μόνον δὲ φειδωλοὶ περὶ τὰς σφαγὰς ἦσαν. καὶ ταῦτ' ἠκούετο εἰργασμένος Κουτζίμπαξις, εἰ καὶ ὁ κρατῶν ἐπ' ἐκείνῳ ἔτι πληροφορούμενος οὐδ' ὅλως τὰ τῆς φήμης παραδεκτέα ἡγεῖτο· καὶ γὰρ κἀκεῖνος περιεβουκόλει τὰς ἐλπίδας τῷ βασιλεῖ, ὡς οὐκ ἐπὶ πονήρῳ Ῥωμαίων ταῦτα πράττοι, ἐξ ὧν ἠκούετο πρός τινας τῶν τοῦ βασιλέως ἀπολογούμενος. ἑτέρωθεν δὲ κατ' ἀνατολὴν καὶ ὁ Ἀτταλειώτης ἀποστατῶν ἐκηρύσσετο,* B *καὶ γράμματα ἀφικνούμενα τὴν ἀποστασίαν ἐδήλουν. ταῦτα μὲν οὐ λίαν, ὡς ἐῴκει, ὠδύνα τὸν βασιλέα, τὰ δὲ κατὰ*

2. *δόξαντα?* 4. *ὅλως* P.

tavissent. advenisse is nuntius in tempore visus est Alanis, quando eos multis de ceusis Romauae societatis taedium ceperat. itaque cum rem ipsam exceperunt avida, tum eius ad se missum uegotii ministrum omuibus demereri officiosae benevolentiae declarstiouibus staduere. nec segnis ille aut parcus fuit in exhibenda mutua gratia. unde qui ad deliniendos imperatori exacerbatos Alanorum animos utilis conciliator accessisse sperabatur, brevi totus in eorum transisse partes haud dubiis est compertus indiciis, utique qui eo usque se illis agglutinaverit, ut sororem Cursitae primas apud ipsos obtinentis aliam uxorem duxerit. binc iam palam imperio rebelles Alani loco potiti sitas inaccessi, quem Neadis speculss vocant, eum quantam satis fore visum est muniunt, plaustrorum qnae plurima trshebant, continua serie velut vallo circumdatnm. tum inclusis ea munitione mulieribus et parvulis caeteraque supellectiii, inde ipsi ut ex secura sibi sd receptum arce prodeuntes, omni bostilitatis genere Romanos infestabant, nisi quod parcebant sanguini minusqae caedium edebent. et haec videlicet Catzimpaxis transegissa cum Alanis tandem audiebatur, quamvis necdum credente imperatore; qui praeoccupatus magna opinioue fidei eias viri ac benevolentiao erga se sincerae, assentiri non sustinebat talia de illo memorantibus. ad qaod aliquid artis etiam ipse adhibebat Cutzimpaxis, spem etismnum imperatoris nuntiis submissis lactans, et ad quosdam ipsius familiares defensiones facti sui scriptitans, qaibus affirmabat nibil iu hoc actum a se quod in ullum incommodum rei posset Romanae redundare. altera vero ex parte in Orientali tractu rebellasse Attaleotam palam praedicabatur; ostendebanturque inde allatae literae id citra ullam dubitationem asserentes. sed id novum vulnus haud multum, ut apparebat, dolebat imperatori, desperata dudum salute re-

δύσιν διὰ φροντίδος. ποιούμενος οὐκ ἀνίει, καὶ μάλισθ' ὅτι καὶ τοῦ στρατιωτικοῦ τοῦ περὶ τὸν βασιλέα Μιχαὴλ διασκεδασθέντος, καὶ διὰ ταῦτα μηδὲν ἔχων ἐκεῖνος πράττειν, τὸν πατέρα καὶ βασιλέα πέμπων ἐξώτρυνεν, εἰ δυνατά οἱ εἴη, αὐτὸν ἐκστρατεύειν C ἐκεῖνον καὶ κατὰ δύσιν περί που Ῥαιδεστὸν καὶ πρόσω στρατοπεδεύεσθαι. ὁρμὴ δ' ἦν πρὸς τοῦτο, ὁπόθεν δέ οἱ δυνάμεις συγκροτηθήσονται σκοπουμένῳ (οὐδὲ γὰρ ἐκ τοῦ κοινοῦ ταμιείου ταύτας γενέσθαι ἐπιτελεῖς διὰ τὴν τῶν χρημάτων ἀπορίαν, ὡς ἔλεγον, δυνατὰ ἦν) ἡ ἐκ τῆς πολιτείας ἐκαραδοκεῖτο ἐθελουσία συγκρότησις. ὅθεν καὶ συνεκρότουν οἱ πλείους, καὶ συνελέγοντο χρήματα. ἀλλ' οὐκ ἦν πρὸς τοιαύτας χρείας ὀρκούντων τὸ συναγόμενον, καὶ ἠμελεῖτο τὸ ξύμπαν.

D 5. Ἐν τούτῳ καὶ φάμουσος τόμος πλήρης χλεύης ῥιπτεῖται. καὶ οὐ γὰρ ἄλλως τῷ τολμῶντι ῥίπτειν ὑπείληπτο εἰς χεῖρας δεδόσθαι τὸν τόμον τῷ βασιλεῖ, ἢν μὴ ἐν αὐτοῖς τοῦ τῶν ἀνακτόρων P 403 ἄλλο τις λαθὼν ἐκτεθείη ἐπὶ τὸν αὐτὸν θρόνον οὗ εἰώθει καθέζεσθαι βασιλεύς, τοῦ ἀμφικεφάλου ὑπεντεθειμένου οἱ, πολλὴν τοῦ λαθεῖν πρόνοιαν ποιησαμένου τοῦ θεῖναι τολμήσαντος. ὡς δὲ ὁ τοῦ κοιτῶνος προκαθήμενος ὁ Χατζίκης εἰωθὼς ἐκ τοῦ ἐπὶ πλεῖστον εἰσῄει τὰ τῆς καθέδρας διευθετεῖν, φιλοκαλῶν συνή-

gionum Orientalium unice intento in Occiduas conservandas. cui eum instautem curae acriter pungebat quod exercitum Michaëlis Augusti plane illic constebat fuisse dissipatum. quam ob causain ipse Michaël crebris et urgeutibus lteris patrem Augustum obsecrabat ut quam primum posset fieri, veniret eo ipse cum exercitu et circa Rhoedestum pauloque ulterius castra metaretur. uec deerat Andronico impetus ad eam expeditionem capessendam: tentum aestuabat animo, uude copias ad hoc idoneas cogeret. nem quautum in aererio tum pecuuiae reperiebetur, haudquaquam ed stipendia iusto exercitui numeranda suffecturum ex vero affirmabaut intime couscii. restabat spes lu voluntaria collatioua civium, qua is defectus suppleretur. rogati non frustra multi, quod poterant, conferebant; dabaturque non indiligens opera colligendis his symbolis summae ad praesentem usum necessariae couflandae. sed immane quantum a modo requisito res aberat. iteque totum sensim negotium taedio curantium et desperatione perficiendi neglectum evanuit.

5. Inter haec famosus libellus plenus irrisione iacitur. eum qui iacere ausus est, cum aliter non speraret in menus imperatoris, quod cupiebat, venturum, ipse furtim iu iutima palatii conclavie penetravit, simulans se elium, et lu ipso, ubl considere Augustus solebat, throno deposuit; multam ln aditu et recessu, capite videlicet dillgenter obuupto, ad latendum curam adhibens. ut autem eo paulo post, prout erat saepe solitus, praefectus cubiculi Chetzices subiit, familiari ministerio sedila priucipis adornaturus, in quo solebat esse diligeus, incurrit in libellum; quem a uon alio quam ipso Augusto relictum illic autumans, et veritus ne arcana contineret quae minime is vellet coguosci a quoquam, vi curio-

θως τὸν δίφρον προστετυχήκει τῷ τόμῳ, δόξαν οἱ πρὸς βασιλέως αὐτὸν τεθῆναι ἅτ' ἀπόρρητά τινα περιέχοντα, μηδὲν πολυπραγμονήσας, μὴ ἀναγνούς, ὡς εἶχεν ἐξ αὐτῆς, οὕτως ἐγχειρίζει τῷ βασιλεῖ. καὶ δὴ ἔδοξε μὲν ἐκ τοῦ παραυτίκα ἀγνῶτ' ἐγ- B χειρίζων ξένον τι καὶ φροντίδος ἄξιον ἐργαζόμενος, εἰ ὃν βασιλεὺς οὐκ ᾔδει τεθέντα, ὡς θέντι οἱ παρέχοι. τέως δὲ λαβὼν βασιλεὺς καὶ τὴν ἀρχὴν διελθών, τὸ πᾶν τῆς γραφῆς ὡς ἐκ κρασπέδου τὸ ὕφασμα κατενόει, κἀντεῦθεν μεταξὺ τοῦ θέλειν γνῶναι καὶ μὴ ὡς τὸ εἰκὸς γιγνόμενος δεινὰ ἐποίει καὶ ἐν ἀμηχάνῳ ἦν. εἰ γὰρ πάντες ἄνθρωποι τοῦ εἰδέναι φύσει ὀρέγονται, ὡς καὶ ἡ τῶν αἰσθήσεων ἀγάπησις μαρτυρεῖ, τὸ περὶ ἑαυτοῦ, βασιλέα καὶ C ταῦτα ὄντα, εἰδέναι, ᾧ ἔνι μὲν καὶ κολακείας ἐνεδρευούσης παρὰ μηδενὸς ἀκούειν τὰ δοκοῦντα ξύμφορα, ἣν οἱ παρὰ γνώμης εἶεν, ἔνι δὲ καὶ κράτος ἰσχύος ἐξ ἀξιώματος τὸ θελητὸν ἐς ἅπαν ἐξομαλίζειν, μηδενὸς ἀντιξοοῦντος διὰ τὴν ἐκ συνηθείας ὑποστολὴν τοῦ μὴ δοκεῖν βασιλεῖ προσκρούειν, πῶς οὐ μανθάνειν κἀκεῖνον τὸ πρᾶγμα γλίχεσθαι παρεσκεύαζεν τὸν τοιαῦτα τολμῶντα; ἀλλὰ ταῦτα μὲν ἐν παρατηρήσει ἐτίθει ἀνίχνευτον τὸν δεδρακότα.

10. ἡ deerat.

sitati facta convolutum, ut erat, nec vel coniectu intus oculi libatum, quam potuit celerrime imperatori tradidit in manus. in quo ille videri potuit quasi sedulitate nimia peccasse, scriptum ignotum et forte ingratum reddens principi, quod ei occultari quietis ipsius interesset, tamquam videlicet ab ipso positum; quod nec verum esset, nec sine argumento aut testimonio idoneo credi a prudente ministro debuisset. utut sit, explicato Augustus volumine, et primis raptim oculo versibus decursis, genus et argumentum scripti totum intellexit, velut ex lacinia de panni universo contextu aestimans. hinc illum acris incessit cupido noscendi scriptoris, quo in disquirendo cum parum proficeret, indignans ringensque angebatur. si enim omnes homines natura scire desiderant, ut quam ex usu sensuum percipiunt delectatio testatur, mirum non est imperatorem tam incensa tunc fuisse punctum curiositate cognoscendae rei ad se pertinentis intime, hominis qui sibi primus diceret quae a nullo umquam audisset. non enim praesentis voce auctoris in principum aures nisi laudes ac praeconia perferuntur, circa thronos utique ipsorum adulatione subsidente, liberasque longe monitiones arcente, dum omnes illic certatim obsecundant dominantis nutibus, cunctaque sua ad eius quaevis indicia voluntatis sensa statim et obsequia inclinant, nemine frontem adversam opponere sustinente aut, quod temerarium et audenti exitiosum censetur, potentiori coram obniti. ista igitur novitas rerum furtivae huic inditarum chartae Andronicum stimulabat in cupiditatem sciendi quisnam hic tandem esset non modo censor audax sed etiam amarus irrisor sui. at isto ipso sese indiciis efferente principis studio is qui conscius sibi erat ancipitis facti, ad sese cautius scilicet abscondendum incitabatur; quod et ex voto assecutus omnes sese investigantium indagationes semper incognitus elusit.

D 6. Οἱ δὲ Ἀμογάβαροι, ὡς πολλάκις ἤδη προείπομεν, ἐκθέοντες πανταχοῦ καὶ τὰ δεινὰ Ῥωμαίους τιθέμενοι περικαθίζουσι φρούριον περὶ τὸν Σιγὸν ποταμόν, Μάδυτον ἐγχωρίως λε- P 401 γόμενον. ὀχυρὸν δὲ ὄν, ὡς εἰκός, οὐ δυνατὸν ἦν αὐτοῖς κρατηθῆναι. πολιορκήσεις δὲ καθ' ἑκάστην ποιοῦντες καὶ μηχανάς, τὰ πάντα μάταια διεφαίνοντο. ἐπεὶ δὲ μὴ ἀνυστὰ τοῖς Ἰταλοῖς ἦν, λιμῷ τὸ φρούριον ἔγνωσαν πολιορκεῖν. χρόνου τοιγαροῦν τριβομένου ὁ λιμὸς ἐντὸς κραταιῶς ἐπήρχετο, ὥστε καὶ τῶν ἀπηγορευμένων τοὺς ἐποίκους ἅψασθαι λόγος. τέλος γοῦν ἀπορίᾳ συσχεθέντες ἐφ' ὁμολογίαις τοῦ μή τινας ἤδη φονευθῆναι, ἄλ- B λως δὲ ὡς ἐκείνοις ἀρεστὸν χρήσασθαι, τὸ φρούριον ἤδη παρέχουσιν. εἰσελθόντες οὖν ἅπαντας ἐξῴκισαν, ἄλλους ἀλλαχοῦ διασπείραντες. αὐτοὶ δὲ ὡς ὁρμητηρίῳ τούτῳ χρώμενοι ἐξέθεον πανταχοῦ τῆς Θρᾴκης, τὰ πάνδεινα ἐργαζόμενοι.

C 7. Ὁ δὲ Μπυριγέριος, ὡς ἤδη προείπομεν, Γεννουΐταις κρατηθεὶς καὶ εἰς Τραπεζοῦντα ἀναχθεὶς ὡς αἰχμάλωτος, ἔπειτα πάλιν καταχθεὶς μετ' αὐτῶν, καὶ δύο μῆνας προσμεινάντων τριήρεων δύο μισθοφορίαις τοῦ βασιλέως ἐπὶ τὸ στενὸν Καλλιουπόλεως, τελεσθείσης δὲ τῆς τῶν δύο μηνῶν προθεσμίας ἀπάγεται μετ' αὐτῶν πρὸς τὴν Γέννουαν. τῶν δὲ Κατελάνων πρότερον τριήρεων πρεσβευσάντων περὶ τούτου, οὐδὲν ἤνυσαν.

6. At Amogabari, ut saepius iam antea diximus, quoquoversum excurrentes et Romanos dire vexantes, obsidione cingunt arcem Sigo amni adsitam, vulgo Madytum vocatam. verum haec adeo munita erat ut frustra omnis esset oppugnantium labor, utcumque illi quotidianis assultibus, machinis quin etiam adhibitis, nihil omitterent quod ei vi subigendae posset utile videri. quare tandem decreverunt, quos expugnare armis nequirent, fame debellare. diu ergo circumsidentes, omni aditu commeatibus obsepto, eo penuriae Madytenses redegerunt ut iam res quoque foedas et naturae humanae fastiditas, vertere in cibum dicerentur. processu temporis cum crescente necessitate spes subsidii deficeret, dediderunt se obsessi, solam vitae incolumitatem pacti, caeteris omnibus obsidentium arbitrio permissis. sic Madyto Amogabari potiti, quotquot illic reperere, foras eiecerunt, alios alio dispergentes. de caetero ex arce illa valido suorum insessa praesidio erumpentes, cum securi fiducia regressus, omnem late Thraciam assiduis et saevis incursionibus vastabant.

7. Mpyrigerius autem, ut superius diximus, a Genuensibus captus et Trapezuntem delatus in vinculis, rursus inde reversis quae illum portabant navibus relatus, per duos menses in freto Callipolis perstitit, ubi mercede conductam ab imperatore naves duae Genuenses stationem habuerunt. illo quod pepigerant spatio transacto, teneri non potuere quin abirent, versus Genuam dirigentes cursum, et illuc perinvitum Mpyrigerium ducentes, Catelanis necquidquam conatis impetrare liberationem eius. nam horum ad id missae legationes ad navarchos Genuenses plane successu caruere.

8. Ὁ δὲ βασιλεὺς πρὸς τοῖς ἄλλοις οἷς εἶχε καὶ ὡς δυνατὸν D ἐσπούδαζε ταῦτα θεραπεύειν, καὶ τὰ τοῦ πατριαρχοῦντος Ἀθανασίου θεραπεύειν περὶ πολλοῦ ἐποιεῖτο. διὰ τοῦτο παντοίως μετήρχετο τὸν πατριάρχην Ἀλεξανδρείας Ἀθανάσιον ὁμονοῆσαι τοῖς πραχθεῖσιν ἐπὶ τοῦ πατριάρχου Ἀθανασίου. ὁ δὲ οὐ μὴ μόνον συνῄνει τοῖς πραχθεῖσιν, ἀλλὰ προφανῶς ἀπεσχίζετο. ἐπεὶ δὲ οὐκ ἦν ἄλλο τι ἐκεῖνον δρᾶν καθ' ἑαυτὸν ποιμε- P 405 ναρχοῦντα καὶ μᾶλλον δόξαν ἐπὶ συνέσει καὶ ἀγχινοίᾳ ἔχοντα, πρὸς τὰ οἰκεῖα τῆς ἑαυτοῦ ἐκκλησίας χρησάμενον πλῷ ἰέναι ἠπείγετο. καὶ ὃς ἐξ αὐτῆς συσκευασάμενος, ἐπειδὴ οὐκ ἦν δυνατὸν αὐτῷ ἐπ' Ἀλεξανδρείας· τῷ τότε, ἐπὶ Βενετικῆς τριήρεως ἐς Κρήτην ἐστέλλετο· ἐκεῖ γὰρ ἔγνωστο αὐτῷ κατὰ τὸ τοῦ Σινᾶ (Σιναΐτης γὰρ ἦν ἀρχῆθεν) παραγενέσθαι μετόχιον. ὅμως γε B μέντοι μεταξύ που διερχόμενος εἰς τὴν κατ' Εὔβοιαν Μάκρην, ὁ λόγος εἶχε, κατήντησεν. ἃ δὲ τούτῳ συνέβη περιπλανωμένῳ, μετ' ὀλίγον ῥηθήσεται. ὁ δὲ πατριαρχεύων Ἀθανάσιος τὰς ἐκείνου ἐκ χρυσοβούλλων μονάς, τήν τε κατὰ τὸν Ἀνάπλουν τοῦ ἀρχιστρατήγου καὶ τὴν ἐντὸς τοῦ εὐεργέτου Χριστοῦ, χειρωσάμενος, τοῦ βασιλέως ἀφιέντος σφραγῖδα ἰδίαν, καὶ καθηγούμε-

8. Porro imperator inter opem eios exposcentia undique multa, quibus mederi pro viribus studebat, haudquaquam negligebat curam sui cari suscepti patriarchae Constantinopolitani Athanasii. ergo ei conaulere quam efficacissime cupiens, variis ambiebat officiorum artibus ibi cognominem Alexandrinom patriarcham, eblandiri ab hoc satagens ut tandem reconciliari se sineret Constantinopolitano, evectionemque ipsius in thronum et acta caetera probaret. hactenus quippe ille non modo assensus istius promotioni non fuerat, sed et ab illo se palam abscissum tenebat. verum Alexandrino Invicta in praeiudicato usu ac sensu pertinacia omnes istius generis invitationes eludente, imperator, qui nec alia ratione posset cogere hominem alionde ac sine suo beneficio patriarchatu illustris sedis insignem, et alloqui vereretor quidquam decernere severius in virum prudentiae atque ingenii fama percelebrem, ad ultimum illud consilium descendit eum amovendi ex urbe, ubi exemplo nocebat, urgendo ut ad suam ecclesiam quam primum navi se conferret. ad hoc ille sese expedire haud gravate viaos est; convasataque supellectili, quoniam Alexandriae tunc petendae copia non fuit, conscensa triremi Veneta solvit Cretam versus: ibi enim cum esse domum sciret Sinaitae monasterio, unde ipse prodierat, subiectam, in ea diversari constituerat. sed in eo cursu delatus obiter in Euboeam longam variis illic est casibus iactatus, et occasione horum erroribus itinerum multis implicitus, quos post paulo referemus. nec cunctatus est Constantinopolitanus Athanasios disceasu aemuli proficere quam potuit plorimum, siquidem quae Alexandrinus loca dono Augustorum bullis aureis sancito in urbe possederat, nempe monasteriom archistrategi ad Anaplum et aliud intra urbem Christi Euergetae, continuo invasit, revulsis etiam Alexandrini, quae abiens concessu imperatoris impresserat, sigillis, pro iisque sua ipsius signacula substituens, ac prae-

C νον ἐπ' αὐταῖς καθίστα. ὕστερον δὲ καὶ τὴν τῶν Ὁδηγῶν μονὴν οὕτως ἔδρα, αὐτὸς ἐπιστάς, αὐτὸς καταστήσας ἐκ χειροτονίας ἡγούμενον, αὐτὸς καινουργήσας καὶ τὴν ἀναφορὰν τοῦ ἰδίου ὀνόματος, τότε χηρευούσης ποιμένος τῆς Ἀντιοχείας, ὡς ἐντεῦθεν καὶ τούτων ὡς καὶ τῶν ἄλλων ἐξουσιάζειν, καὶ τὰ δυνατὰ καὶ εὔπορα καρπίζεσθαι. ἀλλὰ ταῦτα μὲν οὕτως εἶχε.

D 9. Συνέπεσε δὲ ἐντεῦθεν δεινὰ φρουρίῳ τινὶ κατὰ τὴν Μυσίαν τὴν ἐν τῷ Ὀλύμπῳ, τὰ Κουβούκλεια λεγομένῳ. ἐπειδὴ γὰρ οἱ ἐν τῷ φρουρίῳ ἐπιθεμένων τῶν περὶ τὸν Πέρσην Ἀτάρην ἐν χρῷ κινδύνου ἐγένοντο, ἀμηχανοῦντες μόνον σύμφορον ἐνενόουν τὴν ἐκ Λοπαδίου ἀρωγήν· ἐκεῖ γὰρ διῆγεν ὁ Μακρηνὸς σὺν ὀλίγοις τισὶ καὶ τοῖς περιοῦσιν Ἀμογαβάροις, οὓς φθάσας P 406 ὁ Καῖσαρ ἀπέστειλεν ἐπὶ φυλακῇ τῶν ἐκεῖ. πέμψαντες οὖν βοηθεῖν ἠντιβόλουν τῷ Μακρηνῷ. πέμπει ἑξήκοντα Ἀμογαβάρους ὡς πιστοὺς τοῖς Ῥωμαίοις, οἵτινες δὴ παραγεγονότες πρότερον Πέρσαις κατὰ τὸ λεληθὸς κοινολογησάμενοι, καὶ τὰ πιστὰ δόντες καὶ λαβόντες, ἦ μὴν αὐτοὺς μὲν ἐπ' ἀγαθῷ τῷ ἰδίῳ συμπράξειν, ἐκείνους δὲ πρὸς Λάμψακον ὡς περαιωθεῖεν διασώσασθαι, εἰσελθόντες δὲ τὸ φρούριον οὐδὲν ἦν δεινὸν ὅπερ εἰς τοὺς ἐποίκους

positos a se pendentes iis coenobiis imponens. paulo post idem fecit et in Hodegorum monasterio, per se illud ipse adiens, ipse ordinationis propriae praepositum praeficiens; quin et de novo illic usurpans, ut vacante tum forte Antiochena sede, cuius iuri praesulis id erat coenobium subiectum, suum illic nomen inter sacra recitaretur. ita ille hic ut alibi iurium securus pro arbitrio cuncta dispensabat, quoad posset, ad se trahens universa, et reditus opimos ad fructum proprium vindicans. atque haec quidem sic se habebant.

9. Post haec autem acciderunt mala gravia cuidam arci Mysiae in Olympo sitae, cui Cubuclea nomen est. cum enim eius incolae acriter oppugnarentur ab exercitu Persae Ataris, et in extremum iam periculi venissent, unam sibi superesse spem auxilii viderunt a Lopadio, ubi Macrenus dux Romanus cum paucis sui generis degebat, habens secum et quosdam Amogabaros ex his quos olim Caesar Rontzerius ad id castrum custodiendum miserat. orarunt ergo Macrenum legatione supplici ne se in summo discrimine despiceret, sed quo posset auxilio servaret. Macrenus delectos sexaginta ex Amogabaris, fidos eos et benevolos Romanis, quales se ferebant, credens, ire suppetias Cubucleensibus iussit. hi primum profecti ad Persas clam cum illis convenerunt, fide data et accepta, se ingressos in arcem obsessam pro virili annisuros ut Persis traderetur, vicissim autem velle perduci Persarum opera se salvos Lampsacum, unde traiicere ad suos possent. ab hoc arcano colloquio intra munitiones Cubucleensium ut socii admissi nihil immanis hostilitatis omiserunt quo non in miseros longe aliud expectantes indigenas vel inquilinos loci vario prae-

οὐκ ἐποίησαν. καὶ τέλος τοὺς ἐντὸς κατασφάξαντες φύλακας, B τοὺς ἐποίκους πάντας ἐξελάσαντες, προδιδοῦσιν ἐπὶ ἀπωλείᾳ τοῖς Πέρσαις τὸ φρούριον. αὐτοὶ δὲ σὺν ἐκείνοις ἁψάμενοι τῆς ἐπὶ Λάμψακον, ἐντυγχάνουσι πλήθει Ῥωμαίων καθ' ὁδὸν ἄλλους ἀλλαχοῦ φεύγοντας, καὶ τούτους ἐξανδραποδισάμενοι σὺν ἄγρᾳ πλείστῃ καὶ μεγίστῳ ἑρμαίῳ τὸν Ἑλλήσποντον περαιοῦνται.

10. Ἐντεῦθεν καὶ ἀμφοτέρωθεν ἐστενῶσθαι τὸ Βυζάντιον C ἐκινδύνευεν, ἐξ ἀνατολῆς τε καὶ δύσεως, ὥστε ἀπόγνωσις καὶ ἀπορία πλείστη Ῥωμαίοις συνέπεσεν. ὁ δέ γε πατριάρχης Ἀθανάσιος πρὸς τούτοις καὶ τῷ λαῷ ἐπεγκαλεῖν ἐγκλήματα διηνεκῶς οὐκ ἀπώκνει, ὡς δῆθεν τὰς αἰτίας τῶν συμβαινόντων ἐντεῦθεν ἐπερχομένας ἐκ τῆς τοῦ λαοῦ πλημμελείας. διὸ καὶ συχναὶ D λιτανεῖαι παρ' ἐκείνου μετὰ μοναχῶν καὶ κληρικῶν καὶ παντὸς πλήθους ἐπετελοῦντο, καὶ συχνάκις ἐπαιτιῷτο ποῖ μὲν μοναχοῖς ποῖ δ' ἱερωμένοις ποῖ δὲ λαϊκοῖς, καὶ πρόστιμα πολλάκις καὶ φόβους καὶ ζημίας ἐπιτιθείη τοῖς ταλαιπώροις καὶ ἄλλως κακῶς ἔχουσι. καὶ ἐπὶ τούτοις ἥ τε φιλενδειξία καὶ τὸ οἴεσθαι τὴν φθορὰν ξυμβῆναι ἐκ τῆς τῶν προτέρων ποιμένων, καὶ μᾶλλον τοῦ E μετ' αὐτὸν Ἰωάννου, ἀτημελησίας, τὸ προσηνὲς καὶ ἀγαθοθελὲς οὕτω καλοῦντος, τὴν δ' ἐς τὸ κρεῖττον ἐπάνοδον ἐκ τῆς αὐ-

14. καὶ] εἰ καὶ?

textu grassarentur. ad extremum capto tempore, quotquot illic supererant, praesidiariis occisis cives electos produnt Persis, ab iis crudeliter mactandos, arcemque iisdem iuxta pacta condonant. ipsi deducente praesidio Persarum iter ingressi versus Lampsacum, plurimos Romanorum huc illucque fugientes variis obiter locis captos servitum abducunt; ac cum alia diversi generis praeda immensa, ingenti potiti sceleris praemio, Hellespontum transfretant.

10. Per hunc modum Constantinopolis ab utraque parte, continente Orientali et Occidua, dum premitur, angustias sensim ad extremas periclitabatur redigi, eo plerorumque moerore Romanorum ut in summa inopia consilii parum a desperatione ultima abessent. et erat isto velut quodam unguis in ulcere zelus acerbus Athanasii patriarchae, qui nullum faciebat finem incusandi populum, causas, ut aiebat, suis sceleribus deo praebere non cessantem immittendarum cladium tantarum. in earum porro piacula culparum crebrae litaniae celebrabantur ab eodem, praesentibus una monachis et clericis, cum frequentis conventu populi. nec preces indicere contentus obiurgationibus amaris suppliciisque saeviebat, nunc monachos criminans, nunc sacerdotes, nunc laicos, saepe terrores iis mulctas et id genus sensu acria in poenam sat aliunde infelicibus imponens. in his ille ferebatur sive ostentandi sui prurigine, sive opinione qua sibi persuaserat pessum ire omnia propter priorum patriarcharum, maxime autem Ioannis Cosmae qui sibi successisset, negligentiam (hoc enim traducebat nomine ad gratificandum pronam et benevolam viri eius indolem), restitutionem autem cunctorum in melius a sua ista instanti acrique

τοῦ σπουδαιοτριβήσεως προσδοκᾶσθαι. ὃ δὴ καὶ μᾶλλον εἰς
τοὐναντίον συνέπιπτεν, ὡς ἐπὶ τοῖς ὅλοις ἐπὶ τούτου τὰ Ῥωμαίων
ἐφθάρθαι, ὅσον εἰς διέγερσιν τῷ οὕτως αὐτονομοῦντι. ὥστε
P 407 καὶ ἐν μιᾷ λιτανεύσας κατ᾽ αὐτὴν ἡμέραν ἑσπέρας, ἀπὸ τῆς τῶν
κυνηγῶν λεγομένης πύλης μέχρι καὶ τῆς τοῦ Προδρόμου μονῆς,
πᾶσαν τὴν ὑπώρειαν ἐκείνην τὸ πῦρ ἐπιλαβὸν ἐπημάθυνε, πλοῦ-
τον δ᾽ ἐκεῖνον ὅσον ἐμπορικὸν καὶ πᾶσαν ἄλλην πολυτέλειαν εὐ-
γενῶν εἰς τὸ μηδὲν ἀπηκόντισεν· ὃ δὴ καὶ πρότερον ἐπὶ τῆς αὐ-
τοῦ πατριαρχείας ἐγένετο. ταύτῃ τοι καὶ διελοιδοροῦντό τινες
ὡς διὰ τὴν ἐκείνου λιτανείαν γεγενῆσθαι τὴν τοσαύτην πυρπόλη-
B σιν. ὁ δὲ τὴν ἐκείνων πρὸς τὰς ἱκετείας ῥαστώνην καὶ τὸ ἐρρα-
στωνευμένον τοῦ βίου καὶ ἀμελὲς ὑπὲρ πᾶν ἄλλο τῆς θεομηνίας
κατῃτιᾶτο. ὁπότεροι δὲ τοῦ ἀληθοῦς κατηυστόχουν, λέγειν οὐκ
ἔχω. ἀλλ᾽ ἀφορμαὶ τῶν δικαστηρίων τῷ πατριάρχῃ ἐντεῦθεν
ἐσχεδιάζοντο, οὐ μόνον πυρποληθέντων τῶν ἐν ταῖς ἐμπορίαις
συμβολαίων γραμμάτων, ἀλλ᾽ ὅτι καὶ πολλοὶ τῆς νυκτὸς ξυνδρα-
μόντες ἐκείνης τὰς οὐσίας τῶν ἀνθρώπων ἐξεφόρουν διαρπάζον-

17. ἐκείνοις P.

diligentia expectari. quae quidem expectatio in contrarium potius vertit, cum hoc eius demum patriarchatu res summa Romanorum prius concussa plane iam irreparabiliterque conciderit, ipsa etiam huius secura legum et pro libitu ruente gubernandi forma impulsum ei pro sua parte addente ad ruinam et in praeceps omnia trudente. nec temere rapi forte queat in huius rei signum et specimen fructus istarum litaniarum, quod quadam dierum, qua illas ipse praesens magno ambitu obiverat, ferale sub vesperam exarsit incendium, quo a porta Cynegorum dicta usque ad monasterium Prodromi, totus ille urbis quam late patet frequentissime habitatus clivus flamma grassante deletus est, redacta in cinerem ac plane perdita illa opulentia illic congesta mercium e longo advectarum, illa magnificentia superbarum aedium, pariter una cum pretiosissima supellectili splendide in iis diversantium nobilium familiarum; qualis et antea calamitas sub eius patriarchatu contigerat. inde non defuere qui Athanasio coram in os ipsi exprobrare non dubitarent praeclaras istas eius litanias facem fuisse luculentam quae tantam istam urbis partem inflammando corrupisset. quibus ille reponebat non litanias, sed ipsorum qui sic murmurarent, in ea precatione ac caeteris piis officiis rite persolvendis ac fungendis supinam socordiam causam incendii fuisse. addebat impetu hinc capto ardentes invectivas in reliquam eorum dissolutam voluptatibus et negligentem rerum divinarum vitam, e qua super omne aliud ira dei vindicis in nos saeviendi causas duceret. utri horum rem acu tetigerint, definire nequeo. caeterum occasiones litium ad densius deinceps constipandum patriarchae forum hinc extitere, non solum quoniam consumptis syngraphis et chartis plurimis apud aedes igne consumptas mercatorum confusae necessario sunt debiti et soluti rationes, sed etiam quia nocte illa plures concurrentes specie commodandae operae exportandis in tutum rebus ab igne periclitantibus furta multa fecerant, aliena in domos proprias portata deinceps

τις· ἡ γὰρ πᾶσα κρίσις ἀρχῆθεν τῷ πατριάρχῃ προσανετίθετο, C τοῦ βασιλέως ἐνδόντος, τῷ μὲν φαινομένῳ διὰ τὸ καθαρὸν τῶν λημμάτων, τῷ δ' ὑπονοουμένῳ τὸ ἀπὸ πάντων αἰδοῖον καὶ φοβερὸν περιποιοῦντος τῷ κρίνοντι, ὡς ἐντεῦθεν ἐκ πρωΐας μέχρις ἑσπέρας ὀχλαγωγεῖσθαι τὸν ἱερέα, ὄχλου μυρίου ἐπὶ τὴν μονὴν τοῦ μεγάλου λογαριαστοῦ (ἐκεῖ γὰρ ἐκ τοῦ ἐπὶ πλεῖστον διῆγεν) ἰλαδὸν συντρέχοντος.

11. *Πρὸ δὲ τοῦ ἁλωθῆναι Μάδυτον πολιορκουμένην ὑπὸ* P 408 τοῦ Φαρέντα Τζιμῆ, ἐφίσταται ἀμηράλης Ἀνδρέας Μουρίσκος ἀποσταλεὶς παρὰ βασιλέως σιταρκήσων τὸ φρούριον λειποσιτοῦν, συνάμα δύο ναυσίν· καὶ δὴ ἐπιστὰς μόλις εἰσάγει τὸν σῖτον. ἐκεῖθεν δ' αὖθις περί που τὴν Ἴμβρον ἐχώρει· ἔτυχε γὰρ μαθὼν ὡς ἀνάγονται δύο νῆες ἐκ Σικελίας Ἀμογαβάροις, καὶ προκαταλαβεῖν τὸν ἐκείνων ἔσπευδε δρόμον. αἱ δὲ ἐξ ἀφανοῦς διαδρᾶσαι καὶ B τῷ πορθμῷ ἐπιστᾶσαι κατὰ τὴν Καλλίου χειροῦνται μὲν ἐξ ἐφόδου θατέραν τῶν τοῦ Μουρίσκου ἑκοντὶ προσσχοῦσαν τῷ τὴν πολεμίαν ὑποτοπάσαι εἶναι τὴν τὸν Μουρίσκον φέρουσαν. οἱ δὲ

ut propria sorvantes. inde igitur natae controversiae Athauasio diiudicandao veniebant. nam iua omao arbitriumquo quaestionum forensium ab initio secundi patriarchatua Athanasio in solidum cesserat, iudulgente Augusto ob eam quidem, ut videri volebat, ratiouem, quod a notissima eius abstinentia puram ot nullius suspectam acceptiouis munerum expectandam esso iurisdictionem credoret: sed uon latebat perspicaces alia occultata profuudius istius attributionis causa. nempe imperator hominem paiam exosum, quem a popularis insultibus invidiae et quorelis increbescentibua omnium aegre tota vi sua defenderet, efficere hac rationo studebat ut plerique venerarentur et timerent, uti eum a quo supremam auctoritatem obtineute iudicaudi suas saepo pendere fortunas intelligerent. quam apem ipsum quoque apparebat Athanasium sequi, dum assiduitate constantissima usque a primo maue ad noctis crepusculum turbis seso trudentibus altorcautium compressus sacrae fastigium dignitatis ad cognitionem recularum vilium demittere pontifex snatinebat, immensa semper populi lites sequentia multitudino ad monasterium magni logariastae (ibi enim plerumquo degebat) perpetuo eam ob rem affluxu coucurreute.

11. Prius porro quam caperetur Madytua obsessa a Pharenda Tzime, Audreas Muriscua ad eius viciniam se contulerat imperatoris iussu cum navibus duabus, commoatus, si qua posset, importaturus in arcem illam alimentorum penuria laborantem. et hactenus quidem consilium successit, ut, aegre licet, tandem tamen aliquam frumenti copiam Muriscus in id castrum immitterot. qua facto cum ad Imbrum recessisset, cognito illic duas adduci Amogabaris e Sicilia naves, harum studio praeoccupandarum eo qua veniebant cursum intendit. illae autem inobservatae longius quam nostri crederent processerant. adeoque iu fretum iam evoctae prope Callipolim occurrunt improviso non advertenti et festinauti ulterius Andreae. hic forte contigit nautas alterius Murisci navium ultro ac admovero hosti non agnito, quod navem conspicati Siculam illam esse ipsam crederent qua dux ipsorum Ameralea vehebatur. haud pari errore delusi Siculi,

ὡς ἕτοιμον θήραν αὔτανδρον περισχόντες τὴν ναῦν, πάντας, δίχα τινῶν τῶν θαλάσσῃ ἀποκειλάντων, ἔργον ποιοῦσι μαχαίρας, μόνον τὸν ναύαρχον περιποιησάμενοι· ὁ γὰρ ναύαρχος θεῖος ἦν
C τοῦ Μουρίσκου. ἐκεῖνοι δὲ μόλις τῷ σώματι διαπλεύσαντες, τὸ πραχθὲν ἐπιστάντες Τενέδῳ ἀγγέλλουσι τῷ Μουρίσκῳ· πλὴν καὶ τὸν τῶν νηῶν φόρτον δηλοῦσιν, ὡς κώπας τοῖς Κατελάνοις διακομίζοιεν. ταῦτα γνοὺς Μουρίσκος, καὶ ὡς κατάσχεσιν ἐπύθετο καὶ ἑτέρας νηὸς ἣν προαπέστειλε βασιλεύς, δεινῶς ἤλυε, καὶ διενοεῖτο, ὡς ἔδειξε, τοῖς μετ' αὐτοῦ τὰ μὴ πρόσφορα. ἐπειδὴ
D γὰρ αὐτός τε καὶ οἱ ἐκ βασιλέως πεμφθέντες Ῥωμαῖοι ἐν δυσὶ καὶ μόναις ναυσὶν ἐπώκελλον, τῶν λοιπῶν ἁλωμένων, ἀπάρας σὺν αὐτοῖς ἐκεῖθεν καὶ τῇ Προικοννήσῳ προσσχών, γυμνοῖ ξύμπαντας τῶν ὅπλων Ῥωμαίους οὓς εἶχεν ἐντὸς συμμάχους, γυμνούς τε καὶ ἀνόπλους ἀφεὶς ἰέναι τε παραγγέλλει πρὸς βασιλέα καὶ δηλῶσαί οἱ τὰ γεγονότα. ταῦτ' ἐπιστάντες ἐκεῖνοι, πλὴν μόλις
E καὶ μετὰ βίας, Γεννουϊτικῶν ἑπτὰ φανεισῶν νεῶν, αἷς θαρρήσαντες καὶ αὐτοὶ συνεκπλέουσι καὶ τῷ βασιλεῖ ἀγγέλλουσιν ὡς οὐδ' αὐτὸς Μουρίσκος, εἰ μὴ νῆες ἀρκεταὶ πρὸς ἀντιπαλάμησιν ἐπισταῖεν τῶν ἐναντίων, οὐ πρόθυμος ἂν εἴη ἐς τὴν βασιλικὴν δουλείαν, τὴν πειρατικὴν περιπλάνησιν καὶ τὰ ἐκεῖθεν κέρδη περὶ

paratam strenue arripientes praedam, navi Romana sunt potiti, nostrosque illic repertos occiderunt, praeter quosdam qui iactu in mare praecipiti gladii aciem fugerunt, et navarchum sponte a victoribus servatum. hic erat Murisci patruus. illi autem quos se in aquam iniecisse diximus, solo manuum remigio aegre tandem nudis corporibus salvi Tenedum appulsi, rem illic gestam Murisco nuntiarunt, praetereaque significarunt, quid Siculae naves oneris haberent, et ut remos atque id genus arma nautica, triremibus scilicet instruendis, apportarent Catelanis. his Muriscus cognitis, simul etiam audiens aliam e missis ab imperatore navibus captam et ipsam fuisse, in gravem deiectus moerorem est, anxiumque sic animum per varia versans consilia in eo denique acquievit, quod minime conducibile, ut eventus monstravit, comitibus ipsius foret. cum enim tam ipse quam qui sub eo missi ab imperatore Romani militabant, in duas iam solas relictas, caeteris ab hoste occupatis, contrusi navea essent, cum bis solvens inde Proeconnesum appulsus spoliat armis Romanos omnes, et nullo instructos viatico dimittit, ire ad imperatorem iubens et ei narrare quae acciderant. pervenerunt hi tandem ad Augustum, aegre quidem, et diu quaesita in urbem transfretandi facultate. sed apparentibus commodum septem Genuensium navibus, exorato in eas ascensu, deportati eo denique imperatori exposuerunt quid ipsis accidisset, eique nuntiarunt nollo amplius Muriscum ipsi servire, nisi et naves ipsi darentur idoneo numero ac robore ad pugnandum cum spe verisimili victoriae contra classem hostilem mox potentissimam futuram, et eaedem sibi naves cum plena potestate permitterentur ducendi eas quocumque vellet late per maria ad excursiones piraticas, qualium a se olim actarum lucrum exper-

πλεῖστον ποιούμενος. ἀλλ' οὐκ ἀπώνατο τῶν τοιούτων δὴ βου-
λευμάτων, ἀλλ' ἐπεὶ δύο νῆας ἐξαρτυσάμενος περί που τὸν τῆς P 409
Ἑλλησπόντου πορθμόν, μαθόντες οἱ ἐναντίοι περὶ τούτου, σὺν
οἷς Φίλιππος ἀρχηγὸς ἐκείνων, ὅσον τάχος ἐπ' ἐκεῖνον ἐξήλαυ-
νον, καὶ περί που τὸν Ἀρτάκην τῶν Κυζικηνῶν ἐπίνειον κατὰ τὸ
Ἀλώνιον συμβαλόντες ἐφ' ἱκανὸν διεμάχοντο, καὶ περιεγένοντο
τοῦ Μουρίσκου, τῶν περὶ ἐκεῖνον ἀπειρηκότων. καὶ γίνεται
φόνος πολύς, αὐτοῦ μόνου Μουρίσκου περισωθέντος ἐκ παλαιᾶς B
φιλίας Φιλίππου· κἀκεῖνος γὰρ πάλαι ποτὲ ὑπὸ Μουρίσκου ἁλοὺς
κατὰ θάλατταν πειρατεύοντος ἔτυχεν εὐμενοῦς, ὥστε καὶ ὠνῆς
ἀπεμποληθῆναι μετρίας. διά τοι ταῦτα καὶ αὐτὸς ἐκείνου ὡς
ἥκιστα ἔτυχεν ἀχαρίστου, ἀλλὰ μικρῶν τριῶν χιλιάδων χρυσίου
ἀπεμπόλησε τοῦτον πρὸς Τένεδον θείῳ ἐκείνου ἐκεῖ παρόντι.
Ἀμογάβαροι δὲ ταῖς τόλμαις ἀναθαρρήσαντες οὐκ ὀλίγους τῶν C
περὶ Ἀτίνην Περσῶν συμμάχους διεπεραίωσαν, περί που χιλιά-
δας δύο. ἐπιμιξάντων καὶ Ῥωμαίων ἐξ ἀνατολῆς, ἀθροῦν γε-
γονότες πλῆθος ἐξώρμησαν. καὶ τὰς μὲν δυσχωρίας τοῦ Γάνου

tus ingens fraudari eo per causam angustae ac sterilis circum suburbana littora navalis militiae haud se in posterum pati diceret posse. cacterum non longus huic suorum consiliorum fructns constitit. nam ex quo renuntiavit, qno modo diximus, obsequiam Augusto, armatis sumptu suo duabus uavibus, in iis dum opperitur in Hellesponto transitum commodum in aequor plenum ubi more suo ac quaestn veteri piratam ageret, conspicati eas adversarii, secum habentes appulsas recens e Sicilia naves quibus Philippus quidam praeerat, cursum confestim in illas expediunt. et summa celeritate insecuti deprehendunt circum Artacen Cyzicenorum navale, ubi prope Alonium pugna committitur diu anceps, acriter Murisco resistente, qnoad buius militibus animos despondentibus Philippus superavit, et caede ac strage circum Muriscum edita uon parva cum ipsum cepit, tum ambas eius naves suis adiungens victor est reversus. nec quidquam eo tempore vitam Murisco nisi Philippl gratitudo servavit. meminerat hic enim alias se in mari captum a Murisco eodem, piraticam tunc factitante, tractatum ab ipso bumauiter fuisse brevique liberum dimissum, lytro non magno. ergo parem illi modo gratiam rependere Philippus voluit, uon multo post redimi eum apud Tenedum sinens a patruo eius illic forte reperto, tribus aureorum parvorum millibus. per hunc successum Murisci metu Amogabari soluti, fidentius iam commeantes in Asiam, Persas illio non paucos sub duce Atina merentes, certis in suas partes conditionibus attractos, freto traiecto ad sua castra deportaruut. hi caeteris adiuncti, qui iam illic erant, suis popularibus, Persarum fere duum millium numerum explebant. quibus multi quoqne mixti Orientalis olim tractus incolae Romani, nunc omnium inopes eoque qualemcumque oblatam vivendi conditionem amplectentes, copias in formidabilem multitudinem Amogabaricas auxeruut. hac usl opportunitate in rem suam duces illius gentis praeterquam saltus et iuga praerupta montis Gani validis suorum

καὶ λίαν διεφυλάττοντο, τὰ πέριξ δὲ καὶ διαδραμόντες ἀπὸ γοῦν Καλλίου μέχρι καὶ Τζουρουλοῦ, τὸ ἐντὸς ἅπαν κακῶς διετίθουν, κτείνοντες παμπληθεὶ ὡς εἰς χιλιάδας πίπτειν, ζῶα καὶ βοῦς ἀροτῆρας ζευγίτας ἀνδραποδίζοντες, καὶ ταῦτα ἐν καιρῷ ἀρότου,
D ὅτε οἱ μὲν ἐσφάττοντο, ὅσοι δὲ καὶ ἔφθασαν προσφυγόντες, ἐντὸς τῆς πόλεως παρεδύοντο. αὐτοὶ δὲ τὰ μέγιστα τῶν κακῶν εἰργασμένοι, ἐπεὶ ἀποκεκλεισμένην Ἡράκλειαν ἤκουον (ἔφθασαν γὰρ οἱ τῇδε τῷ ἀπογνῶναι τὴν ἀσφάλειαν, καὶ μᾶλλον παρὰ τῶν ἡγεμόνων ἐξοτρυνόμενοι, καταβαλεῖν μὲν ὅσον ἴσχυσαν τοῦ πολίσματος, πυρὸς δὲ τὰ πάντα θέσθαι δαπάνημα, κατὰ Σηλυβρίαν δ' ἐγκλεισθῆναι), ὡς εἶχον εὐθὺς Ῥαιδεστῷ προσβάλλουσι. καὶ ὅσον μὲν ἐκτὸς προκατέλαβον, ἀνοικτὶ κτείνουσιν ὡς κεῖσθαι
E πεσόντας ἐκ τῶν τριῶν ἐκκλησιῶν μέχρι καὶ αὐτοῦ Ῥαιδεστοῦ παμπόλλους ἀνθρώπων, τὸν δὲ πύργον πολλῶν ἐγκλεισθέντων περικαθίσαντες ἤθελον ἐξελεῖν. καὶ ἐπεὶ ἀδύνατα ἦν σφίσιν αἱρεῖν μαχομένοις, καθ' ὁμολογίας ἐπειρῶντο χειροῦσθαι. ἀλλ' οὐδ' οὕτως εἶχον· ταύτῃ τοι καὶ ἀπογνόντες ὑπέστρεφον.
P 410 12. Τότε καὶ τῆς Αὐγούστης Εἰρήνης ἐπαναζευγνυούσης ἐκ Θεσσαλονίκης καὶ σταθμοῖς βασιλικοῖς ὡσεὶ δέκα ἐξανυούσης

1. γοῦν] τῆς?

praesidiis insessa nostris invia fecerunt, etiam ex abundante turba varias conflatas manus quoquoversum emittentes, cuncta quae circa Ganum sunt usque Tzurulum saevis incursionibus vastabant, trucidantes passim obvios, ut pluribus cadaverum millibus strati post horum transitum campi apparerent, greges armentaque abducentes, ne bobus quidem arantibus parcendo, quos ab opere abstrahebant licet publice utili et ob anni tempus opportuno. hinc magna scilicet consternatio miserae plebis per cunctas illas regiones erat, cunctis qui necem evadere potuerant in orbem confugientibus, ac intra eam quoque terrore durante illic in latebras se abdentibus. porro barbari editis immanibus toto illo tractu inauditae crudelitatis exemplis, ubi se exclusos spe senserunt Heracleae, prout destinaverant, occupandae (quoniam Heracleenses desperatione securitatis, et maxime praefectis urgentibus, urbis ipsi suae quantum manu potuere postquam diruerant, reliquis igne subiecto intra Selybriam se concluserant) toto impetu Rhaedestum aggrediuntur. ac exteriora quidem omnia per circuitum eius oppidi primo incursu occupant, sine misericordia trucidantes, ita ut a tribus ecclesiis ad ipsas usque Rhaedesti portas strages ingens obtruncatorum plurium iaceret; turrim autem numeroso insessam praesidio exorsi oppugnare, utcumque summam in hoc contentionem adhibebant, frustra erant. itaque desperata expugnatione per vim apertam, pellicere obsessos ad deditionem conditionibus offerendis conabantur, nihilo feliciore incepto. quare omisso vires ipsorum excedente negotio, unde venerant, reverterunt.

12. Hac vice rerum Augusta Irene Thessalonica Constantinopolim revertente, ac iam decem circiter diebus eo itinere progressa, sed ea

τὰ τῆς ὁδοῦ, ἀγγελθὲν βασιλεῖ πέμψας ἀπήγγειλεν ὑποστρέφειν· μηδὲ γὰρ ἀνυστά οἱ πρὸς τὴν ἐπάνοδον εἶναι, τῶν κατὰ δύσιν πραγμάτων ἐκ τῆς τῶν ἐχθρῶν ἐπιθέσεως συγχεθέντων. αὐτὸς δὲ ὡς δυνατὸν ἀντιπαλαμώμενος πρὸς τοσαύτην κακίαν (ἔφθασαν γὰρ καὶ τὸ Ἑξαμίλιον, φρούριον οὕτω λεγόμενον, προκατασχόντες B οἱ Τοῦρκοι, οἷς δὴ συνῆν καὶ ὁ Ῥομοφόρτος Κατελάνος), ὁ δὲ βασιλεὺς παραπέστειλε τὸν ἐπὶ τοῦ στρατοῦ Μαρούλην, παραδοὺς δυνάμεις ὅσας ὁ καιρὸς ἐσχεδίαζε, καὶ περί που τὴν Ἄπρω περικαθῆσθαι διετάττετο. οἷς δὴ ὁ Ῥομοφόρτος ἐν ἀπορρήτοις ὡς δῆθεν πέμπων τὴν πρὸς βασιλέα ἅμ' ἰδίῳ λαῷ περί που διακοσίους ποσουμένῳ καθυπισχνεῖτο ἀπόκλισιν, πλὴν C χιλιάδων χρυσίου τόσων ἀποσταλεισῶν ἐφ' ᾧ τοὺς περὶ αὐτὸν δουλαγωγηθῆναι καὶ τοὺς Πέρσας ἁπαξάπαντας προχειρίσασθαι· καὶ εἰς πέντε χιλιάδας τὸ δοθησόμενον ἴστων. ὁ δ' ἐπὶ στρατοῦ πέμπων σὺν ἄλλοις δωρήμασι διεπυνθάνετο πῶς ἂν πάντας δια-

6. Ῥοκοφόρτος?

lentitudine qua solent reginae procedere, imperator re audita misit ei obviam qui a se magnopere monerent ut cursum reflecteret, differretque in urbem reditum tali tempore ipsi periculosum: nam ob incursiones hostiles tanta esse perturbatione confusum Occiduum tractum universum, ut nulla spes esset illac eam transire securo posse. porro ipse adversus tam vehementes insultus hostium quantum poterat opponens contentionem resistendi, postquam cognovisset Turcos in paulo ante ab ipsis occupata Examilii arco stativa habere, ubi cum iis erat Romofortus quoque Catelanus, Marulem ex magno archonte ducem exercitus creatum iussit, attributis ei quantas expedire pro tempore potuit, modicis copiis, circa locum Apro dictum castris munitis considere. ad hunc isto haerentem loco Romofortus nuntiis clam missis indicat cogitare se transfugium ad imperatorem cum iis quos ex sua gente secum haberet peculiariter obnoxios: nam de Turcis, quibus precario praeesset, spondere nihil posse. erant autem quos certo confideret se adducturum, circiter ducenti. sed antequam accederet, cupere se nobili et rei Romanae in primis utili facinore specimen et quasi pignus fidei ac virtutis suae Augusto dare, Persis omnibus, qui contra Romanos in Occidua continente militarent, funditus delendis. verum ad hoc egere aliquot millibus nummorum, ut ea pecunia perpelleret Turcos sibi quadamtenus parentes ad pugnandum in Persas socios, quod iis ostenso praemio facile persuadendum confidebat, licet a rursus obliganda imperatori fido adeo videret abhorrentes, ut eo illos umquam assensuros plane desperaret. accepit credulo propositionem Marules, et quo magis inclinaret sic iam affectum Romoforti animum, munera ipsi per submissos ad ulterius tractandum non parva obtulit. his distinctius inquirentibus de summa quam posceret, ille respondebat haud minorem esse debere quinque aureorum millibus, pretio non magno, si cum promissi operae pretii utilitate ingenti compararetur. facile in hoc conveniebat Marules; sed prius percontabatur qua demum ratione rem quam pollicebatur oppido difficilem perfecturum se confideret. ad ea ille

χειρίσαιτο· ὁ δ' ἔφασκέ οἱ τοὺς ἡμίσεας ἔξω που στεῖλαι, καὶ
τοὺς ἐναπολειφθέντας ἐρήμην ἀποκτειννύναι, κἀκείνους ἐκ δια-
D δοχῆς. ὁ δὲ δεῖγμα τοῦ τοιούτου ἀπῄτει πρὸς πίστωσιν. καὶ
δέχεται δὴ κεφαλὰς ἀνδρῶν ἀποσταλείσας παρ' ἐκείνου ὡς δῆθεν
Περσῶν. καὶ ἠπάτησεν ἄν, εἰ μή τις γυνὴ μίαν τῶν κεφαλῶν
P 411 ἀριδήλως ἐγνώρισεν τοῦ ἰδίου ἀνδρός, ἐξ ἧς τὰς λοιπὰς Ῥωμαίων
εἶναι κατὰ τὸ εἰκὸς ὑποτοπήσαντες πείρας ἐκείνης ἀπέσχοντο.

A 13. Ὁ μέντοι γε βασιλεὺς λιμῷ καὶ πολιορκίᾳ καὶ τὰ
κατ' ἀνατολὴν φρούρια ταλαιπωρεῖσθαι πυνθανόμενος, τὸν μὲν
λιμὸν ἐκ τῶν κατὰ πόλιν μεγίστων μονῶν τὸ περιττὸν τῶν σίτων
ἐκλέγων, στέλλων τοὺς διακομίσοντας κατὰ θάλασσαν, ὡς ἦν
θεραπεύειν ἠπείγετο, τὴν δὲ τῶν Τούρκων καταδρομήν, τὰ αὐτὰ
τῷ Κάνι τῶν Τοχάρων Χαρμπαντᾷ ἃ δὴ καὶ τῷ Καζάνῃ δια-
πρεσβευόμενος, ἠξίου κατὰ συμμαχίαν πέμποντα στρατὸν ἀνα-
B στέλλειν. μικρὸν δσον, καὶ πρέσβεις ἐκεῖθεν ἀφίκοντο, καὶ
ἀγγελίαι ὡς περὶ μ' χιλιάδας ἀνδρῶν μαχίμων ἤδη καθητοιμά-
σθησαν, ὧν τὰς κ' φθάσας ὁ τοῦ Χαρμπαντᾶ αὐτανέψιος ἄγει

persuasurum se aiebat parti dimidiae Persarum ut alio abirent, praeda quam illic diriperent ostensa, cuius eos sciret avidissimos: iis sic digressis in residuos cum suis cunctis una iunctis Latinis et Turcis improviso ruiturum, interfecturumque haud dubie universos; tum in alios illos similiter moturum, parique exitio paucos nec opinantes affecturum. his ultro addebat sese, si Marules vellet, in arrham promissae operae iam nunc missurum aliquot capita Persarum clam a se occisorum. ad quod huic assentienti paulo post adfuerunt a Romoforto capita recens secta quorundam hominum, quos ipsi fuisse Persas affirmarent, afferentes; qua specie inductus in fraudem esset minus cautus dux noster, pecuniaeque iacturam damno insuper maiori mox ab insidiis perfidorum, transfugii obtentu cladem nobis novam molientium, cumulasset, nisi forte reperta illic Romana mulier unum e capitibus allatis sui viri a Catelanis nuper capti certissimo sibi agnitum, eiulatibus cuncta miscens, esse deieraret; unde suspicione orta reliqua quoque capita Romanorum esse malaque fide Romofortum agere, damnosus cum deprehenso iam proditore tractatus abruptus est.

13. At imperator fame et obsidione arces per Orientalem tractum laborare audiens, fami quidem succurrere conatus est frumento supra usum abundante necessarium e maximis quibusque urbis Monasteriis corrogato, ministrisque tradito idoneis, qui illud mari quo erat opus deferrent. Turcorum vero incursionem coërcere studuit missis legatis ad novum Cauin Tocharorum Charmpantanem, qui eadem a se illum rogarent quae iam impetrasset ab ipsius decessore Cazane, nempe ut sibi subditos populos ac satrapas vetaret terras imperatoris Romanorum sibi amici ac foederati hostiliter infestare. ac retulerant paulo ante reduces legati pronum se ad annuendum postulatis reperisse Charmpantanem. iamque is adeo audiebatur in eam rem exercitum conscripsisse non minorem quadraginta millibus exercitatorum bello militum; quorum viginti millia eiusdem Charm-

περί που τὸ Ἰκόνιον· μεθέπεσθαι δὲ καὶ τὰς λοιπὰς οἱ πρέσβεις διεβεβαίουν, εἶναι δὲ μὴ πλέον σφίσι τοῦ μαθεῖν τὴν τοῦ βασιλέως θέλησιν, ὅπου καὶ ἐπὶ τίνας προσβάλλοιεν ἀμυνόμενοι τοὺς ἀλάστορας. καὶ ὁ μὲν κρατῶν ἐν τούτοις ἦν, καὶ δῶρα καὶ C πρέσβεις πρὸς ἐκείνους ἐξητοιμάζετο· ἀγγέλλεται δὲ καὶ φήμη προστρόπαιος, ὡς κατείληπται Ἔφεσος παρὰ τοῦ Περσάρχου Σασᾶν, ὃς γαμβρὸς ἅμα καὶ θεράπων τοῦ Καρμανοῦ Μανταχίου ὢν ἐκείνου μὲν ἐκ πολλοῦ ἀπεστάτησε, καθ' ἑαυτὸν δὲ δυνάμεις ἄγων ὑπὲρ ἐκεῖνον ἐκρατυνοῦτο. καὶ δὴ προεάλω μὲν παρ' αὐτοῦ τὸ ἐκεῖσε τῶν Θυραίων φρούριον, λιμῷ πολυημέρῳ P 412 τοὺς ἐκεῖ παραστησαμένου· ἐπεὶ δ' αὖθις ταύτης χάριν τῆς αἰτίας ἐξ ὁμολογίας τοῦ μή τι τῶν ἀνηκέστων τοὺς ἀνθρώπους παθεῖν συγκατείληπται καὶ ἡ Ἔφεσος, σκεύη μὲν ἐκεῖνα τὰ τῷ ναῷ ἀφιερωμένα τοῦ ἠγαπημένου τῷ Χριστῷ καὶ παρθένου, χρημάτων τε ἄπιστον πλῆθος διεφορεῖτο, μετῳκίζοντο δὲ καὶ οἱ πλείους B τῶν πολιτῶν ἐπὶ τὸ τῶν Θυραίων φρούριον, δέει τοῦ μή τι παθεῖν ἐκ δόλου τοὺς Περσάρχας ἄχαρι ἐπιθεμένων ἐκείνων, ἢν καιρὸς διδοίη. ἄλλους δὲ πλείστους ἔργον μαχαίρας ἐποίουν ἀνοικτὶ σφάττοντες.

14. Ταῦτ' ἀγγελλόμενα, καὶ πρὸς αὐτοῖς ἕτερ' ἄττα C δεινὰ καθ' ἡμέραν, δεινῶς ἀλύειν ἐποίουν τὸν βασιλέα. οὐ μὴν

pantauis fratris filius ducere nuntiabatur, pervenisseque iam circum Iconinm. reliquos mox secuturos legati affirmabant. esse porro his mandatum ex imperatoris nutu pendere, quidquid ille significasset exequendo, veniendo quo vocasset, in eos movendo quos indicasset e satrapis suo imperio infestis. dum haec imperator audiens et legatos et munera quae in occursum tam opportunis auxiliaribus destinet exquirit, turbat ecce gratulationem eius fama sane feralis, nuntians captam Ephesum a Persarcha Sasane, qui gener simul et servus Carmani Mantachiae cum esset, ab illo quidem iampridem defecerat, propriis autem auspiciis copias ductans adeo se opibus firmaverat, ut frustra iam, si tentaret antiquus herus, retrahere fugitivum conaretur. atque ab hoc iam antea coacta ad deditionem longa fame fuerat arx illic sita Thyraeorum. postquam autem pari famis necessitate subigente dedita eidem Ephesus quoque est, sub conventionibus tamen prius stipulatis nihil saevum in deditos statuendi, vasa illa pretiosissima in templo dilecti Christo et virginis discipuli consecrata, cum opum illic conditarum infinito numero, inde asportabantur. translati etiam a victoribus sunt in Thyraeorum arcem plerique civium, metu ne ab iis captato forte postmodum tempore in novos dominos dolo insurrecturis Persarchae improviso circumventi molesti aliquid paterentur. alios plurimos gladio Persae interemerunt immisericorditer mactantes.

14. Hi tam tristes nuntii cum aliis aliunde quotidie nihilo laetioribus perlatis gravi quidem moerore imperatorem affligebant, non tamen deii-

δ' ἐς τέλος κατέπιπτεν, ἀλλὰ καὶ αὐτός, ὅσον εἶχεν, οὐκ ἔλη-
γεν ἀντιπαλαμώμενος, καὶ τέως τὸ ἐγκόλπιον κακὸν ὑπὲρ τἄλλα
ἔθελεν ἀνασπᾶν. τὸ δ' ἦν Ἀμογάβαροί τε καὶ οἱ σὺν αὐτοῖς
Πέρσαι, οἷς δὴ καὶ οἱ ἄνω ῥηθέντες ὑπὲρ τοὺς χιλίους ὄντες
D Τουρκόπουλοι προσεχώρησαν. ἐπειδὴ γὰρ συνάμα Ἀλανοῖς ἀφει-
στήκεσαν, ἐκεῖνοι μὲν κατ' αὐτοὺς ἦσαν, καὶ δόξαν ἐκ πολλῶν
ἐδίδουν, εἰ μὴ ἱκανῶς πρὸς βασιλέως μισθοῖντο, ἀποχωρεῖν
πρὸς Ὀσφεντίσθλαβον. ταῦτα γὰρ Κουτζίμπαξις ἐπανήκων
πρὸς βασιλέα διεβεβαίου· πρῶτος δὲ τῶν ἱερομάγων τοὔνομα
τοῦτο ἐξελληνίζεται. οἱ δὲ Ἀλανοὶ μαθόντες ὡς Τουρκόπουλοι
ἀπέκλινον πρὸς Καλλιούπολιν ἅμα γυναιξὶ καὶ παισίν, αἴφνης
E ἐπεισπεσόντες κατὰ τὴν πρὸς βασιλέα δῆθεν χάριν, γυναῖκας ἐκ
πολλῶν ὀλίγας καὶ παῖδας περισχόντες πρὸς τὸν κρατοῦντα ἀπέ-
στελλον. ταύτῃ τοι καὶ τῶν ἐχθρῶν κρατυνομένων, ὡς καὶ ἐξε-
λαύνειν καὶ κατατρέχειν τὰ λοιπὰ τῆς Θρᾴκης ἠγγέλθαι, οἱ μὲν
τοῖς προαστείοις ἐγκατῳκημένοι τῆς πόλεως ἀπαίροντες πρὸς τὴν
πόλιν ἐσκευαγώγουν, βασιλεὺς δὲ καὶ πολλοῖς ἄλλοις ἐπιχειρῶν
P 413 ἐφ' ᾧ τοὺς ἐχθροὺς ἐπίσχοι, καὶ πρὸς Γέννουαν πέμπει πρεσβείαν,
ἀξιῶν ἐκεῖθεν ἀναχθῆναι στόλον νηῶν κατ' ἐντελεῖς τοὺς μισθούς,
καὶ ἅμα ἦρι πρὸς τάδε ἀφῖχθαι.

ciebant eius animum, qui perstabat erectus pertinaci spe, nec cessabat intendere conatus ad mala undique ingruentia quam posset efficacissime repellenda. et princeps quidem eius cura laborabat in excutienda sibi e sinu intestina peste urbi minantis e proximo tumultus, coniuratis simul Amogabaris cum Persis, ad quos memorati prius Turcopuli numero supra mille se aggregaverant. postquam enim hi Alanos imitati se ab aliis abiunxerant, perstiterunt sic aliquandiu in suo ipsorum arbitrio, nemini alteri obtemperantes, quando multorum opinio non inverisimilis, ut res apparebant, fuit eos, nisi ab imperatore praeoccuparentur promissione stipendiorum quanta ipsi peterent, ad Ospheutisthlabum accessuros. id enim fore, revertens ad imperatorem affirmaverat Cutzimpaxis; quod nomen si Graece interpreteris, primum hieromagorum sonat. verum Alani certiores facti Turcopulos Calliopolim versus iter intendere ductis una secum uxoribus et liberis, in eos improviso irruentes, quasi ut gratificarentur imperatori, paucas e multis mulieres et pueros sic captos ad Augustum miserunt. caeterum adiunctione Turcopulorum Catelani adeo tunc roborati sunt, ut confestim inde nuntiarentur incursando agere ferreque quidquid in Thracia reliquum erat. qua perculsi fama incolae iam ipsi suburbiorum Constantinopolis, ne illam quidem securam rati stationem, convasantes palam intra urbem se condebant. at imperator multa iam frustra expertus alia ad hos tam importunos hostes coërcendos, appulit denique animum ad consilium mittendi legatos Genuam, qui suo nomine rogarent mitti suppetias inde ad se armatam classem, mercede a se ampla et recte solvenda suis auspiciis militaturam, quam ita tempestive vela facere orabat ut veris huc initio posset occurrere.

15. Ἐν τοσούτῳ δὲ καί τις τῶν διαπεραιωθέντων Περ- B σῶν, Ἰσαὰκ Μελήκ, σατράπης ὢν καὶ πολλοὺς ἄγων, πέμπων πρὸς βασιλέα κρυφηδὸν παρὰ πᾶσαν τῶν Κατελάνων αἴσθησιν ἠξίου περὶ σπονδῶν, ὡς αὐτόθεν ἀποστατήσων Ἀμογαβάρων, καὶ ὅσα τοῖς τοῦ βασιλέως συνοίσει πράγμασι κατὰ τὸ δυνατόν, ὡς ἔχει, διαπραξόμενος, ἢ γοῦν αὐτόθι μένων, εἰ δυνατὸν ἦν, ἢ καὶ ἐπὶ τοῖς ἀντιπέραν σὺν ἰδίῳ λαῷ γενόμενος. βασιλεὺς δὲ C τῶν δεινῶν ὁσημέραι πληθυνομένων καὶ μὴ ἐώντων ἄλλο τι βουλεύεσθαι ἢ τὸ χείρω ποιεῖν τὰ τῶν ἐχθρῶν κατά τινα σύνεσιν (ἄλλως γὰρ ἀντιπράττειν καὶ πολεμεῖν οὐδ' ὅλως ἦν) ἀσμένως προσίετο τὴν πρεσβείαν, καὶ ἀντιπέμψας διά τινος Πέρσου, μὴ φωραθείη δῆθεν τὸ μελετώμενον, δοῦναι μὲν εἰς γυναῖκα τὸ τοῦ παλαιοῦ ἐκείνου Μελὴκ θυγάτριον τῷ Περσάρχῃ καθυπισχνεῖτο, παρέχειν δὲ ὅσα τε κατὰ προῖκα καὶ ὅσα κατ' ἄλλην φιλοτιμίαν D τὰ ἱκανά. ἀλλὰ τούτων ὁσημέραι διαγγελλομένων, καθ' ὑποσχέσεις τοῦ καὶ αὖθις προσχωρεῖν τοὺς ἀποστατήσαντας Τουρκοπούλους αὐτοῦ γε συμπράττοντος, εἰ μόνον πέμποιντο αἱ τούτων γυναῖκες, πλὴν μετ' ἀσφαλείας τοῦ μήτι παραβῆναι κατ' ἀπάτην τῶν συγκειμένων, ὡς γοῦν ταῦτ' ᾠκονόμηντο καὶ ἤδη ἐπέμποντο, φωρᾶται τοῖς Ἀμογαβάροις τὸ δρᾶμα, καὶ Ῥομοφόρτος E τὸν Περσάρχην εἰς κρίσιν ἄγει, καὶ ὅσοι συνεμελέτων αὐτῷ τὰ

6. διαπραξάμενος P. 16. ἀποστήσαντας P.

15. Inter haec quidam e Persis qui in tractum Occiduum traiecerant, Isaacius Melecus, eius gentis satrapa et multos sub se babens, misit clam ad imperatorem, sine ullo Catelanorum sensu, qui rogarent ut se ipsi conciliari cupientem et foedus cum eo iuire admitteret. offerebat autem se statim relicturum Amogabarorum partes, et quidquid ad res et rationes imperatoris expedire intelligeret, pro virili acturum, sive illic ubi erat, si fieri posset, persistendo, sive iu adversam cum suis copiis transfretando continentem. his imperator auditis, reputans malis quotidie ingravescentibus non aliam aliunde spem remedii ostendi, quando exhaustae opes imperii facultatem negabant iusti exercitus rebellibus opponendi, quam a procuranda, si qua posset arte confici, debilitatione atque imminutione potentiae hostilis, perlibenter excepit legationem, et remisso ad Melecum Persa quodam fido, ut res tutius lateret, promisit se illi daturum in uxorem antiquioris illius Meleci filiam, adiecturumque dotem amplam, nec in caeteris, quoties foret opus aut ipse cuperet, suam munificentiam requisiturum. et procedebat feliciter tractatio missis ultro citroque quotidie commeantibus; quorum quidam a Meleco nuntiavit ipsi videri posse Turcopulos a societate Catelanorum abscindi et dato idoneo fidei pignore Romanis conciliari, si suae ipsis mulieres, quas captas ab Alanis imperatori deditas dictum est, ab hoc illis redderentur. his facile annuente Augusto et mulieribus iam missis, deprehenditur ab Amogabaris arcana molitio. quare Romofortus ad iudicium Persarcham citat,

τῆς ἀποστατήσεως. τοῖς δὲ μὴ ἔχουσιν ὅλως ἀπολογεῖσθαι, ἓν
εἰς ἀπολογίαν προυτείνετο, τὸ ἀπατᾶν ὑπὲρ τοῦ λαβεῖν θέλειν
τὰς συζύγους τοὺς Τουρκοπούλους. πλὴν ὑπονοηθέντες ἐντεῦ-
θεν τὰς εἰς αὐτοὺς πληροφορίας τῶν Ἀμογαβάρων ἀπέλυον.
ὅθεν καὶ ἐξ αὐτῆς ἀντιπερᾶν ἐγνώκεσαν τὸν Περσάρχην. αὐτοὶ
P 414 δὲ κατὰ νώτου λιπόντες τοὺς Πέρσας, περί που τὰ τῆς Μαδύ-
του μέρη, ἔνθεν μὲν ταῖς παρ' αὐτοῖς τριήρεσι χρώμενοι τὸ προσ-
τυχὸν ἐλῄζοντο τρόπον πειρατῶν κατὰ θάλασσαν, κατὰ δὲ ξη-
ρὰν ἔθεον παμπληθεί, καὶ προσδόκιμοι ἦσαν προσβαλεῖν καὶ πό-
λει· προσετόλμων δὲ καὶ πρὸς βασιλέα πρεσβείαν πέμπειν, καὶ
ἀξιοῦν διδόναι μὲν τοὺς μισθούς, συνωνεῖσθαι δὲ καὶ τὰ σκυλευ-
θέντα, καὶ οὕτω μετ' εἰρήνης ἐπὶ νηῶν πέμπειν αὐτοὺς εἰς τὰ
ἴδια. ἐπεὶ δὲ ταῦτ' οὐκ ἐχώρουν γίνεσθαι, ἄπρακτα τὰ τῇδ'
B ἦσαν, μόναις δὲ ταῖς πρὸς θεὸν ἱκετείαις ἤλπιζον σώζεσθαι, ἃς
συχνὰς ὁ πατριαρχεύων παμπληθεὶ διεπράττετο. τέως δὲ καὶ
τὸ τοῦ Κοσμιδίου φρούριον, δεδιότων μὴ ἐπιστάντες κατάσχοιν-
το, ἐκ μέρους κατήρειπτο, καὶ ξενικὰς δυνάμεις ἔκ τ' Ἰβηρίας
(κἀκεῖ γὰρ ἀποστέλλων βασιλεὺς περὶ συμμαχίας ἠξίου) ἔκ τε
Γεννούας ἀπεξεδέχετο. οὐδὲ γὰρ οὐδὲ τὰ ἐντὸς ἐσάπαξ ἀσφα-
λῶς εἶχον τῷ βασιλεῖ, ἀλλ' ἔνθεν μέν τις τῶν ἐπιρρήτων ἐκ δύ-

eosque omnes quos defectionis cum eo cogitatae suspicio contingebat. his causam difficilem, exitu sane ancipiti, dicentibus cum non occurreret quid aliud verisimiliter allegarent, in eo consenserunt ut affirmarent non vere deficere se voluisse, sed ostentanda falso eius rei voluntate ab imperatore retrahere uxores Turcopulorum. fidem invenit apud Amogabaros plausibilis excusatio. atque ita magno defuncti periculo coniurati, Persarchae Meleco persuaserunt velocem in Asiam traiectum, quem is clam administrare eo commodius potuit, quod quasi soluti iam cura Catelani, Persis a tergo relictis circa partes Madyti, hinc quidem triremibus conscensis mare latrocinantes infestabant, inde autem terrestribus copiis late praedabundi regiones incursabant, ipsi quoque urbi formidati, anxia eorum expectatione sollicitae, quando et ausi sunt nova imperatorem legatione superbe lacessere, qua petebant solvi sibi plane stipendia retro debita, tum quae rapta in manibus haberent, alia ipsorum arbitratu taxanda pecunia redimi; iis peractis praeberi sibi ab imperatore naves, et sic cum pace in patriam remitti. ni haec fierent, internecinum ad extremum denuntiabant bellum. haec cum admitti nullo modo possent, palam erat cunctis spem conventionis nullam superesse. quare in sola fiducia divini auxilii precibus exorandi salutis publicae facultas et ratio pendebat, haud segni ad id officium patriarcha, qui maximis crebro conventibus solitas suas litanias iterabat. interim autem periti rerum bellicarum, ut defendi satis posset arx Cosmidii verentes, deseri et ex parte subverti suasere. imperator autem copias auxiliares ex Iberia et ab urbe Genua, unde poposcerat, expectabat eo cupidius, quo ne interiora quidem urbis

σεως, ἱερωσύνης περικτᾶσθαι δόξας ἀξίωμα καὶ πρὸ χρόνων προσχωρήσας ἐκεῖθεν τῷ βασιλεῖ, ὁ τοιοῦτος Δριμὺς τοὐπίκλην, C ὄνομα θεὶς ἑαυτῷ ὡς δῆθεν ἐκ τοῦ γένους τοῦ Λάσκαρι καταγόμενος, ὑπήρχετο τοὺς πολλοὺς καὶ τὴν ἐκ βασιλέως ἀποστασίαν οἰκονομῶν οὐκ ἀπώκνει, ἔπεμπε δὲ λόγους καὶ γράμματα καὶ πρὸς αὐτοὺς Ἀμογαβάρους, τὴν κατὰ βασιλέως μάχην σφίσι δολερῶς ὑπανάπτων· ἐκεῖθεν δὲ ὁ εἰς ἀξίαν τοῦ δομεστίκου προχειρισθεὶς τῶν σχολῶν (ὁ Κατελάνος δ' οὗτος ἦν καὶ πρώην ἀμηραλῆς) συνάμα τῷ ἐκ δύσεως Μυζάκῃ, ὃν ἐπὶ στρατοῦ εἶχεν ὁ ἄναξ, πολλά τινα κατὰ Ῥωμαίων ξυνέρραπτον, πρὸς Ἀμογα- D βάρους πέμποντες καὶ τὴν μάχην ὡς μάλιστα ἐξοτρύνοντες. ταύτῃ τοι κἀκείνους φωραθέντας ποινή τις ἀξία λαμβάνει τετυχηκότας δικαστηρίου κεκλεῖσθαι ταῖς φυλακαῖς. δέξαντας δέ τι κἂν μέρει τοὺς σχιζομένους μετέχειν ἐκείνῳ τῶν βουλευμάτων ἅμα πάντας, πλὴν τῶν μὴ δυναμένων κινεῖσθαι, μὴ μόνον τοὺς τοῦ Μωσελὲ μονῆς ἀλλὰ καὶ τῆς πόλεως ξυνέπιπτε μετοικίζεσθαι, καὶ ταῦτα καιρῷ χειμῶνος καὶ κρύους.

16. Ἡμῖν δὲ οὐδὲ τὸ κατὰ τὸν πάπαν Ἀλεξανδρείας σι- P 415 γητέον. ἔτυχε μὲν οὗτος συνάμα τοῖς περὶ αὐτὸν κατὰ τὴν Εὔβοιαν, ὡς ἀνωτέρω μοι εἴρηται, παρά τινι τῶν δημοτικῶν μι-

sat sibi tuta sentiebat propter subodoratas quorumdam machinationes proditorum. nimirum quidam cognomento Drimys, qui olim famae parum bonae dudum ex Occiduo tractu ad imperatorem accesserat, sacerdotii dignitatem se adepturum ratus, nomen in urbe sibi fecerat, iactans sese ortum e stirpe Lascaris, et multorum studiis sic sibi conciliatis haud cessabat quoad posset cunctos ad rebellandum adversus imperatorem concitare. missis quin etiam ad Amogabaros et nuntiis et literis, eos fraudulentis promissis incitabat ad urgeudum quod coepissent bellum et summa vi Augustum oppugnandum. aliunde vero in dignitatem domestici scholarum promotus Catelanus, memoratus pridem uobis Ameralis nomine, coniunctis consiliis cum quodam ex Occiduo tractu Myzace, quem alias imperator ducem exercitus habuerat, multa malitiose contra Romanos miscebaut, Amogabaros et ipsi ad quam maxime iis nocendum adhortantes. deprehensa tandem clare utraque coniuratio est, auctoresque iudicio convicti poenae carceris perpetui subiecti sunt. ac cum inter has ventilandas causas quaedam indicia manassent suspicionem moventia adversus schismate discissos quasi et ipsi Drimy aut Myzaci adhaesissent, quotquot eius factionis non modo in monasterio Moseis dicto, sed et alibi uspiam intra urbem erant, iis exceptis qui per aetatem aut morbum moveri nequiverunt, abire alio coacti sunt, idque perincommodo tempore hiemis et gelu.

16. Nobia vero ue res quidem Alexandrini papae reticendae hic sunt. erat ille cum suis, ut est a me dictum superius, Euboeae, conducto illic

σθοῦ ξεναγούμενος· ἐπεὶ δὲ καιρὸς διῆλθε καὶ οὐδὲν ὅλως συνέμιξε τοῖς ἐκεῖ, εἰς ὑποψίαν καθίσταται, καὶ μᾶλλον φρερίοις ἐκ ζηλοτυπίας διὰ τὸ σέβας, οἳ καὶ ἐπιστάντες, ὅμα καί τινες τῶν B δυναστευόντων, τὴν ἐνδημίαν ἀνέκρινον. ὡς δὲ πλέον οὐκ εἶχον μανθάνειν ἢ τὴν ἐκ παρόδου καταγωγὴν καὶ τὴν εἰς εὔκαιρον γενησομένην αὖθις ἐκεῖθεν ὀναγωγήν, τέως περὶ τῆς δόξης ἀνέκρινον, καὶ ὅπως ἔχοι πρὸς τὴν αὐτῶν ἐκκλησίαν, καὶ οἷς εἰς ἁγιασμὸν χρῶνται ἀζύμοις, μετὰ πολλῆς ἠρώτων τῆς ἐπιθέσεως. ὡς δ' οὐκ ἦν αὐτὸν περὶ τούτων ἀποφαίνεσθαι, ἐκεῖνοι δίκαιον εἶναι καὶ πρέπον πατριάρχην γε ὄντα λέγειν αὐτὸν τὰ τῆς γνώμης C σφοδρῶς κατήπειγον· εἰ δ' οὖν, ταῖς οὐ καλαῖς ὑποψίαις δοκεῖν ἐνέχεσθαι. τοῦτο ἐφ' ἡμέραις ποιοῦντες, ἐπεὶ οὐδὲν ἤνυτον, τέλος θάτερον δυοῖν ποιεῖν ἐδικαίουν, ἢ λαμβάνειν τὴν ἐξ ἐκείνου περὶ αὐτῶν ὁμολογίαν, καθὼς ἦν βουλητὸν σφίσιν, ἢ κατακαίειν αὐτόν τε καὶ τοὺς ἀμφ' αὐτὸν ὡς περὶ τὴν ἐκκλησίαν αὐτῶν ἁμαρτάνοντας. ὥριστο τοίνυν ἡμέρα, καὶ λαὸς ἤθροιστο, D καὶ λιπαρῶς ἀνέκρινον πάλιν. ὁ δ' οὐδὲν παρὰ τὰ πρότερα ἔλεγεν· εἶναι γὰρ ὁδίτην, καὶ μὴ ἀνάγκην ἔχειν μή τινος συνεστώσης συνόδου λέγειν. καὶ ἐπεχείρουν κατακαίειν. κἂν καὶ εἰς ἔργον

7. τὴν deerat.

κατέχεσθαι, καὶ ἡ βουλὴ συνεφώνει, ἐπανέζευξε μὲν αὐτίκα καὶ αὖθις ὁ προσχωρήσας, οὐ μὴν δὲ καὶ βασιλικῆς ἀπήλαυσε βοηθείας ὥστε περιγενέσθαι τοῦ ἀδελφοῦ. ὡς δὲ καὶ αὖθις ἐκεῖνος ἐνεργέστερον ἐπολέμει καὶ οὐκ ἦν παραμένειν τὸν ὑστεροῦντα, ἐπεὶ καὶ ἐκποδὼν ἤκουε τὸν Λάσκαριν γεγενῆσθαι καὶ ἐπὶ τῶν ὅλων καταστῆναι τὸν Παλαιολόγον, ἐγγύγγυον ἔχων ἐκεῖνος τὴν C πρὸς τὸν βασιλεύσαντα συνήθειαν προσχωρεῖ καὶ αὖθις ἐκείνῳ τευξόμενος συμμαχίας. ἀλλὰ πολὺ τῶν ἐλπίδων ἐψεύσθη· ὁ γὰρ βασιλεὺς τοῦ πρὸς Τοχάρους κήδους δεύτερα πάντα τὰ τοῦ σουλτὰν τιθέμενος, τὸν μὲν Τοχάρων ἄρχοντα Χαλαοῦ, τὸ ἐκ σπερμάτων σκοτίων θυγάτριον τὴν Μαρίαν πέμπων, κηδεύει, εἰ καὶ τούτου ἐν τοσούτῳ ἐξ ἀνθρώπου γεγονότος ὁ Ἀπαγάς, ἀδελφὸς ὢν ἐκείνου ἐπὶ τῆς ἀρχῆς τεταγμένος, τὴν Μαρίαν ἠγάγετο. τὸ δὲ σουλτὰν κατὰ πόλιν ἔχων ἤδη Ῥωμαίοις ἁλωμένην D περιεβουκόλει ἀλλαχόθεν αὐτῷ τὰς ἐλπίδας. ὁ δὲ μὴ ἀγνοῶν τὰ βουλεύματα, καιροῦ δραξάμενος, ὡς ἐλέγομεν ἐν τοῖς προτέροις, Αἴνοθεν φεύγει, καὶ ξὺν Τοχάροις τοῖς κατὰ δύσιν, ἅμα δὲ καὶ τῷ τῶν Βουλγάρων ἄρχοντι Κωνσταντίνῳ, τὴν φυγαδείαν διατίθεται ἀνὰ τὰ τοῦ Εὐξείνου βόρεια. πολλοῖς δὲ χρόνοις ὕστερον, ἐκποδὼν γεγονότος ἐκείνου, ὁ ἐξ ἐκείνου Μελὴκ τὸν Εὔξεινον διαπεραιωθεὶς πρὸς Κασταμόνα γίνεται. καὶ ἤδη Τοχάροις E

nac tamen continuo discedentem a se prosequi auxiliis validis destitit; quorum ope, caeteris suis praesidiis adiunctis, fuit deinde cum fratri praevaleret Azatines, et extortum ipsi paternum denuo possideret imperium. verum eo iterum ferocius etiam quam olim apparatiusque rebellante, cum stare in recuperato solio nequiret viribus haud dubie Azatinea inferior, audiens in Lascari defuncto praesidere suprema potestate Romanis rebus Palaeologum, fretus quadam contracta sibi cum eo quondam adhuc privato necessitudine familiaris amicitiae, ad novum imperatorem convolat, quin esset ab eo impetraturus auxilia non dubitans. quamquam sua illum in hoc quidem large fiducia fefellit. nam imperator Palaeologus Michaël, foedus cum Tocharis longe Sultanis amicitiae praeoptans, spes huius et vota posteriora cuncta suae isti destinationi habuit, quam eo promovit usque ut filiam suam notham Mariam principi Tocharorum Chalaü connubio sociandam miserit; quo inter apparatum nuptiarum fato functo, frater ipsius idemque in principatu successor Apagas Mariam uxorem duxit. Sultanem porro Michaël in urbe iam e Latinis recepta honorifice secum habens variis sed vanis astute lactabat spebus; qui eius artes quo spectarent non ignorans, arrepto, ut in libris prioribus memoravimus, tempore ex Aeno arce fugit, et deducentibus Tocharis, tum in Occiduo militantibus tractu, simulque Constantino principe Bulgarorum, tutum nactus est receptum in partibus borealibus Euxini. multis vero post annis, isto Azatine mortuo, filius eius Melec Euxino traiecto Castamone constitit, ubi reconciliatis sibi obsequio Tocharis favore horum

ὑποκλιθεὶς τὴν πατρικὴν αὐτοῦ καὶ παππῴαν λῆξιν ἐπανασώσασθαί οἱ διεπειρᾶτο. ἀλλ' Ἀμούριος ἐμποδὼν ἐγίνετο, καὶ μαχόμενος οὐκ ἀνίει, μέχρις οὗ κατισχυθεὶς ἅμα γυναικὶ ὁ τοιοῦτος παραγεγονὼς πρὸς τὴν κατὰ Πόντον Ἡράκλειαν βασιλεῖ προσχωρεῖν ἔγνω. καὶ παραγεγονὼς κατὰ πόλιν, ὅπως τοὐντεῦθεν ἐκδημοῦντος τοῦ βασιλέως τότε πρὸς Νύμφαιον, αὐτὸς ἀφεὶς τὴν
P 427 σύζυγον κατὰ πόλιν, ὑφ' ὁδηγοῖς τοῖς τοῦ βασιλέως τὴν πρὸς ἐκεῖνον διήρχετο φέρουσαν, καὶ ὅπως ἐξ Ἀτραμυτίου λαβὼν τὰς βουλὰς ἀπέδρα, καὶ ὅπως τὰ καθ' αὐτὸν διῴκησεν, ἐρρέθη τὰ πρότερα. ὕστερον δὲ καὶ ἡ σύζυγος ὑποστρέφει, ἐκείνου μὲν ἀξιοῦντος, βασιλέως δ' ἐφιέντος. τὸ δὲ κόριον ὡς ὅμηρον καταλείπεται. ἤδη μὲν οὖν τὸ τοιοῦτον ἐτέθραπτο κατὰ πόλιν ἐπὶ συχνοῖς τοῖς χρόνοις ὑπὸ βασιλικῷ σιτηρεσίῳ, καθὼς ἄρα καὶ ὁ
B Μελὴκ Κωνσταντῖνος, τῶν τοῦ σουλτάνου υἱῶν ἅτερος, καὶ αὐτὸς παρὰ Ῥωμαίοις ἐγκαταλέλειπτο, ὃς δὴ καὶ βαπτισθεὶς ἐκθύμως προσετετήκει τοῖς Ῥωμαϊκοῖς ἤθεσιν. αὐτὸ δὲ τὸ τοῦ Μελὴκ ἐκείνου θυγάτριον μαθὼν Ἰσαάκ, Μελὴκ φημιζόμενος καὶ αὐτός, πρὸς γάμον καὶ αὖθις ᾔτει. ἐζήτει δὲ καὶ τὸν θεῖον ταύτης Μελὴκ προβληθῆναι πρὸς βασιλέως σουλτάν, κἀκεῖσε καὶ αὐτὸν πεμφθῆναι, καὶ οὕτως υἱοποιηθέντα καὶ αὐτὸν Ἰσαὰκ βασιλεῖ τὰ

paternam avitamque ditionem recuperare conabatur, obstante vehementer Amurio, cum quo longo et sibi ad extremum infelici collisus bello, denique victus, Heracleam Ponti cum uxore se contulit; unde confugiendum sibi ad Andronicum Imperatorem statuens Constantinopolim venit. ubi cognito diversari Nymphaei tum Augustum, coniuge in urbe relicta, iis se adiunxit quos ad ipsum ad se perducendum certior de illius adventu factus imperator ei obviam miserat. ut is dehinc consilio repento capto Atramytio fugerit, utque inde res suas administraverit, dictum a me iamdodum est. longo post tempore uxor, ipso postulante, concedente Augusto, ad eum reversa sua est, sed filia in obsidem relicta, hac de qua nunc sermo est, educata hinc in urbe multis annis, victu ipsi large ab imperatore suppeditato. quem ipsum in modum et Constantinus Melec, Azatinis Sultanis alter filius, et ipse relictus apud Romanos ac volens baptizatus, caritatem in res nostras educatione contraxisse visus est, eius haud disparem quam conscia origo et affectus e stirpe insolitus natis civibus erga patriam inspirat. istam igitur in urbe servari Meleci Azatinis nati filiam Melec ipse quoque dictus Issacius audiens, in praemium et auctoramentum navandae quam pollicebatur imperatori operae dari sibi ab eo coniugem petiit, profitens talis connubii necessitudine se deinceps semper sic affixum Augusti obsequiis, quasi non in generum dumtaxat sed et in filium adoptatus ei foret, istiusque necessitudinis officium serviendo quam posset efficacissime Romanis expleturum. rogavit item praeterea ut patruum huius ipsius quam in sponsam optabat virginis, eum cuius modo meminimus Melecum, imperator in Sultanis dignitatem pro-

πρὸς Ῥωμαίων κατὰ τὸ δυνατὸν ἐνεργεῖν. ταύτῃ τοι καὶ βασιλεὺς ἐνασμενίσας τῇ κοινοπραγίᾳ τοῦ Πέρσου, τὸ μὲν σουλτὰν C ἐγκαθιστᾶν τὸν Μελὴκ καὶ θεῖον τῆς κόρης οὐκ ἐδοκίμαζε τέως, τὸ γύναιον δέ, καὶ μεγάλην ἐξετοιμασάμενος προῖκα, σὺν αὐτῷ διαποντίους εἰς Πηγὰς πέμπει, ἵνα δὴ καὶ ἐπήγγελε καθημένους τὰ συμφωνούμενα καθιστάνειν σὺν τῷ καὶ τῆς πόλεως Πηγῶν τὸν Μελὴκ ἡγεῖσθαι. πλὴν δ' ἀλλὰ καὶ συχνὰ τῶν ἀκατίων ἐκεῖσέ πῃ παρεσκευάζετο, διαπερᾶν, εἰ θέλοιεν, Πέρσας. ὅτε δὴ καὶ περικαθημένων σὺν Πέρσαις τῶν Ἰταλῶν τὸν τοῦ Ῥαιδεστοῦ πύργον, διανοουμένων ἐξελεῖν καί οἱ χρωμένους ὁρμητηρίῳ D τοῖς περὶ τὴν Θρᾴκην πράγμασιν ἐφεδρεύειν, βασιλεὺς πέμψας τριήρεις δύο ἐπειρᾶτο μετάγειν ἐκεῖθεν τὴν ἄχρηστον ἡλικίαν, ὡς διαμενούντων καὶ μόνων τῶν ἐνεργῶν κατὰ πόλεμον. καὶ δὴ ἐπιστᾶσι τοῖς βασιλέως ἐμποδὼν ἔστησαν Πέρσαι κατὰ στόμα διακινδυνεύοντες· εἶτα μαθόντες τὴν περὶ αὐτοὺς τοῦ βασιλέως προμήθειαν καθυφῆκαν τέως καὶ ἑκόντες φυγομαχοῦσιν ἐῴκεισαν. E καταταχήσαντες δ' ἐν τοσούτῳ οἱ τῶν τριήρεων πολλοὺς τῶν ἀχρήστων ἐκεῖθεν κατάγουσι, καὶ οὕτω διαφορήσαντες εὐρωστο-

moveret. verum Andronicus de caetero perlibenter admittens propositiones Persae, haud putavit opportunum eo rerum statu Melecum constituere Sultanem. at puellam ipsam, magna ei dicta dote, una cum isto ipso suo patruo mari perduci curavit Pegas, ubi considere ipsos voluit, et ea de quibus inter se ac Melecum Isaacium convenerat administrare; quod ut fieret facilius, eiusdem Pegarum urbis praefecturam Meleco attribuit. sed et naviculae quam plurimae ibidem comparabantur, usui futurae deportandis ex Occidua continente Persis, ubi eis, prout spondebat se facturum, persuasisset Isaacius retro in Asiam traiicere, quando Latino exercitu, cooperantibus auxiliis Persicis, circumsidente Rhaedesti turrim (cuius loci potiundi magna Italos cupiditas incesserat, eum situ peropportunum ratos ad reliquam cum occupandam excurrendo, tum postquam usurpassent, continendam in potestate inde Thraciam) imperator missis eo triremibus duabus conabatur ex illo praesidio extrahere turbam per aetatem aut sexum bello inutilem et alimentorum absumptione damnosam, quo illius solicito consortio liberi milites expeditius et efficacius possent tutelae castri, cuius foret iactura Romanae rei plurimum exitialis, attendere. ad id exequendum cum se admovissent littori trierarchae imperatorii, obviam forte habuere illic ad ostii defensionem oppositam Persicam cohortem, quae sane fortiter exscendere tentantibus obstabat, quoad significato in aurem quibusdam ex illo corpore, ac per eos in alios vulgato, quid ad eos, quo dudum cuperent, transferendos benevole ipsis pararet imperator, inflexi illi remiserunt de repugnandi pertinacia, ultroque, sed quasi fugere vi compellerentur, tamen retenta certantium specie recedentes, locum nostris dedere feliciter exequendi quae destinaverant. festinarunt quippe triremium vectores eo brevi fugae Persarum momento pleramque partem imbellis multitudinis e Rhaedesti extractam turri ad sese recipere, quam avehentes residuos obsessos haud paulo con-

τέρους τοὺς περικλείστους κατέστησαν, ὥστε καὶ ἐξιόντας ἐκ ποδὸς διώκειν τοὺς ἐπιόντας. οἳ καὶ δυσχρηστούμενοι ἐπὶ τούτοις τὰ μέχρι Σηλυβρίας καὶ ἐπίταδε κατατρέχουσι, καὶ κακῶς διετίθουν οἷς ἄρα καὶ ὑστεροῦν συνέβαινε φρουρίοις ἐγκατακλείεσθαι.

P 428 23. *Τούτοις δὲ γενομένοις ὁ πατριαρχεύων Ἀθανάσιος
ἐπιδαψιλευόμενος οἷον τὰ τῆς πρὸς θεὸν ἐξοσιώσεως, δὶς μὲν καὶ
τρὶς τῆς ἑβδομάδος τὰς λιτὰς ἐποιεῖτο, βαρυτέρας δὲ τὰς προστιμήσεις τοῖς κατά τι προσκύπτουσι διετίθει. οὐ μὴν δὲ ἀλλὰ
καὶ ἐς πλέον εὐσεβείας ἥκειν δοκῶν, στήλην μὲν ἐκείνην πατριαρ-*
B *χῶν τῶν τριῶν Γερμανῶν, τὴν ἐπὶ δεξιᾷ εἰσιοῦσι τῶν ὡραίων
πυλῶν ἱσταμένην, διὰ τὸν ὕστερον τὸν ἐξ Ὀρεστιάδος μετατεθέντα, ὅτι τῇ πρὸς τοὺς Ἰταλοὺς εἰρήνῃ αὐτὸς ἐκεῖνος πρεσβεύσας συνήργησε, κατασπᾷ, στήλην δὲ βασίλειον ἐκ χρυσονήματος
διεσκευασμένην κατ' ὀξὺν πέπλον, ἣν ἐκεῖνος βασιλεῖ Μιχαὴλ*
P 429 *πατριαρχεύων ἀνήρτα τῶν πρὸς τῇ δύσει μέσον ἐρυθρῶν κιόνων,
κατά τέ τι κλεϊσμὸν τοῦ νέον ἐκεῖνον Κωνσταντῖνον φανῆναι*

16. *τι] τινα?*

firmatiores ad diutins animosiusque resistendum reliquerunt. cuius novae alacritatis praesens tunc quoque edidere specimen acri statim eruptione in oppugnatores facta, non sine horum damno. quibus adversis obsidentes irritati successibus, solatium suo dolori quaesiere manibus late praedatoriis spargendis, quae cuncta usque Selybriam ultraque ad viciniam urbis cruentis incursionibus vastarent, omnes male multando quos reperissent segniores in mature se condendo intra muros arcium eius tractus.

23. Interim dum haec gererentur, patriarcha urbis Athanasius, quasi ostentans religionis abundantiam, bis et ter in hebdomade preces celebrabat, graviores quoque solito multas poenasque iis qui offendissent quomodolibet infligens. quin et eximium se quoddam sublimioris pietatis specimen editurum ratus, tabulam illam pictam imaginibus Germanorum trium qui patriarchatum urbis diverso tempore gesserunt, ab eorum ultimo, ex Orestiadensi sede in Constantinopolitanam translato, in monumentum positam ad dexteram ingredientibus per speciosas fores, sustulit in eius qui posuerat ignominiam, cui se ferebat eo nomine infensum quod is legatione obita paci Graecorum cum Latinis conciliandae fuisset cooperatus. effigiem insuper imperatoris Michaëlis Palaeologi, titulo et habitu inclyti illius prisci Constantini, quam cum idem Germanus, dum esset patriarcha, filorum subtextu aureorum exprimi curasset in velo figurae desinentis in acumen, id postea velum publice appenderat in Occidua magni templi parte inter duas illic sitas e porphyro columnas, inde quoque detraxit, suae adversus utriusque memoriam, Michaëlis videlicet ac Germani, obsequens irae. nam huius quidem opus erat monumentum istud, in illius autem commendationem excogitatum et erectum fuerat a Germano, significare studente Michaëlem urbe recuperata reparataque, quam antiquus Constantinus condidisset, eidem praeterea fortitudine ac pietate similem, actis simul et virtutibus promeritum ut recte in imperio vocari novus Constantinus posset, praesertim cum Constantini appellatio-

Ῥωμαίοις εἰς τὸ τοῦ πανευκλεοῦς Κωνσταντίνου σχῆμα μεταλλάξας ἵστη. καὶ ἅπερ τῶν προτέρων τιμῆς ἡμερῶν τοῦ πατριαρχοῦντος κατὰ σχῆμα διετηρήθησαν, ὕστερον μεταγνόντων οἷον κατά τιν' ὀλιγωρίαν μετηλλάττοντο, ὥσπερ ὀστράκου μεταπεσόντος. ἐκεῖνος δὲ καὶ θεῖα εἰς τὰ πάντα δικαιώματα μιγνύων, τοῖς πολλοῖς ἀνέδην ἐπέχρα, αὐτοπροσκοπίτης ἐγγὺς φαινόμενος, καὶ πᾶς πρὸς τὸν κρατοῦντα λόγος ἐξ εὐλαβείας ἠπράκτει, καὶ B εἱρκταὶ καὶ καταγνώσεις τοὺς κατά τι προσκόπτοντας διεδέχοντο. τὰ δὲ τῆς κοινῆς ἐκκλησίας εἰς ὀλίγον γε περιίσταντο, ἐξορισθέντος μὲν τοῦ Ἀλεξανδρείας, ἀλλοτριουμένου δὲ καὶ τοῦ τῆς Θεοπόλεως διὰ τὴν τῶν Ὁδηγῶν μονήν, ἣν που δὴ καὶ καταθῆναί τις ἠλπίζετο, τοῦ δ' Ἱεροσολύμων Ἀθανασίου ἐκποδὼν κἀκείνου γενομένου διὰ τὰς ἐκεῖθεν κατ' αὐτοῦ φήμας, ἃς δὴ Βρουλᾶς τις ἐκ Ῥωμαίων, καὶ Καισαρείας τῆς Φιλίππου ἐπίσκοπος, βα- C σιλεῖ καὶ αὐτῷ προσελθὼν πατριάρχῃ καὶ ἀνενέγκας, πεμφθεὶς συνάμα καὶ τοῖς ἐκ βασιλέως πρέσβεσι κατελέγχειν ἠπείγετο· οἳ καὶ ἐπιστάντες Ἱεροσολύμοις τὸν μὲν πατριάρχην ἐξωθοῦσι, τὸν

6. ἀπέχρα P. 11. καταστῆναι?

nem praesago quodam omino iam olim adhuc puer et privatus accepisset. atque has quidem imagines Athanasius toto tempore prioris sui patriarchatus, et transacto huc usque spatio secundi, stare in loco ac spectari passus erat: nunc autem quasi damnans in hoc sese vituperabilis tolerantiae, quam emendare poenitentia par esset, velut fortuito interlapsu tegulae, statim mutato consilio amovendas nunc abscondendasque decrevit. idem autem divinas, ut loqui solebat, iustificationes ad promiscuum suae asperrimae censurae in omne indiscriminatim genus et hominum et rerum odiosissimum exercitium allegans, in obvios aeque cunctos saevus ac respectuum securus irruebat, offendendi occasiones prope studiose ac data impense opera quaerere visus et captare. nec erat cuiquam ab eo tali modo vexatorum in recursu ad Augustum spes ulla posita. nam hic veneratione sui patriarchae constrictus ingenti, partem pietatis vel maximam putabat in cunctis ei obnoxie morem gerere. carceres ergo et ignominiosae damnationes in quantulocumque deprehensos lapsu certo ac subito quoslibet excipiebant. commune porro concilium ecclesiae, ne quis ad id synodo coacta suam referri causam aut querimonias posse confideret, in paucissima redactum capita paene nullum erat, exterminato utique Alexandrino patriarcha, Antiocheno alienato propter Hodegorum monasterium, Hierosolymitano quoque, cui et ipsi nomen fuerat Athanasius, nuper exauctorato propter allatas ex illis partibus in urbem accusationes eius per quendam Brulam nomine, ex Romanis oriundum, Caesareae Philippi episcopum; qui convento de criminibus quae deferebat imperatore ipsoque patriarcha, redire iussus unde venerat cum imperatoris legatis ad explorandum coram itane se res haberent uti accusator dixerat, hi, ut ipsis est visum, pleno convicti de veritate delatorum, profecti Hierosolymam patriarcham quidem extruserunt sede, Brulam autem in Aeliae

δὲ Βρουλᾶν παρὰ τὴν τοῦ βασιλέως θέλησιν (τὸν γὰρ βασιλέα ζῆλος μόνος κατήπειγε ἐξετάζεσθαι τὰ ἐγκλήματα) ἐπὶ τοῦ τῆς Αἰλίας θρόνου, φέροντα καὶ ταῦτα μύσος ἀφορισμοῦ, ὡς ἐλέγετο, φέροντες ἐνθρονίζουσι. καὶ λοιπὸν ἀπηρτημένου κἀκείνου D ὄντος, μόνος ὁ πατριαρχεύων συνάμα τῷ προσκομίζοντι, ἀπηρτημένου τοῦ Ἀλεξανδρείας καὶ τοῦ Θεοπόλεως ἤδη, ἐν τοῖς ἱεροῖς διπτύχοις ἐμνημονεύετο. ἀρχιερεῖς δὲ οἱ μὲν ἀπεδήμουν, καὶ τοὺς ἐπιδημοῦντας ἀποδημεῖν κατηνάγκαζε. τοὺς δὲ τοῦ κλήρου τιμίους, οὓς δεινῶς ὑφεώρα, τοὺς δὲ προσαφαιρούμενος καὶ τὰ σιτηρέσια ἀπρακτεῖν ἐποίει. ἦν δὲ καὶ τοῖς κατά τι προσκόπτουσιν εἰς αὐτὸν ἡ ἐκ βασιλέως ἀποστροφὴ ἀπαραίτητος, θέλοντος E ἐκεῖνον εὐλαβείας τρόποις ἐξ ἅπαντος συνιστᾶν. καὶ πολλοί τινες εἱρκταῖς ἐδίδοντο ὡς μήτε τινὰ παράκλησιν ἔχειν μήτε μὴν ἐκ τοῦ τυχόντος ἐλευθεροῦσθαι, ὡς καί τινας ἀποδράντας τῶν μοναχῶν, ἐπεὶ οὐκ ἦν σφίσιν ὅπου ἄρα καὶ προσφύγοιεν, προσφυγεῖν τοῖς κατὰ τὴν περαίαν φρερίοις. τὸ προτεινόμενον τοῖς εὐθύνουσιν ἡ κακουχία, ἵνα γοῦν ἀλλ' οὕτως σωθεῖεν. καὶ τοῦτο

11. ἐπιστροφή?

throno collocarunt, per vim id attentantes et contra imperatoris voluntatem, qui solo instinctu religiosi, ut putabat, zeli delata examinari crimiuu aequum censuerat, non autem excommunicatum prius bominem, qualis Brulas deprehensus postea est, in sacra illa sede constitui. novo igitur etiam ipso patriarcha Hierosolymorum Brula propter auathema suspenso, cum et anteu, ut est dictum, suspensi puriter fuissent Alexandriuus et Theopolitanus, nullius iam alterius e sacris publice diptychis recitabatur uomen nisi Athauasii Constautinopolitani solius patriarchae, et qui sacram tunc oblatiouem celebrabat, sacerdotis. episcopi autem versari alias in urbe soliti plerique ultro ablerant; si qui vero adhuc comparerent, summa vi facessere iude compellebantur. e primoribus vero cleri quosdam quidem patriarcha gravium suspectos habebat criminum, quosdam autem subtractis alimentis cessare ab officiorum exercitio cogebat. tantundem porro erat gratia excidisse apnd patriarcham et imperatoris ipsius indignationem incurrisse: nam quoscumque quomodocumque exosos haberet Athanasius, eosdem Andronicus pietatis suae putabat esse irrevocabiliter et immisericorditer persequi. unde multos passim contingebat in ergastula compingi, et ibidem sine ulla cousolatiunculae admixtione, citra ullam expectatiouem aliquando successurae liberationis, ad desperationem adigi. unde monachorum nonnulli ex ista infelici sorte nacti effugium furtivum, cum nullum asylum viderent inter nostros tutum, profecti ad Frerios in Peraea degentes eorum protectione utebantur. atque in his mirum erat, coutra omnem iustae ac canonicae animadversionis formam, nou emendationem aut salutem ex hac secuturam delinquentium videri esse pro scopo propositam punientibus, sed aerumnam ipsam ac miseriam eorum in quos animadverteretur. quae si quis suis momentis aestimet, verissimum profecto per haec comprobari deprehendet illud

ἦν ἄντικρυς τὸ τοῦ Διοδώρου πατρός, τὸ κακοποιεῖν τινὰς βα-
θέως, ὅταν δικαίωμα θεῖον μίξωσιν. ἀλλὰ γὰρ παράδοξόν ἐστιν P 430
οὐκ εἰ γέγονέ τι τῆς συνηθείας ἔξω, ἀλλ' εἰ μὴ πᾶν ἐστὶ τὸ γι-
γνόμενον ἐν ἐλπίσι πρὶν ἢ καὶ γενέσθαι. ἡ μὲν οὖν περὶ τὸν πα-
τριαρχοῦντα τοῦ βασιλέως αἰδώς, καὶ τὸ συγκεχωρηκὸς ἐφ' ἅπα-
σιν ἐκ πληροφορίας οὔτι μικρᾶς, ὡς ἐδόκει, ὡς καὶ στολαῖς
ἀγάλλειν ταῖς λαμπροτάταις συνάμα πλείστοις τοῖς εἰς τὸν ναὸν
ἀναθήμασιν, ἐς ὅτι πλείστης φιλοθεΐας εἶναι ταῦτα καὶ φιλοκα- B
λίας τοῦ βασιλέως πιστεύεσθαι, καὶ ὑπακούειν ἑτοίμως ἐς ὅ τι
δὴ καὶ διαμηνύσειε, καὶ ἀπαντᾶν συχνάκις ἐν ἑορταῖς ἐξάλλους
καὶ πολυταλάντους τὰς στολὰς φέροντα, ἠρεμεῖν ἐκεῖνον οὐκ εἴα,
ἀλλ' ὁσημέραι ὑπανοιγνὺς δικαστήρια τὰς κρίσεις ηὔθετει, ὡς
καὶ τύπους ἀρχαίους μεταλλάττειν κατὰ τὸ δόξαν συμφέρον καὶ

Diodori patris antiqui dictum, quosdam tum exitiosos nocere, cum animadversioni suae divinarum iustificationum allegationem immiscuerint. caeterum mirabile est non quidem in hoc homine nihil apparuisse secundo patriarchatu a prioris acerbitate diversum, sed ab iis qui rursus illum talem experti promoverunt, non fuisse provisum, et citra ullam dubitationem priusquam evenisset expectatum, haudquaquam illum ab usu natura et consuetudine insolito deflexurum. in hoc autem nunc ipsum magis magisque confirmabat insigniter eminens et continuis se observantiae favorisque propensissimi quotidie liberalius efferens obsequium promptum ad omnia veneratioque demississima imperatoris. hic enim sita quadam eius viri meritorum virtutum gratiaeque apud deum intimae existimatione praeoccupatus, summam sibi religiosae pietatis laudem constituebat in nullo fine aut modo faciendo ipsius officiis et beneficiis ornandi. quare illam subinde munerabatur stolis splendidissimis pretiosissimi textus; addebat una plurima donaria votiva, quae circum aras appenderentur, monumenta in templo conspicua devotionis pariter et magnificentiae donantis eximiae, eademque veluti pignora patriarchae futura paratissimae sibi ad nutus omnes, quidquid praecipere aut indicare libuisset, efficacis Augusti voluntatis. accedebat ostentata studiose ab eodem obedientia in occurrendo quoties a patriarcha vocaretur ad quaslibet functiones sacras. quod factitabat praesertim in festis, cum cura peculiari honorandi invitantem, accedendo ad eum in vestitu ac cultu exquisitissimi splendoris. ex quibus signis palam demonstratis cum non magis ipse patriarcha quam omnes omnis generis homines sentirent addictissimum et esse et irrevocabiliter futurum Andronicum Athanasio, inde consequebatur, ut hinc quidem universi ordines sub patriarchae tyrannide gementes de mali huius levamento, quod aliunde quam ab Augusti potestate nequiret expectari, desperarent, ipse autem patriarcha experientia sui pleni in principis animum dominii non parum in dies quidlibet attentandi imperiosiusque ac inexorabilius opprimendi quoslibet feram licentiam augeret. itaque haud unquam furorem remittens horribile quotidie tribunal aperiebat, miseris citandis quos sine misericordia damnaret. in quo pensi nihil habebat, esset quod agebat necne a regulis antiquis et forma canonica dissentaneum. confidentissime quippe pro arbitratu innovabat immutabatque cuncta, prout iudicabat accommodatum ad, quam informatam dudum animo mordicus tenebat, religionis et ecclesiasticae disciplinae prorsus enormem ideam. igi-

εὐλαβές, καὶ ἄλλους μὲν καθιστᾶν ἐν ἄλλοις, μοναχοὺς δὲ μο-
νοφαγίαν κατ' ἐννάτας δι' ἔτους ἀσκεῖν, δίχα μέντοι σαββάτου
C καὶ κυριακῆς. ὅθεν δὴ καὶ τρία ἐκ τοῦ ἀκολούθου τὰ μείζω ταῦτα
πλημμελεῖσθαι ξυνέβαινε, πρὸς τῷ καὶ πατέρων τύπους ἀρχαίους
ἀλλάσσεσθαι, οἶμαι, τοῖς ἀμελεστέροις, λαθροφαγίαν ἀπληστίαν
τε καὶ ὑπὲρ τὸ δέον τοῖς ἑστιωμένοις δείλης ὀψίας, καὶ τρίτον
τὸ παραθεωρεῖσθαι τὰς θυσίας τὰς μυστικὰς τοῖς ὀψὲ σιτουμέ-
νοις. ἀγλευκὴς δὲ τοῖς πᾶσιν ἐδόκει καὶ ἄχαρις, τὸ περὶ τοὺς
νόμους ἐπιεικὲς μηδ' ὄναρ εἰδώς.

P 431 24. Ὁ μέντοι γε βασιλεὺς τῷ δυσχερεῖ πανταχόθεν τῶν
πραγμάτων ἀντιπαλαμώμενος πέμπει μὲν τὸν γαμβρὸν αὐτοῦ
Κασσιανὸν καὶ ἐξ ἀξιώματος μέγαν πριμικήριον ἀνὰ τὰ μέρη τῆς
Μεσοθινίας, ἐφ' ᾧπερ καὶ ὡς ἔχοι ἂν τἀκεῖ καθιστᾶν· ὃς καὶ
καιρὸν διατρίψας ἐν τοῖς ἐκεῖ φρουρίοις, ἐπεὶ ἔδοξε τῇ βουλῇ φό-
B ρους ἐκλέγειν ἐκ τῶν κτηματικῶν τοὺς συνήθεις, ἵν' εἶεν οὗτοι
τῷ ἐκεῖ στρατιωτικῷ εἰς μισθούς, ἐκεῖνος ἢ καταδημαγωγῶν τὸν
λαόν, ἢ καὶ ἄλλο τί οἱ δόξαν, τὸν εἰς τοῦτο πεμφθέντα Βαρ-
δαλῆν κατασχὼν πολλαῖς ταῖς πληγαῖς ἱμάσσει, καὶ μᾶλλον ὅτι
φθάσας Βαρδαλῆς προσήγγειλε βασιλεῖ τὰ χείριστα κατ' ἐκείνου,

tur alios amovebat, alios praeficiebat officiis, citra respectum ullum. monachos vero severissime cogebat toto anno ieiunare, semel in die nec hora prius nona comedendo, exceptis sabbato et dominica. unde multos minus robustae virtutis imbecillitas humana subigebat in tria quaedam non parum abhorrentia a scitis patrum labi piacula, primum ad clam usurpandas comestiones furtivas, deinde ad excedendum in his, licentia secreti per tenebras nocturnas, debitae modum temperantiae, denique ad irreverenter assistendum mysticis mane celebratis sacrificiis, quae scilicet nocturnis ingurgitati comessationibus pleni adhuc crapula obirent, immane quantum indecenti et a forma ecclesiastica antiqua degenerante ministerio. horum tamen patriarcha securus omnium, pergebat instituta via, cunctos fastidiose despiciens, nemini non stomachose acerbus obvio, benignae accommodationis legum ad infirmitatem hominum, quam epiikiam vocant, ne per somnium quidem unquam visus cogitationem ullam admisisse.

24. Caeterum imperator adversis undique ingruentibus, qua vi atque industria poterat, occurrens misit in partes Mesothiniae generum suum Cassianum, vocabulo dignitatis qua insignitus erat magnum primicerium dictum, ut res illic laborantes quo posset modo sustentaret. is cum in arcibus eius tractus aliquanto fuisset tempore moratus, interimque decretum exisset imperatorii consilii, quo agrorum illic possessores tributa pendere consueta iubebantur, quae in stipendia militantium in ea provincia copiarum expendi deberent, vel demereri volens populum, vel nescio quid aliud secutus, profectum illuc ad id vectigal exigendum Bardalem comprehensum multis plagis affecit, infensus huic maxime, quod acceperat graviter infamatum se ab eo fuisse apud Augustum, cui Bar-

δεξάμενος τοὺς λόγους παρ᾽ ἄλλου, ὡς κῆδος πρὸς τὸν Πέρσην
συνιστᾶν αἱρεῖται καὶ κοινοπραγίαν πρὸς ἐκεῖνον κατὰ τῶν βασι- C
λικῶν πραγμάτων συντίθεται. ταύτῃ τοι καὶ προσταττόμενος
ἀπαντᾶν, ὁ δὲ δυσελπιστῶν περὶ οὗ τὴν πρὸς τὸν βασιλέα φέ-
ρουσαν ἀναβάλλεται. προσεταιρισάμενος δὲ καὶ λαὸν στρατιω-
τικόν, πέμπων καὶ ζητῶν ἀσφαλείας πίστεις πρὸς βασιλέως, ἄνε-
τος ἠλᾶτο. ἐπεὶ δὲ τῇ Χηλῇ ἑαυτὸν ἐνεπίστευε καὶ τὰ πιστὰ
τῆς ἀσφαλείας ἐκεῖθεν εἶχεν, ὡς ᾤετο, Χηλῖταί τινες κατὰ πόλιν P 432
εὑρεθέντες συντάττονται βασιλεῖ ἦ μὴν κατασχεῖν ἐκ δόλου τὸν
φυγαδίαν καὶ παραδοῦναι τοῖς ἄξουσιν. ὃ καὶ γίνεται τὴν ταχί-
στην· ὡς γάρ τις τῶν εὐνούχων ἐπὶ τούτῳ ἐπέμπετο, αὐτὸς μὲν
ὑπὸ τῶν καταστρωμάτων τῆς νηὸς ἐκρύπτετο, ἐκεῖνοι δὲ ἅτε
συνήθεις εἰσελθόντες τὸ φρούριον κοινοῦνται τὸν λόγον κρυφη-
δὸν καὶ τοῖς ἄλλοις, καὶ μεσούσης ἡμέρας μετὰ δεῖπνον ἐπιστάν-
τες ἅμα, τῶν συντηρούντων διεσπαρμένων, περισχόντες δε-
σμοῦσι καὶ ἅμα παρὰ τὸν βασιλέα φέρουσι δέσμιον. βασιλεὺς δὲ B
πρὸς ἐκεῖνον μηδὲν ἀξιώσας εἰπεῖν, συνάμα τῷ Κοτανίτζῃ τοῦτον

dales tamquam auditum ex alio retulerat convenisse iam Cassianum cum principe Persarum de affinitate inter eos contrahenda, promittente ipso transfugium et communem operam in oppugnando imperio Romano. quapropter accersitus ab imperatore in urbem fuerat, et iussus omissis omnibus se sistere. verum ille vix sperans purgare se satis apud Augustum posse, iter sibi periculosum moras nectens primum differebat; deinde postquam vulgus militum beneficiis et spebus ita demeruisse visus est, ut in omni sibi fortuna fidum fore non temere confideret, iam audacius responsans misit ad imperatorem, qui nomine suo peterent caveri prius ab eo, fidei pignoribus idoneis, nihil sibi damni ex hoc ad ipsum accessu proventurum; quo denuntiato, quasi iam solutus officio parendi, liber securusque vagabatur. quoniam autem postea impetrato in arcem insularem Chelen aditu exceptus illic est ea benevolentia civium, ut se tutum loco tali de caetero putaret, forte tunc Constantinopoli reperti Chelensium quidam non dubitarunt imperatori promittere, freti cognationibus et clientelis suis, sese dolo comprehensum fugitivum his tradituros quos ipse ad eum retrahendum mitteret. et praestitere quod receperant. cum iis enim ad hoc ire quidam iussus e palatinis eunuchis, ubi navis Chelen appulit, ipse quidem sub tabulato delituit, Chelenses autem ingressi ad suos intra munitionem, communicatoque clam amicis et necessariis consilio, his probantibus et pro virili iuvare promptis, sub meridiem facta manu Cassiani diversorium petunt. acquiescebat ille post prandium, nihil minus quam quod parabatur metuens; satellitesque ipsius ac custodes corporis varie dispersi erant, prout res aut remissiones quemque vocarant suae. ergo coniurati Cassianum facile correptum alligant, coniectumque in navem reversi curriculo in urbem imperatori vinctum tradunt. porro Augustus nullo eum dignatus verbo in eundem ubi Cotanitza detinebatur compegit carcerem, occasione sic agendi ex eo du-

καθείργνυσιν, ἐπεὶ ἔφθασεν ἐκεῖνος γράψας πρὸς τὸν ἴδιον συμπένθερον τὸν ἐπὶ τοῦ κανικλείου, ὁμοίαν ἀποστασίαν καὶ τὴν αὐτὴν τῷ Κοτανίτζῃ, εἰ μὴ συμπαθοῖτο, προσαπειλούμενος. καὶ ἔδοξε μὲν τότε ζημιωθεὶς ὁ κρατῶν τῶν στρατηγῶν τὸν κράτιστον, ὅμως γε μέντοι φροντίζων οὐκ ἀνίει οὐδ' ἐς βραχὺ πῶς ἂν διοικοίη τὰ καθ' ἑαυτὸν οὕτω πονήρως ἔχοντα.

C 25. Ἔνθεν τοι καὶ πρὸς μὲν τοὺς ἑῴους Ἴβηρας πρεσβείαν στείλασθαι κατὰ συμμαχίαν ἐκ πλείστου διανοούμενος, πέμπει τοὺς συγκαλέσοντας, ἐπεὶ κἀκεῖνοι ἕτοιμοι ἀπαντᾶν ἦσαν ἀμισθὶ καὶ ἐπὶ μόνοις ἵπποις καὶ δαπάναις ταῖς ἀρκούσαις προσαμύνειν τοῖς Ῥωμαίων πράγμασιν. ὅθεν καὶ μετ' οὐ πολὺ Χατζίκης τις τῶν τῆς Ἰβηρίας μεγιστάνων προσελθὼν βασιλεῖ ἐφ' ᾧπερ καὶ τὴν πρὸς Ῥωμαίους καταστήσαιτο κοινοπραγίαν, ἐπείπερ οὐ συνέβαινον σφίσιν αἱ συμφωνίαι, ἄπρακτος ὑποστρέφει. τὸ δὲ
P 433 πρὸς τὸν Χαρμπαντᾶν κῆδος καὶ λίαν ἐξητοιμάζετο. καὶ τὰ τῆς Νικαίας μέρη κακούμενα πυνθανόμενος, τὴν οἰκείαν αὐταδέλφην Μαρίαν, τὴν καὶ δέσποιναν τῶν Μουγουλίων θρυλλουμένην, συνάμα λαῷ τῷ ἀρκοῦντι πέμπει πρὸς Νίκαιαν. ἀπήγγειλε δὲ καὶ αὐτὴν καθημένην τῇδε καθιστάνειν τὸ πρὸς τὸν

18. ἐπήγγειλε?

cta, quod Cassianus ad suum consocerum canicleo praefectum antea scribens minatus fuisset se, nisi mitius ab imperatore tractaretur et suae haberetur dignitatis ratio, haud minus periculosa et noxia rei Romanae, quam olim Cotanitza, defectione rebellaturum. existimabatur Cassianus Romanorum tum ducum omnium scientissimus rei bellicae; unde pro caetera infelicitate sua imperatori contigit talis viri usuram tali tempore perdere. illo tamen non remittens sollicitudinem satagebat, ne ad momentum quidem cessans, in ordinandis, qua commodius posset, rebus suis ita omni ex parte turbatis ac plene deploratis.

25. Unde et cum dudum agitasset animo de mittenda legatione ad Iberos Orientales, qua eos ad belli societatem secum ineundam invitaret, experiendum nunc denique putavit, destinatis illuc qui auxiliares inde copias evocarent. audiverat enim paratos eos ad Romanis militandum sine stipendio, modo equi solum ipsis et alimenta, quantum sat esset, praeberentur. tamen cum paulo post Chatzices quidam, unus ex Iberorum primoribus, ea ipsa de re tractatum venisset ad Augustum, quod de conditionibus foederis convenire inter ipsos nequivisset, re infecta rediit ad suos. proniori spe successus affinitatis cum Charmpantane contrahendae negotiatio procedebat, adeoque strenue incumbebatur in apparatum destinati connubii proximum. urgebant enim ad maturandum nuntii ad imperatorem appellentes crebri, regiones circa Nicaeam bello infestari Persico ferentes. igitur sororem propriam Mariam, quae titulo dominae Muguliorum passim honorabatur, cum idoneo comitatu deduci Nicaeam curat, mandans ipsi ut illic considens ex proximo suum cum Charmpantane coniugium promoveret, nec prius quam re perfecta desisteret, tumque daret

Χαρμπαντᾶν κῆδος καὶ τὰ τῶν Περσῶν δουλαγωγεῖν ὡς οἷόν τε πράγματα.

26. *Οὐ μὴν δὲ καὶ οἱ ἀνὰ τὴν δύσιν Τοῦρκοι τὸ παράπαν* B *ἠμέλουν, ἀλλὰ τὸν τοῦ Γάνου κυριεύσαντες τόπον καὶ τὸ τοῦ ἁγίου Ἠλιοῦ περικαθίζουσι φρούριον, καὶ τοὺς κατ' αὐτοὺς οὐλαμοὺς δίχα τεμόντες ἐκεῖ τοὺς ἐντὸς ἐκάκουν, ἕως οὗ συντακέντες ἐκεῖνοι τῇ πολυημέρῳ λειψυδρίᾳ, ὡς καὶ τὰ φύλλα τῶν δένδρων λείχειν καὶ θύοντες ζῶα ἀπορροφᾶν τοῦ αἵματος ἐπὶ πλείσταις ἡμέραις, πολλοὺς δὲ καὶ ἀποθανεῖν, ἔγνωσαν ἑαυτοὺς προδιδόναι καὶ φρούριον. πλὴν οὐκ ἐθάρρουν τοῖς Πέρσαις διὰ τὴν* C *ἀλλοτρίωσιν τοῦ σεβάσματος, καὶ πέμψαντες Ῥομοφόρτον ἐπεκαλοῦντο. καὶ ὃς παρῆν, καὶ βίᾳ μὲν μόλις δ' ὅμως οἱ περὶ αὐτὸν τὸ Περσικὸν ἐξελάσαντες, τὰ πολλὰ δικαιολογούμενον πρὸς αὐτούς, καθ' ὁμολογίας προσχωροῦντας μετὰ τῶν θείων εὐαγγελίων δέχονται, καὶ ὅσον τὸ ἀφ' αὐτῶν φιλάνθρωπον τὴν διαγωγὴν παρέχουσι. τοῦτο ποιοῦσι καὶ ἐν τῷ πύργῳ τοῦ Ῥαιδεστοῦ. ἐπὶ πολὺ γὰρ διετέλουν τῷ φρουρίῳ ποιούμενοι προσβολάς, ἀλλ' οὐχ ἤνυτον. τέλος καὶ μηχάνημα ἐπιστήσαντες πε-* D *τροβόλον νυκτὸς τὰ πολλὰ κατηκόντιζον τὰς βολάς, ὡς ἐπιρριφῆναι πέτρας περί που τὰς ἑκατὸν καὶ πολυταλάντους· πεντη-*

quam posset operam exarmandae Persarum in Romanos irae, ipsisqoe viri uuctoritate revocandis ab imperio vexando.

26. Qui vero in Occidua continente bellom in nos gerebant Turci, haud segnes feriabantur, sed Gani iugo superato arcem cui a Sancto Elia nomen est obsidebant, divisisque bifariam copiis obsessos utrimqoe adeo premebant, ut illi tandem longa siti eneeti (nam aquae penuria cogebantur ardori faucium levando arborum folia lingere, et occisis animalibus ligurire sanguinem; nec alio per dies plurimos potu victitarant, unde et multos mori contigit) decreverint se ipsos et arcem dedere. sed Persis ob diversitatem religionis se credere veriti, destinato ad Romofortum Christianum Latinum qoodam e suis, ostenderunt, si suas admovere propius copias vellet, se suaque ipsius potestati permissuros. accessit Romofortus, et huius exercitus, quamquam baud facile, tandem tamen Persicum vi expulit, multa expostulantem et frementem quod parata sibi praeda per socios vocatos extorqueretor e manibos. tum Romoforto pacti certas conditiones, utrimque mano sacris evangeliis imposita iuratas, obsessi deditionem feceront. nec fides tum in Latinis desiderata est, humane siquidem, quod promiserant, tractarunt, et qoo transferri poposceraut, tuto perduxerunt. boc illectus soccessu Romofortus turrim etiam Rhaedesti subiicere sibi voluit. et huic ergo munitioni copiis admotis longo instituit tempore, crebris oppugnans assultibus, at semper irritis. tandem elata contra super altum aggerem balista petras in muros per eam iaculabantur diu noctuque, sed nocte frequentius, adeo ut noctis unius spatio centum circiter numerati iactus sint saxorum prodigiosae

κονταμναῖαι γὰρ τὰ πολλὰ ἔπιπτον, εἰ καὶ διὰ τὸ ὀλίγιστον τοῦ φρουρίου αἱ πλεῖσται ἠστόχουν καὶ ἔξω ἐπέρρητον τὰ πεμπόμενα. οὐ μὴν δὲ καὶ ἀζημίωτοι ἔμενον, ἀλλὰ πολλάκις ὑπὲρ τριακοσίους
P 434 οἱ ἐντὸς ὄντες εὐθαρσῶς ἐξελαύνοντες σφίσιν ἐπέρραττον καὶ τὰ πολλὰ ἐζημίουν, ἕως οὗ κατισχυθέντες καὶ οὗτοι προσχωρεῖν καθ' ὁμολογίαν ἱκέτευον. ἀλλ' οὐκ ἔπειθον· ἐπώμοτος γὰρ ἦν Ῥομοφόρτος, ἐπεὶ πολλοὺς ἀπέβαλε τῶν ἰδίων, ἦ μὴν καὶ θέλοντας προσχωρεῖν μὴ δέχεσθαι, καὶ μᾶλλον τοῦ πύργου σαθρωθέντος ταῖς συνεχέσι τῶν λίθων βολαῖς αὐτοῦ μηχανήματος. τὸ γὰρ τοῦ ἁγίου Ἡλίου φρούριον χειρωσάμενος φιλανθρώπως
B προσηνέγκατο τοῖς οἰκήτορσι, καὶ φρουροὺς ἐμβαλὼν ἐκείνοις πρὸς Ῥαιδεστὸν γίνεται, ἐξελεῖν διανοούμενος καὶ ἀνοικτὶ φονεύειν. οἱ δὲ προσελιπάρουν θερμότερον, καὶ ἑαυτοὺς παρεδίδοσαν καθ' ὁμολογίας τοῦ σωθῆναι, ἐκ χειρὸς ἤδη τῆς μάχης οὔσης καὶ τοῦ κινδύνου ἐπηρτημένου. κἂν ἐκινδύνευον, ἢν μή τις τῶν ἐπισκόπων συμπαρὼν σφίσι καὶ σὺν αὐτῷ ἄλλοι τὸν βάρβαρον ἱκετεύουσι μὴ ἂν τόσον ἐργάσασθαι φόνον. ἅμα δέ γε καὶ συμβου-
C λεύουσιν, ὡς ἐλέγετο, τοὺς τοῦ βαρβάρου θυμοὺς κολακεύον-

2. ἐπέρρητον] ὑπερίπταντο? 9. αὐτοῦ] ἀπὸ τοῦ?

gravitatis, quippe quae quinquaginta minarum singula fere pondus aequarent. sed turris exiguitas interdum per tenebras fallebat collinesntium aciem; unde sb ntroque latere multa intacto castri corpore cadebant. nec indemnis Lstinis obsidio erat: nam praesidiarii turris trecentis plures audacter interdum in eos erumpebant maleque multabant, quoad denique debilitati diffisique viribus et hi sunt compulsi descendere ad pacta, orareque Romofortum ut certis conditionibus abire se sineret incolumes. id ille ferociter renuit: indignans enim quod ea obsidione multos suorum amisisset, iuraverat se obsessos, quantumvis vellent rogarent, numqusm ad compositionem admissurum. in qua eum maxime senteutia firmsbat, quod istora videbat obsessae turris multis ism locis hiantis ob isbes quas petrae muris per balistam impactae intuiersnt; unde brevi se vi potiturum castro sperabat. quoniam autem pactione constrictus coactus fuerat cum praesidiariis arcis Ssncti Heliae nuper captae humaniter praeter genium se gerere, prosecutus etiam praesidio abeuntes, quo secure ad destinatum deducerentur, in Rhaedestinis, quos oppugnatum indo statim venerat, constituere voiebat exemplum illustre sui adversus Romanos odii, cunctis iis immisericorditer necandis. adversus hoc obsessi iam redacti ad extrema infimis precibus certabant, vitam saltem ac miserum spiritum indulgeri sibi, portas statim, si hoc promitteretur, aperturis, suppliciter orantes. diu surdis ad haec irati victoris auribus, periclitsbantur Rhaedestiui repulsao ipsis exitiali subiacere, nisi quidam quem secum habebant episcopus, et cum hoc alii, pro eis apud bsrbarum deprecatores intervenissent. hi pro ecclesiasticae lenitatis officio monebant haud deo probatum iri Christianorum per Christianos caedem fieri tantam. adiungebant interesse sua ipsius, mansuetudinis apud arcem Helise partam famam hic quoque tueri. ubi enim non uno iam experimento compertum

τες, ὡς εὐθίκτως καὶ ἄλλοι προδοῖεν ἂν ἴσως ταῖς φιλανθρώποις ἐκ φήμης μετεωρισθέντες ἐλπίσι. ταῦτα λέγοντες τῇ δεινότητι τῶν λόγων μόλις τὸν βάρβαρον κατεργάζονται. καὶ τὰ μὲν χρήματα ἀφαιρεῖται, γυμνὰ δὲ τῶν ἐνόντων τὰ σώματα καταλείπει, ὥστ' εἰ μὲν μένειν θέλοιεν, κηδεμονίας τινὸς ἀξιοῦσθαι, εἰ δ' οὖν, ἀλλ' ὡς ἔχουσιν ἐξ αὐτῆς ἀπαλλάττεσθαι. προῆγε δὲ τὰς δυνάμεις, ἀπὸ ῥυτῆρος ἐλαύνων, καὶ ἐπὶ τὰ λοιπὰ φρούρια. φήμη D
δ' ἵκετο συμπεριάγειν καὶ τὸν ἐπίσκοπον (*Πανίου* δ' οὗτος ἦν) καὶ τὰ πολλὰ καὶ αὐτὸν ἐφιστάμενον συνεργεῖν τοῖς ἐχθροῖς, ἐφ' ᾧ προδιδοῖεν αἱ πόλεις. καὶ διὰ ταῦτα ὡς εἰκὸς καὶ παρὰ τῆς ἐκκλησίας ἐκεῖνος ηὐθύνετο, καὶ ἡ δίκη πατριάρχου γράμμασιν ἐδηλοῦτο τῷ καταδικασθέντι. ἐκεῖνος δὲ πρὸς τὴν φήμην καὶ τὰ τῆς ποινίμου δίκης ὑπεραλγήσας, καιροῦ δραξάμενος φεύγει, καὶ τὴν ταχίστην τῷ βασιλεῖ παραγίνεται.

27. *Βασιλεὺς δὲ ταῖς ἀπὸ τῶν ξενικῶν ἐλπίσι μετέωρος* P 435
ὢν τὴν ψυχήν, ὅμως καὶ ἀφ' ἑαυτοῦ τὰ πολλὰ ἐτεχνᾶτο ὑποσπόνδους ἐκ τιμημάτων προσάγεσθαι τοὺς ἀλάστορας. Γεν-

increbuisset lenem et exorabilem Romofortum esse, aliae tractus istius arces facile adducerentur ad ei se dedendas. ne igitur successus, gloriae sibi magnae ac quaestui futuros, intempestivo gratuitae immanitatis opprobrio corrumperet, tamquam ei benevole consulentes, dum blande obsecrarent, vix tandem eloquentia et gratia exarmarunt ferociam viri, persuadendo ipsi ut spoliatis omni pecunia et supellectili dedititiis viva solum et libera corpora relinqueret. impetratum insuper et illud, ut si qui Rhaedestinorum manere in loco sub victoris potestate ultro eligerent, illic ut subditi cura dignarentur aliqua, sin aliud mallent, statim quocumque iuberet migrare sinerentur. inde Romofortus pronas ad fortunae obvium favorem habenas laxans, circumferebat exercitum per arces reliquas finium illorum, subigendis iis imminens, in quo tentando non inefficaci uti opera ferebatur episcopi cuiusdam, quem circumducebat. Paniensis hic erat, de quo fama perlata in urbem est cooperari eum victoriis Latinorum, suadendo Romanis eius tractus ne sese et quas custodirent arces aut urbes dubitarent iis tradere. in quo culpam admittere merito visus est ecclesiastica animadversione dignam. reus igitur citatur literis ad eum missis patriarchae, cum denuntiatione, nisi vadimonium sisteret et satisfaceret, poenae canonicae, debitae hostium fautoribus, incurrendae. hoc ille perculsus nuntio, dolens ob infamiam contractam et supplicii gravitatem intentati metuens, occasione arrepta fugit e castris Romoforti, et festinanter imperatorem adiit.

27. Hoc statu rerum imperator, etsi expectatione peregrinae, quam accersere satagebat, militiae suspensum habebat animum, tamen ex se quoque, si qua posset comminisci, malorum remedia exquirens, non abhorrebat a tentanda de novo reconciliatione ferocium illorum et immanium Amogabarorum, certus non parcere impensis etiam magnis, si largitionibus pecuniae ad pacis illi consilia inflecti se sinerent. tales mente cogitationes Augusto versante, forte accidit venire tunc primum ad Ge-

νοῦῖται μὲν οὖν οἱ κατὰ πόλιν ἄρτι πρώτως παρὰ τοῦ σφῶν συνεδρίου ἀββᾶν δεξάμενοι (δηλοῖ δὲ ἡ φωνὴ τὸν ἡγούμενον, ἔχει δ' οὗτος τὴν τοῦ δήμου προστασίαν, ὡς παρὰ Ῥωμαίοις ὁ πραί- B τωρ τοῦ δήμου πάλαι) Ἀμογαβάροις ἤθελον διαλλάττεσθαι· οὐδὲ γὰρ εἶχον ἄλλως τὴν κάτω διαπλωΐζεσθαι κατὰ τὰς αὐτῶν πραγματείας θάλασσαν. ταύτῃ τοι καὶ τὰ τῆς πρεσβείας ὁ ἀββᾶς ἀνεδέχετο. καὶ βασιλεῖ γνωσθέν, ἐπεὶ στρατὸν βάρος ἔχοντα οὐκ εἶχε πέμπειν, ἀλλά τινα τῶν ψιλικῶν ταγμάτων περὶ τὸν μέγαν ἑταιρειάρχην ἦσαν τὸν Δούκαν, οὓς ἦγεν ὢν ἐπὶ τοῦ στρατοῦ πρότερον, ἣν πῇ ποτε κρυφηδὸν καὶ ἐξ ἐνέδρας προσβάλλοιεν (οὐ γὰρ ἦν φανερῶς ἀντιτάττεσθαι), διὰ ταῦτα οὐκ ἦν ἀποδέ- C χεσθαι Γεννουΐτας πρὸς ἐχθροὺς τῶν Ῥωμαίων εἰρήνην συντίθεσθαι θέλοντας. ἔνθεν καὶ πρῶτον μὲν πέμψας ἀναστέλλειν ἐπειρᾶτο τὸ βούλημα, ὡς δ' οὐκ ἔπειθεν, εἶναι μὲν καὶ πάλιν οὐδὲν ἧττον σφᾶς φίλους καὶ βασιλεῖ καὶ Ῥωμαίοις, ἐφ' οἷς καὶ ὅρκους ἀπαιτούμενοι τοὺς παλαμναιοτάτους ἐδίδοσαν, ἦ μὴν καὶ αὖθις ὑπὲρ Ῥωμαίων . . . . καὶ ὅρκους . . . . . . ἑτέραν βουλὴν

nuenses Constantinopoli degentes destinatum iis regendis ab ipsorum metropolis senatu magistratum supremum, quem dicunt Abbam, voce praefectum aut praepositum sonante. hic praeditus auctoritate in populum est eius simili quam olim apud Romanos praetor populi habebat. huius occasione adventus, consultantes de rebus suis Galatini Genuenses uno assensu convenerunt necessario sibi faciendam cum Amogabaris pacem: aliter enim quam iis per ea loca praevalentibus in compositionem secum adductis, liberas ipsis ac securas non fore navigationes Euxinum versus ad emporia illarum partium, e quorum commerciis spes ac rationes mercaturae, cui potissimum vacabant, magna ex parte penderent. eo consensu et rei verisimilitudine ipsius Abbas motus legationem ei paci tractandae per se obeundam ad Amogabaros suscepit. indicatum id consilium imperatori est tum maxime, ut dictum est, intento excogitandis modis resistendi Amogabaris. exercitum enim iustum, quem iis opponeret, nec habebat ad manum nec unde cogeret suppetebat. tantum quidam levis armaturae ordines supererant; quos magnus hetaeriarcha Ducas exercitus totius, antequam dissiparetur, dux, reliquas adhuc habebat, ad usum furtivarum dumtaxat excursiuncularum: haud enim palam ostentare ex adverso frontem tam mnitis tam paucos belli ratio aut communis prudentia sinebat. haec cuncta secum imperator reputans primum experiundum putavit, ecquid revocare Genuenses a consilio pacis Amogabaricae posset. misit ergo qui eam dissuaderent; quibus cum esset responsum a Genuensibus necessariis se causis ad eam tentandam conventionem trahi, nec fraudi eam Romanis aut imperatori fore, quibus amici et fidi esse ut antea non desisterent, postquam indemnem in loca ipsis opportuna transitum ab hostibus Romanorum pepigissent, prout suorum rationes mercimoniorum flagitabant. post quae rogati ut saltem iurisiurandi fide interposita caverent se non adiuturos adversus rem Romanam Amogabaros, aut quidquam hoc toto in negotio acturos abhorrens ab obsequio imperatori a se debito et ad extremum uti hactenus exhibendo, illi haud cun-

ὁ κρατῶν προσανετίθει τῷ ἡγουμένῳ καὶ τὴν παρ' αὐτοῦ πρεσβείαν πρὸς Ἀμογαβάρους, ἐφ' ᾧ ἐθέλοιεν χρημάτων μεγάλων D καὶ τιμῆς τῆς προσηκούσης καὶ κυβερνήσεως, ὡς καὶ ἀναδοχῆς ἀξιοῦσθαι τοὺς βασιλεῖ δουλεύειν θέλοντας, διαλύεσθαι. καὶ ταῦτα προσαναθεὶς τῷ ἀββᾷ ἐκπέμπει· καὶ τῇ μεταξὺ διημερεύσει ἀνακωχὴ ἦν, εἰ καὶ ἄλλο τι ἐσκευαγώγει πρὸς πόλιν, καὶ ὁσημέραι λαὸς καὶ ζῷα ἐντὸς τοῦ ἄστεος ἐπληθύνετο, ὡς καὶ τὰ περιττὰ τῶν ζώων σφαγῇ καὶ μακέλλῳ δίδοσθαι. ἀλλ' ὁ μὲν ἀββᾶς ἐπιστάς, καὶ ἐφ' ἡμέραις τὰ τῆς πρεσβείας μεταχειρίζων, P 436 οὐδὲν ἤνυσε πλέον, οὔτε ἄπρακτος ὑποστρέφει, πολλά τε καὶ ἀτάσθαλα καί γε μὴ οἷά τ' ἂν γενέσθαι ἀπαιτοῦντος τοῦ Ῥομοφόρτου. ἐβούλετο γὰρ καὶ τόπους καὶ σώματα καὶ φρούρια ἀπεμπολεῖν πρὸς βασιλέα μεγάλων χρημάτων, καί γε προσαπῄτει καὶ τὰς μισθοφορίας. εἰ δ' οὖν, ἄλλας χώρας σπεύδει λαβόντα κατέχειν, καὶ ἄλλον ἐπιβάλλεσθαι ὃν ἂν δύναιτο τρόπον ἀντιπάλων, καὶ ἐς τέλος διαμάχεσθαι διετείνετο. ταῦτα καὶ ὁ κατὰ τὸ Μά- B

10. οὔτε] ἀλλ'? 14. σπεύδειν?

ctanter sibi suisque capitibus horrenda sunt imprecati, si secus facerent. tum demum imperator procinctum iam ad iter versus Amogabaros Genuensem Abbam suum quoque ad eosdem legatum instituit, dans in mandatis ut eorum primoribus a se offerret pecunias plurimas, honores et praefecturas illustres, affinitates quin etiam, et quidquid a se optare maximum possent, si suorum eos qui vellent imperatori militare, ut prius, constitutae pactione mercedis id libere sinerent facere. his Abbae commendatis eum dimittit. interimque sibi quadam expectatione successus ex eo tractatu prosperi blandiens in quibusdam quasi curarum induciis paulisper acquievit, non tamen placide, obstrepente utique continuo et magis semper magisque increbescente tumultu concursantium trepide in urbem, Amogabarici belli terrore, rusticorum, greges armentaque prae se agentium sua. unde animalibus et plebe inopi cunctae iam urbis viae refertae visebantur. minuendusque necessario esset pecoris extra pascua macrescentis numerus, ingenti bestiarum esui humano aptarum multitudine in macellis quotidie mactanda. at Abbas multis diebus apud Amogabaros commissa tractando moratus, quod res quidem attineret Genuensium suorum, non sine operae pretio rediit, de pace autem cum Romanis nihil prorsus impetravit, multa improba et facultatem modumque omnem excedentia flagitante Romoforto. petebat enim ut ex se ac suis, priusquam e locis emigrarent quae tenerent, numerata pecunia imperator oppida urbes arces singulas, praetereaque quotquot Romani generis captivos in custodiis servarent, redimeret. iubebat item reddi ad exactum militibus stipendia cuncta retro debita. ni haec fierent, denuntiabat se, praeter quas iam occupassent urbes et arces, reliqua pariter loca subacturos, neque ullum hostilitatis in Romanos exercendae omissuros genus, atque in istis proposito et conatu bellandi ac praeliandi perseveraturos ad extremum irrevocabiliter. similia respondit Madyto, ubi erat, alius dux La-

δυτον Φαρέντα Τζιμῆς πέμπων ἀπέλεγεν· εἰ γὰρ ἡμερώτερον οὗτος παρὰ τὸν Ῥομοφόρτον τοῖς Ῥωμαίων πράγμασιν. ἐκεῖνος ἅμα Τούρκοις καὶ τοῖς ἰδίοις, ἔτι δὴ καὶ τοῖς Ῥωμαίοις ἀποστατήσασιν ἐξ ἀνατολῆς, οἳ δὴ καὶ κουρᾷ τριχῶν καὶ γενείου Ἀμογαβάροις ἐξοικειοῦντο, οὔπω καλῶς τὰς ἀποκρίσεις τοῦ ἀββᾶ δόντος, διατάξας τὴν στρατείαν κρότῳ κεριῶν μέχρι καὶ τῆς πόλεως ἤλαυνε. καὶ ἦν ἐντεῦθεν βλέπειν σκευαγωγοῦντας τοὺς ἔξω C καὶ αὐτοὺς δὴ τοὺς ἐν περαίᾳ κατῳκημένους, ὡς νύκτα καὶ ἡμέραν ἀνὰ τὰς τῆς πόλεως πύλας συνθλιβομένους δυσχερῶς διεκπαίειν αὐτοὺς καὶ ζῶα παντοῖα, καὶ πολλοὺς ἀνὰ τὰς τῆς πόλεως κεῖσθαι ῥύμας ἀφεμένους τῶν ἔργων. τότε ὁ μὲν πατριαρχεύων ὁσημέραι τὰς λιτανείας ἐντὸς τῆς πόλεως ἐπεδαψιλεύετο, βασιλεὺς δ' ἐπαμηχανῶν τοῖς φημιζομένοις, ὅτι καὶ οὐκ ὀλίγος ἐπέπρακτο φόνος, οἷς ὑστερεῖν συνέβαινε τῶν ἐπὶ τῆς πόλεως ἅπτεσθαι, (αἱ γὰρ δυνάμεις ἐπιλελοίπασιν) ἢ θεῷ τὴν δίκην ἀνατιD θέναι καὶ παρ' ἐκείνου ζητεῖν τὴν τοῦ ἐκκεχυμένου ἀδίκως ἐκδικη-

1. εἰ] εἶχε?

tinorum Phareuda Tzimes, excusans per missam privatim ad imperatorem se, si mitius quam Romofortus agere cum Romanis vellet, praeterquam in sese potentiorem concitaret, etiam nihil in summa profecturum, quoniam quae Romoforto propriae parebant copiae, triplici genere constantes, Turcorum Amogabarorum et transfugarum in eius castra ex Orientali continente Romanorum, qui tonsura capillorum et rasura barbae sese Amogabaris similes fecerant, ut ex ea esse gente viderentur, istae, inquam, adeo numerosae ac fortes copiae, abunde, se quantumlibet cessante, suffecturae forent ad bellum atrox in imperatorem continuandum. vixdum ea tristia responsa redux Abbas Augusto reddiderat, cum duces Amogabarorum ordinato exercitu iter recta Constautiuopolim pronuntiarunt, processeruntque statim, instructam promoventes aciem solito lituorum et cornuum cantu. fama eius expeditionis momento sparsa, videre passim erat quotquot degebant extra urbem festinatione maxima vasa colligere, cumque suis quosque sarcinis trudere se in portas urbis aegre turbam consternatorum in fugam capientis. unde et traiecto multi freto, aliique neque in adversa se tutos continente rati, aditum tentabant intra muros Peraeae, sua quoque prae se agentes animalia, ac dense simul cum iis confertim penetrabant. strataeque cernebantur viae passim urbis ac plateae otiosa iacentium multitudine rusticorum, intermissis agri operibus male illic feriantium. his malis patriarcha non aliud quam consuetum ipsi remedium adhibebat suarum litaniarum, iis tunc instantius quotidie intra urbem frequentandis. imperator autem exanimatus diris nuntiis (nam caedes obiter ferae crebraeque ab Amogabaris factae memorabantur, una his consolatiuncula admixta, quod iis ne pervenirent Constantinopolim, quo iter intenderant, aliquid obstitit) his, inquam, attonitus imperator indiciis aliis super alia ingruentibus cladium, destitutus copiis, unum quod erat reliquum tenebat, ut deo ultionem earum iniuriarum reservaret, peteretque ab eo quam solus posset sumere vindictam effusi ini-

σιν αἵματος ὅμως δὲ καὶ τὰ δυνατά οἱ πρὸς τὸ παρεστὸς οὐκ ἠμέλει ποιεῖν. τῷ γὰρ Δούκᾳ καὶ μεγάλῳ ἑταιρειάρχῃ ἐξ ἀξιώματος συχνότερον πέμπων ἐπέσκηπτε κατ' ἴχνος ἠρέμα τοῖς ἀλάστορσιν ἕπεσθαι, ἐπεὶ οὐ δυνατὰ ἦν κατὰ πρόσωπον παντὶ τῷ συστήματι ἀντιτάττεσθαι. ὅθεν καὶ οὗτος μὲν ἐμπίπτων πολλάκις ἐξ ἀφανοῦς τὸ οὐραγοῦν ἐζημίου, ἐκ δὲ Τζουρουλοῦ οἱ ἐντὸς ἀναθαρσήσαντες ἀνδρικώτερον προσβάλλουσι Ῥαιδεστῷ καὶ κακῶς τοὺς E ἐκεῖ δρῶσι, πρὸς τῷ καὶ λείαν ἱκανὴν περιβαλέσθαι. ὃ δὴ καὶ γεγονὸς δῆλον, ὡς ἔδειξε, τοῖς ἐχθροῖς, οἱ δὲ πρὸς τὸ τυχὸν λαβόντες ὀπισθόπουν τὴν πορείαν πεποίηντο. οὐ μὴν δ' ἀλλὰ οὐδ' οἱ καθ' ἕω τῆς περαίας Τοῦρκοι καλῶς ἀπηλλάττοντο, ἀλλὰ πολλάκις προσέβαλλον καὶ πολλοὺς κακῶς ἐποίουν εἰς τρυγητὸν ἐξιόντας, ὥστε καὶ τοὺς ἐν τῷ Ἱερῷ ἀναγκαζομένους, ἐπεί ποτε P 437 καὶ ἐντὸς ἐκεῖνοι λαθόντες ἐγένοντο, εἰ καὶ αὖθις φοβηθέντες ἐξῄεσαν, οὐχ ἱκανοὶ τὸ πλῆθος ὄντες κατέχειν τὸ φρούριον, καταβολαῖς τεταγμένων τελῶν τὰς σπονδὰς ὠνεῖσθαι. τοῖς δὲ καὶ κατὰ τὴν Μηλέαν τραχυνομένοις καὶ πολλοῖς ἐν αὐτῷ συστᾶσι τὸ ἐκεῖ μάχιμον ἐμπίπτει καὶ ἐπὶ τοῦ προτερήματος γίνεται, ὡς τῆς

